videntur accentui in ῥῳδιός explicando esse. Omisi autem quae iam sequuntur in Etymologico ἢ παρὰ τὸ ἕλος ἑλωδιός καὶ ἐρωδιός, φιληδεῖ γὰρ τοῖς ἑλώδεσι τόποις, quae iam non ab Herodiano, sed aliunde desumta videntur. Videntur enim haec (et haec sola et seorsum inveniuntur apud Suid. et in Epimerismis Psalmorum a Gaisfordio editis p. 173) recentiorum quorundam continere rationem, qui ι illud antiquitus traditum iam non curarunt. Nam antiquiores et qui ex antiquis fontibus hauserunt omnes tenuerunt illud ι (v. Dind. in thes. et varias etymologias in Etym.), et ita quidem ut ii etiam qui ab ἕλος ducerent, quos Herodianus quoque commemorat apud Orionem l. l., factum dicerent ex ἕλος et ἴδιος.

18, 4. εἰ μὴ τριβράχεα εἴη ἐπὶ κυρίων] Cod. post εἴη habet ἤ. Quod delendum erat. Nam ne ἴδιος quidem excluderetur. Regula de propriis trisyllabis in ιος paroxytonis saepius tradita, qua de re plura collegimus in Arist. p. 278.

5. Σχεδίον δ' ἕλε —] Cod. ἑλελήϊστος. „Il. Z, 35 Φύλακον δ' ἕλε Λήϊτος ἥρως. O, 515 ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον.“ Dind. Animadvertendum in exemplo minime dubio, talia grammatico nostro excidere potuisse.

6. Κάρησός —] M, 20. Cod. κάρης ὅστ' ἐρωδιός τε. Bl.

8. ῥηΐδιος] cf. Theognost. 54, 23.

9. Μυσάδιος] Cod. μουσάδιος. Emendatio est Lobeckii Par. I. p. 77 et Prol. Path. 352 ex Steph. Byz. s. Μυσία . . . . λέγονται καὶ Μυσοὶ καὶ Μύσιοι καὶ Μυσάδιος Αἰολικῶς. Idem διχθάδιος pro eo quod Cod. habet μιχθάδιος

διχθάδιος, ὑρράδιος, Μολπάδιος, Ὑσσάδιος, μινυνθάδιος, καὶ 18 ἄλλο μυρίον πλῆθος. διὸ σημειωτέον ῥᾳδιός ὀξυνόμενον, ὅπερ ἔχει πρὸς τὸ ω καὶ τὸ ι γραφόμενον. λέγεται δὲ ἔσθ' ὅτε καὶ τρισυλλάβως, ὥςπερ καὶ τὸ παρ' Ἱππώνακτι·

ἐγὼ δὲ δεξιῷ παρ' Ἀρήτην
κνεφαῖος ἐλθὼν ῥωδιῷ κατηυλίσθην.

τὴν δὲ λύσιν τούτων ἐν τῷ πέμπτῳ περὶ καθολικῆς προςῳδίας ἐποιησάμην.

Prol. Path. 351. Idem ib. Μολπάδιος tuetur pro proprio, conveniente cum feminae nomine Μολπαδία apud Diod. V, 62.*) Denique Ὑσσάδιος pro gentis nomine tenere conatus est, nisi Ὀσσάδιος potius substituendum sit ex Arr. exped. Al. VI, 15, 3. Ceterum hac terminatione ethnica complura sunt, inter quae unum Θυνιάδιος (Steph. B.), de quo erit fortasse qui cogitet in θνητάδιος, quod non certissimum est. — De ὑρράδιος adiectivo quod ἄδοξος et εἰκαῖος explicatur a veteribus, quod idem cum συρράδιος, et de illo quod de Pittaco dictum quidam Ὕρρα παῖδα explicabant, esse enim hanc formam Aeolensium patronymicam, alii (fortasse quia Pittaci patrem non Hyrrham sed ipsum Hyrrhadium ferri videbant) ab aliquo retro maiorum ita apellatum putabant**) locos veterum invenies apud Ahrens. dial. Aeol. 157. 158.

18, 14. ἐγὼ δὲ —] Cod. παρὰ ῥήτηρ et κναιφέως, quorum extremum iam Blochius emendavit ex Etym., emendatio παρ' Ἀρήτην ex alio fragmento Hipponactis et explicatio δεξιῷ ῥῳδιῷ „bono omine" ex Dolonia) prosperrime cessit Schneidewinio. Meineke fr. L. p. 117.

---

*) Βρομαδία tibicina Athen. 605. b.

**) Sic fere se res habere videtur. Apud Hesychium est ὑρράδιος ἀπό τινος τῶν προγόνων. ἄδοξος ἢ εἰκαῖος. Apud Theognost. 23, 22 ὑρράδιος προγονίος ἢ ἄδοξος. An forte scripsit προγονικόν? ut ita dixerit vocabulum non a patre (πατρωνυμικὸν) sed ab aliquo maiorum sumtum. — Ceterum poterat tertia classis esse qui dicerent, si illa forma in αδιος sit patronymica, recte et Hyrrhadii filium dici Ὑρράδιον, ut Sicelidae filius Σικελίδης, sim. schol. Theocr. VII, 40. Schol. Pind. Pyth. VI, 4.

18 Μηχανή. τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο συλλαβὰς πάντα βαρύνεται, πτισάνη, δρεπάνη, σαργάνη, βρυχάνη, τρυπάνη· ἀλλὰ μόνον τὸ μηχανή σημειοῦται ὀξυνόμενον. προςέθηκα ὑπὲρ δύο συλλαβὰς διὰ τὸ φανή παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον·

οἳ πρόσθε φανὴν ἔντοσθεν ἔχευθον.

τὸ γὰρ παρὰ Κορίννῃ βανά οὐ κοινὸν οὐδὲ εἰς νη λῆγον, ἀλλὰ ἴδιον θέμα Βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή.

18, 20. βρυχάνη] Cod. βρυχάνη. Lobeckius aut βυκάνη aut ῥυκάνη scribendum visum. Dindorf. in Thes. βρυκάνη contulit cum Hesychii βρυχάνᾳ σάλπιγγι καμπύλῃ. Eodem cum alia quaedam vestigia referri posse videam, ut βρυκανήσομαι pro βοήσομαι dictum a comico ut videtur, nolui formae βρυχάνη memoriam ex textu delere.

22. ἐν δευτέρῳ] sc. καταλόγῳ vel καταλόγων. Ut infra ἐν τρίτῳ 42, 11. Sic Apollonius pron. 125, A (v. Marckscheffel. p. 306). Plene ἐν τῷ γ' καταλόγῳ vel ut Parisinus τῶν καταλόγων Schol. Apollon. II, 181. ἐν πρώτῳ καταλόγων Steph. s. Γερηνία.

24. οἳ] Cod. οἱ

24. ἔχευθον. τὸ γὰρ —] Cod. ἐχεύθοντο γὰρ παρὰ Κορίννην βάνδου κοινόν. οὐδὲν εἰς νη λῆγον ἀλλ' ἀΐδιον θέμεν βοιωτῶν. Bl.

25. βανά] Cod. accentum in βαν — Lud. Dindorfio visum ex hoc loco apparere βανά scribendum esse: sic enim sententiae connexum constare. Contra hunc locum ambiguum esse ait Ahrens de dial. Aeol. p. 107. Mihi non ambiguus videtur. Non potest id dixisse Herodianus: „nam βάνη, quod ex ea regula, quam hactenus posui, debebat item βανή esse ut φανή, non respiciendum, quod haec forma in η non dicitur omnino.“ Neque enim voluerat disyllaba omnia esse oxytona nec sunt, ut ἄνη, Σάνη, πλάνη (Arcad. 110, 25). Ergo hoc: „nam inter bisyllaba exceptum est φανή et esset βανή, si forma haec inveniretur. Caeterum id consenserunt Dindorfius et Ahrens Boeotos non βαρυντὰς fuisse, confirmaturque id nunc per Choeroboscum p. 116. a., Boeotos εὐσε-

Εἶς. οὐδὲν ἀρσενικὸν εἰς εις λῆγον περισπᾶται, ἀλλὰ 18 μόνον τὸ εἷς. ἀναλογώτερον ἄρα ἕνεκα τόνου τὸ ἕεις βαρυνόμενον,

ὀφθαλμὸς δὲ ἕεις μέσσῳ ἐνέκειτο μετώπῳ.

προσέθηκα δὲ ἕνεκα τόνου, ἐπεὶ οὐχ ὑγιαίνει ἐν τῇ πρὸ τέλους συλλαβῇ. οὐδὲν γάρ ἐστιν ὅμοιον τῷ ἠχέεις καὶ βρωμέεις.

βείς, εὐγενείς dixisse „καὶ ἰδοὺ ταῦτα ὀξύνονται, ἀλλ᾽ οὔκ εἰσι κατὰ τὴν κοινὴν διάλεκτον."

18, 26. ἴδιον θέμα Βοιωτῶν] Non igitur Boeotorum βανά, ex Herodiani sententia litterarum transformatione natum ex vulgari γυνή, sed thema est apud Boeotos solum inventum. Et. M. 84, 49 ἁμός) ὥςπερ ἀπὸ τοῦ σφέτερος γίνεται Δωρικῇ διαλέκτῳ σφός καὶ ἀπὸ τοῦ ὑμέτερος ὑμός (sc. per syncopen, v. p. 79, 28), οὕτω καὶ ἀπὸ τοῦ ἁμέτερος ἁμός Δωρικῶς. ἢ θέμα ἐστὶ τῆς Δωρίδος διαλέκτου.

30. ἕεις] Cod. ἕεις, item in versu. Ipsius Herodiani testimonia complura habemus, ε per pleonasmum praepositum aspiratis asperum in se transferre, v. Pros. Il. N, 543. Υ, 171. Epim. Hom. 316, 29.

31. ὀφθαλμὸς δὲ —] Cod. ὀφθαλμὸς δὲ ἕεις ἐν μέσῳ ἔκειτο μετώπω. Videtur versus Hesiodeus Theogon. 143, qui nunc est μοῦνος δ᾽ ὀφθαλμὸς μέσσῳ ἐπέκειτο μετώπῳ. Sunt qui putent Herodianum sic scripsisse hoc loco memoriae errore, versum 143 confundentem cum 145, qui est κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο, vel ἐπέκειτο, μετώπῳ. Verum est, Theognostum p. 134, ubi de hac causa ex Herodiani libro de monosyllabis refert, pro exemplo ponere ὀφθαλμὸς ἕεις ἐπέκειτο μετώπῳ.

32. ἐν τῇ] Cod. ἐν τῷ. D.

33. οὐδὲν γάρ ἐστιν —] Nullum enim vocabulum invenitur natura simile talibus, qualia sunt ἠχέεις βρωμέεις ex ηεις per pathos factis κατὰ συστολὴν ποιητικήν, ut supra dixit 14, 19. Non potest igitur εἷς forma principalis esse ut hinc εἷς contractum putemus. Contra ἕεις ex εἷς. Utrum vero per dialysin an per pleonasmum? Per pleonasmum. Nullus enim nominativus patitur dialysin. Choer. 133. a οὐδέποτε, ὥς φησιν ὁ Ἡρωδιανός, εὐθεῖα διαλέλυται, τὸ γὰρ εἰσέως (veris-

19 Τίς. οὐδὲν εἴς τις λῆγον συνεσταλμένον μονοσυλλαβεῖ,

---

sime Gaisfordius corrigit εἴς ἔεις) κατὰ πλεονασμὸν ἔχει τὸ ε, οὐ μὴν διελύθη. Item Apollonio ἔεις pleonasmus est, de adv. 557, 26. At si pleonasmus est, cur retraxit accentum? λέγει γὰρ Ἡρωδιανὸς ὅτι ὁ πλεονασμὸς τὸν οἰκεῖον τόνον φυλάττει, cum diaeresis mutet, unde diiudicanda forma ὅου: Epim. H. s. ὅου p. 316 (Et. M. 614). Ideo factum, inquit, ἵνα τὴν ὀνοματικὴν σημασίαν ἀποφήνῃ et ἑείς cum accentu in ultima ne in participiorum ordinem incurrat: eorum enim in εις, quibus neutra adiacent in εν, participia oxytona sunt, nomina barytona. v. Herodiani ἐκ τοῦ περὶ μονοσυλλάβων apud Theognost. p. 134. Diaeresin qui dicat ἔεις esse unus ad manum est schol. Theogon. 145 ἔεις ἀντὶ τοῦ εἷς, ἔστι δὲ διαίρεσις τῆς περισπωμένης· εἷς γὰρ ὀξεῖαν καὶ βαρεῖαν διαιρεῖται*). Ex contraria parte ei qui schol. Od. μ, 417 de θέειον scripsit φαμὲν ὅτι πλεονασμός ἐστι τοῦ ε ὡς εἷς ἔεις hic accentus in pleonasmo ne scrupulum quidem iniecisse videtur (v. Lob. Techn. Verb. 188).

Εἷς monosyllabum cur circumflectatur eodem loco apud Theognostum dicit: ἐπεὶ οὖν τὸ εἷς εἶχεν οὐδέτερον τὸ ἕν ἐχρῆν βαρύνεσθαι (ex regula supra commemorata)· οὐκ ἦν δὲ τοῦτό πως διὰ τὴν μονοσυλλαβίαν· ἀναγκαίως περισπᾶται, ἵνα δυνάμει βαρύνηται. — Omnia ab his Herodianeis petita, partim ipsa verba, habemus apud Choeroboscum Theod. 113. b. Quid de δείς dixerit, quod scire interesset, quamquam suspicari licebit, accurate nec ab hoc discimus.

19, 1. οὐδὲν cett.] Tenebis Herodiano quoque τίς non pronomen fuisse sed nomen, ut in hoc primo libro nullius pronominis se mentionem fecisse ipse ait p. 27, 20. — Arcad. 125, 1 τὰ εἰς ις μονοσύλλαβα (ὀνόματα, de quibus eo capite sermo) ὀξύνεται, ἴς ἴν, ῥίς ῥίν, λίς ὁ λέων, τίς, ὅπερ συστέλλει τὸ ι, Δίς Διὸς ὁ Ζεύς. p. 141 ἐν μὲν οὖν ὀνόμασι τὸ τίς μόνον ἐγκλίνεται — περὶ διχρ. 282.

---

*) Caeterum illa regula de accentu non mutato in pleonasmo non potest non apud ipsum Herodianum suas cautiones habuisse nec ita potest simplex fuisse ut nunc traditur in Epimerismis. Quid iam dixerit e. g. de ἔηκα, ἔειπον? Cum aliis regulis maxime concursus cavendus erat.

πάντα δὲ ἐκτείνεται, ὡς τὸ λίς, κίς, ῥίς, ἴς, ἔνθεν καὶ ἡ ἰνός 19
γενική. σημειῶδες ἄρα τὸ τίς συστέλλον τὸ ι. Τὸ Ἶς ἐπὶ ποταμοῦ κείμενον παρ' Ἡροδότῳ ἐκτεινόμενον ἔχει τὸ ι. Οὕτω καὶ Σκύμνος ἐν τῷ ι' τῆς Ἀσίας περίπλῳ παρέθετο Ἔχεται Κελένδερις πόλις Σαμίων, καὶ ἱερὸν παρὰ τῇ πόλει

Fuerat quaestio apud antiquos nomen sit τίς an pronomen, quam fuse in utramque partem rationibus propositis explicatam legimus apud Apollonium p. 33. sqq. brevius eadem Epim. Hom. 408., fueratque haec sine dubio magna pars libri, quem, ut ex Suida tenemus, scripserat Apollonius περὶ τοῦ τίς. Ut Apollonius perstat in nomine sic Herodianus, et vix quod meminerim eorum grammaticorum Graecorum, quos nos habemus, quisquam aliud secutus est. Testatur etiam de Apollonio et Herodiano dicitque per hos potissimum factum esse ut antiquorum quorundam (Stoicorum) ratio contraria in desuetudinem abiret Priscianus T. I. p. 75. Kr. cf. Schmidt Stoicor. grammat. p. 42.

19, 3. ἰνός] Cod. ἴνος. D. Addidit autem ἔνθεν καὶ ἡ ἰνὸς γενική, ut apellativum dici intelligeretur. Proprii enim Ἶς sine dubio casus nulli erant.

4. Τὸ Ἶς] Cod. τὸ τίς. Correxit Dindorfius (nisi quod τό τ' Ἶς mihi minus placuit) indicavitque locum Herodoti I, 179, qui est eiusmodi: ἔστι δὲ ἄλλη πόλις ἀπέχουσα ὀκτὼ ἡμερέων ὁδὸν ἀπὸ Βαβυλῶνος· Ἶς οὔνομα αὐτῇ· ἔνθα ἐστὶ ποταμὸς οὐ μέγας· Ἶς καὶ τῷ ποταμῷ οὔνομα· ἐςβάλλει δὲ οὗτος ἐς τὸν Εὐφρήτην ποταμὸν τὸ ῥέεθρον. Alius igitur est quem apud Ciliciam urbem Celenderin Scymnus nominavit. Et illud οὕτω καὶ Σκύμνος significat „item de fluvio“, ut intellectum a Meinekio Scymn. XX. Ceterum hic recte locum invenient haec Eustathii p. 877, 10 ἴς δὲ ἰνός ἡ δύναμις μεταφορικῶς ... ὅτι δὲ Ἶς καὶ ὄνομά ἐστι ποταμοῦ, ὡς καὶ Ἡρόδοτος οἶδε καί τις δὲ Φύλαξ (?) ἱστορικὸς παρεσημειώσαντο οἱ τεχνικοί. Eadem sunt in Etym. Gud. s. ἴν p. 279, nisi quod ille Phylax, errore ortus ut videtur, illic alia metamorphosi factus est — Θύλαξ!

6. παρέθετο] Cod. εὑρέθη.

6. Κελένδερις] Cod. Κέλενδε ῥίς. Correxit Blochius.

19 Ἥρης καὶ ἄλσος· Ἶς ποταμὸς παρὰ θάλασσαν ἔξεισιν. Ἔστιν Ἶς τῆς Ἰταλίας, ὡς Πάρθαξ ἐν τῷ β' τῶν Ἰταλικῶν· Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Ποσειδωνίαν ὁ Ἡρακλῆς. ἔστι δὲ ποταμὸς Ἶς καλούμενος μέγας. Εἰ δέ τινες συστέλλουσι τὸ ι εἰς ἀποφυγὴν τούτου

οὐ γὰρ ἐμὴ ἲς
ἔσθ' οἵη πάρος ἔσκεν —

πταίουσι καὶ περὶ τὸν λόγον καὶ περὶ τὴν ἱστορίαν.

Τὰ πύσματα ὀνοματικὰ ὄντα εἰς ος θέλει καταλήγειν, ποῖος, πόσος, πηλίκος, ποδαπός, πόστος· τὸ δὲ τίς οὐ παρεδέξατο τὴν εἰς ος κατάληξιν.

Ἀπαιτεῖ τὰ πύσματα κατὰ τὴν εὐθεῖαν πτῶσιν τὸ π, ἀλλὰ καὶ ἐν τοῖς ἐπιῤῥήμασιν ἡ αὐτὴ ἀρχή, πόσως, ποίως, πηλίκως, πῇ, πόθεν, πόσε, πόθι, πῆμος· μόνον δὲ τὸ τίς ἀπὸ τοῦ τ ἤρξατο. πρόσκειται δὲ κατ' εὐθεῖαν πτῶσιν, ἵν' ἐκφύγωμεν τὸ κατὰ γενικὴν τοῦ λεγόμενον ἢ τέο ἢ τεῦ.

19, 7. Ἥρης] Cod. νήρης. Bl. De forma Ionica v. Mein. praef. Scymn.

9. Ἔστιν Ἶς τῆς Ἰταλίας] Meinekium quaerere video an καὶ τῆς. Ego cogitaveram de ἔτι Ἶς —

9. Πάρθαξ ἐν Ἰταλικοῖς] v. Mein. An. Al. p. 139.

10. Ποσειδωνίαν] Cod. ποσειδονίαν

11. Ἶς] Cod. εἷς. D.

13. οὐ γὰρ ἐμὴ ἲς ἔσθ' οἵη πάρος ἔσκεν] Cod. οὐ γὰρ ἐμοὶ ἴς ἴσχοι ἢ πάρος ἔσχεν. Sed est locus Homericus (quod forte tunc non meminerat Dindorfius pro ἴσχοι proponens ἴση), Λ, 668. Nunc editur ἐμὴ ἴς. —. Ceterum fortasse tantum τοῦ scripsit, non τούτου. Attamen vide p. 25, 2.

17. Ἀπαιτεῖ τὰ πύσματα κατὰ τὴν εὐθεῖαν πτῶσιν τὸ π] Hic κατὰ inserui et addidi τὸ π.

19. πῇ] Cod. πῆ. Sed scribebat haec Herodianus cum ι.

21. ἵν' ἐκφύγωμεν τὸ κατὰ γενικὴν τοῦ λεγόμενον ἢ τέο ἢ τεῦ] Cod. ἵν' ἐκφύγωμεν τὸ κατὰ γενικὴν τὸ υ λεγόμενον ἢ τέο ἢ τευ.

Apparet autem Herodianum τέο non derivasse a τίς τίνος, sicuti qui artificiosa machinatione id effecit Et. M.

Ὀλίγος. οὐδὲν εἰς γος ὑπὲρ δύο συλλαβὰς τῷ ι παραλήγεται καὶ παροξύνεται, ἀλλὰ μόνον τὸ ὀλίγος. μή τι τὸν 19

---

p. 752, 10, Epim. H. 403, sed τοῦ τέο vocabulum visum a τίς diversum, et quidem nominativo destitutum, ut ἐμέο. Herodianeae doctrinae videor mihi vestigia habere in Epim. Hom. p. 399 τευ· ὥς τέ τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ (γ, 348). τὸ τευ ὄνομα νῦν ἀόριστον. τὸ δὲ τεῦ δμῶς εἰς ἀνδρῶν, τεῦ δ' ὄρχατον (ω, 257) πυσματικόν ἐστι. Τὸ μὲν οὖν πρῶτον [i. e. πρωτότυπον: sic Apollonio quoque aliisque pronominum in formis eae quae sunt in ου, ἐμοῦ, σοῦ, οὗ, prototypa sunt, unde per dialysin ἐμέο; ex hoc contractione Ionica ἐμεῦ] τοῦ, ὅπερ σύνηθες Ἀττικοῖς. ὃ κατὰ διάλυσιν τέο· τέο μέχρις ὀδυρόμενος; (Ω, 228) συναλειφόμενον δὲ γίνεται τεῦ, ὡς ἐμοῦ ἐμεῦ, σοῦ σεῦ ἐκ τοῦ ἐμέο καὶ σέο. Τὸ τέο τετόλμηκεν Ἀρχίλοχος τέ χολούμενος (puto τεοῦ, v. Et. M. 755, 35) εἰπεῖν ἀντὶ τοῦ τίνος. Ἡ δοτικὴ τέῳ καὶ τὸ ἀόριστον αὐτοῦ ὅτεῳ, καὶ ἐπὶ γενικῆς ὅττεό σε χρή (α, 124). Τοῦτο τὸ ὄνομα αἰτιατικὴν ὀρθὴν (l. καὶ ὀρθὴν) οὐκ ἔχει. Ὡςαύτως καὶ ἐπὶ τῶν πληθυντικῶν ὅτεών τε πόλιν καὶ γαῖαν ἱκάνω (κ, 39), καὶ ὀτέοισιν (Ο, 491).

19, 23. εἰς γος] Cod. εἰς ος. Scripsit quod requiritur Lob. Prol. Path. 305.

25. μή τι] Cod. μήτ'. Dind. μήποτ'. Illud etiam propius erat, quo Herodianus utitur apud Steph. s. Ἀγβάτανα „μή τι ἄρα παρακανδυνεύει τὸ β ὑποτετάχθαι τῷ γ —"

Dixit de hoc loco Meinekius Com. I. p. 192. et II. p. 669 adscripsitque qui huc pertinet Herodiani locum περὶ παθῶν ex E. M. 621, 51 Ὀλίος κατὰ διάλεκτον. Ταραντῖνοι γὰρ τὸ ὀλίγος ὀλίος λέγουσιν ἄνευ τοῦ γ. ἐν δούλῳ Μελεάγρῳ (editur δούλοις Μελεάγρου) Ὀλίοισιν ὑμῶν ἐμπέφυκ' εὐψυχία, καὶ ὀλίον μισθόν. Πλάτων μέντοι ὁ κωμικὸς διαπαίζει τὴν λέξιν ὡς βάρβαρον καὶ τὸ γίννος ἴννος φησί. τοῦτο δὲ εἴρηκε τὸ ἐξ ἵππου μὲν μητρὸς πατρὸς δὲ ὄνου. In libro περὶ παθῶν igitur cum ὀλίγος ὀλίος comparaverat γίννος et ἴννος.*)

---

*) In φησί et εἴρηκε, ut mihi videtur, Herodianus intelligendus (v. supra s. ὀδς). Apud quem haec fere legebat qui illa excerpsit . . . . . καὶ τὸ γίννος ἴννος· σημαίνει δὲ vel οὕτω δὲ εἴρηται τὸ —

19 Ταραντῖνοι χωρὶς τοῦ γ προφερόμενοι τὴν λέξιν ἀναλογώτερον ἀποφαίνονται, ὥσπερ Ῥίνθων ἐν δούλῳ Μελεάγρῳ

ὀλίοισιν ὑμῶν ἐμπέφυκ' εὐψυχία,

καὶ ἐν Ἰοβάτῃ

χρήζω γὰρ ὀλίον μισθὸν αὐτὸς λαμβάνειν.

πολλὰ γάρ ἐστιν εἰς ος λήγοντα καθαρῷ τῷ ι παραληγόμενα

19, 25. Ταραντῖνοι] Cod. Ταραντινοί

28. ὀλίοισιν] Cod. λιοίοισιν

29. ἐν Ἰοβάτῃ] Cod. εὐνοβάται. „ἐν Ἰοβάτῃ Hermannus. Iobates fuit Sophoclis fabula. Hanc igitur more suo imitatus videtur Rhintho.“ Dind.

30. ὀλίον] Cod. ὄλιον. Illud scribendum esse, monet Dindorfius. Item ὄλιον falso in loco ex Aelio Dionysio Eust. 1160, 10.

31. ἐστιν] Cod. ἐστι

31. καθαρῷ τῷ ι παραληγόμενα] καθαρὸν ι dicit quod non subsequitur consonans. Epim. H. 275 κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς χω λήγοντα ῥήματα δισύλλαβα βαρύτονα τῷ α καθαρῷ παραληγόμενα σπάνιά εἰσι τὸ ἄχομαι καὶ μάχομαι (cogitat contra ἄγχω, ἄρχω, πά-σχω). Herod. ap. Theognost. p. 26 τὸ υ τὸ ψιλὸν καθαρὸν ἐν ἀρχῇ λέξεως παρὰ πᾶσι τοῖς Ἕλλησι πρὸ τοῦ χ εἶναι ἀπείρηται, καὶ τὸ αἴτιον ἐχυρόν. πᾶν γὰρ φωνῆεν πρὸ τοῦ χ ψιλοῦται καὶ τὸ υ ἐν ἀρχῇ λέξεως δασύνεται. δύο οὖν κανόνων ἀλλήλοις ἀνθισταμένων ἐξέφυγε τὸ υ πρὸ τοῦ χ καθαρὸν εὑρίσκεσθαι. καθαρὸν δὲ εἶπον ἐπεὶ τὸ ὕρχας οὐ καθαρὸν ἔχον τὸ υ πρὸ τοῦ χ εὕρηται. Οὕτως Ἡρωδιανὸς ἐν τῇ συντάξει τῶν κδ' στοιχείων. Pros. II. B, 269 ubi de ἀχρεῖος loquitur, quod compositum ex α privativo et χρεία ἄχρειος esse exspectes: ἡ μέντοι παρὰ τῷ ποιητῇ ἀνάγνωσις ἀφορμῆς ἐχομένη τῆς κατὰ τὴν συνεκδρομὴν προπερισπάσθη. τὰ γὰρ ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ α μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μετὰ τῆς ει διφθόγγου, μὴ σημαίνοντα μέρος σωματικόν, προπερισπᾶται, ἀνδρεῖος, Ἀργεῖος. οὕτως καὶ ἀχρεῖος. Contra vero dicitur de omni littera vel litterarum complexione, quae non proxime praecedentem habet consonam. Sic mox s. πηλίκος p. 20 τὰ εἰς κος λή-

καὶ παροξυνόμενα, ὡς τὸ πλησίος, ἀντίος, νυμφίος ἐπὶ διαφόρου 19
σημαινομένου, μυρίος, καὶ τοῦτο ὁμοίως· οὔ γε μήν ἐστί τι εἰς
γος λῆγον παραληγόμενον τῷ ι ὑπὲρ δύο συλλαβὰς ὑπάρχον
καὶ προπαροξυνόμενον. Πλάτων μέντοι ἐν Ὑπερβόλῳ διέπαιξε 20
τὴν ἄνευ τοῦ γ χρῆσιν ὡς βάρβαρον, λέγων οὕτως·

Ὁ δ' οὐ γὰρ ἠττίκιζεν, ὦ Μοῖραι φίλαι,
ἀλλ' ὁπότε μὲν χρείη διῃτώμην λέγειν,
ἔφασκε δῃτώμην, ὁπότε δ' εἰπεῖν δέοι
ὀλίγον ὀλίον·

Καρκίνος. οὐδὲν εἰς νος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ι συνεσταλμένῳ παραληγόμενον παροξύνεται, ἀλλ' ἤτοι προπαροξύνεται ὡς τὸ δρύϊνος, λίθινος, φήγινος καὶ ὅσα ἐστὶ τούτοις ἐμφερῆ, ἢ ὀξύνεται, ὡς τὸ ἐαρινός, θερινός, πυκινός, οὐδὲν

γοντα καθαρά —, contra e. g. ὀβελίσκος. p. 32, 32 τὰ εἰς λυς λήγοντα καθαρὸν ἔχοντα τὸ υ, e. g. πολύς, θῆλυς, ubi in fine dicit: πρόςκειται δὲ καθαρὸν διὰ τὸ ἀμβλύς. p. 37, 24 οἶμα οἶδμα. p. 22 ἄγω μίσγω.

19, 32. νυμφίος cett.] Arcad. p. 41, 21 μύριος ὁ ὡρισμένος ἀριθμός, μυρίος ὁ ἀόριστος, καὶ νύμφιος οἶκος προπαροξύτονον, νυμφίος δὲ ὁ γαμετὴς παροξύτονον. — Illud καὶ τοῦτο ὁμοίως significat „et hoc ἐπὶ διαφόρου σημαινομένου": in certa quadam sua significatione. Pros. Il. M. 391 πᾶν φωνῆεν πρὸ δασέος καὶ ρ ψιλοῦται ... ὑπεσταλμένου τοῦ ἄθρους πρὸς διάφορον σημαινόμενον. Infra p. 25, 31.

34. οὔ γε μήν ἐστι] Cod. οἵ γε μήν, ἐστί. Quod dedimus οὔ γε μήν v. apud Herodianum Pros. Il. Δ, 212. E, 76. Ω, 318.

20, 4. ὁ δ' οὐ γὰρ ἠττίκιζεν] Cod. ὁδοῦ γὰρ ἥπτη κιζεῦν. Correxit Blochius.

4. ὦ Μοῖραι φίλαι] Iure haesitat Meinekius, huic loco aptius existimans Μοῦσαι quam Μοῖραι. (ὦ φίλαι Μοῖραι Alciphron. I, 38. Longus IV. 21).

5. διῃτώμην] Cod. διχιτώμην. Bl.

6. ἔφασκ' ἐδιῃτώμην] Cod. ἔφασκε δὴ τῷ μήν. Dindorfius δῃτώμην, illud Meinekius.

7. ὀλίγον, ὀλίον] Cod. ὀλίγον, ἔλεγεν. Ego illud malui quam cum Blochio et Meinekio ὀλίγον ὀλίον ἔλεγεν vel ὀλίγον ἔλεγεν ὀλίον, utrumque ingratissimum auribus.

11. φήγινος] Cod. φήϊνος. Bl.

20 δέ ἐστι παροξυνόμενον. διὸ ἐπιστατέον τῷ καρκίνος. καὶ μόνον γὰρ παροξύνεται καὶ ὁ αὐτὸς τόνος καὶ ἐπὶ τοῦ ζῳδίου τοῦ ἐν οὐρανῷ ὁμοίως καὶ τοῦ θαλασσίου ἢ ἐπιγείου καὶ τοῦ καρκίνου καὶ τοῦ ἐργαλείου· οὐ γὰρ ὑγιῶς τινες τοῦτο προπαροξύνουσι. περὶ δὲ τούτου ἐντελῶς εἴρηται ἐν τοῖς περὶ καθολικῆς προσῳδίας.

Π η λ ί κ ο ς. τὰ εἰς κος λήγοντα καθαρὰ ὑπὲρ δύο συλλαβάς, ὁπότε τῷ ι παραλήγει συνεσταλμένῳ, ἤτοι προπαροξύνεται, ἀνθέρικος, Κύζικος, Ὤρικος, Ἀσφόδικος, ἢ ὀξύνεται, ὡς

20, 13. τῷ καρκίνος] Cod. τὸ καρκίνος. Consuetus certe dativus mox v. 23 ἐπιστατέον τῷ πηλίκος παροξυνομένῳ. Apollon. adv. 547, 19 εἰ δέ τις καὶ τὸ ἀκριβὲς ἐπιστήσειε aliud genus est, ad quod potest etiam referri χρὴ μέντοι ἐκεῖνο ἐπιστῆσαι ὡς — Herod. Pros. Il. 709. Et Pros. Il. N, 543 ἡμεῖς δ' ἔχομεν περὶ τὸν σχηματισμόν τε ἐξαίρετον συμβεβηκὸς ἐπιστῆσαι, nisi quod hic transitiva significatione usus est, de qua dixit Wyttenbachius ad Plut. I. p. 1971, quasi dicas: ἐξαίρετόν τινα ἐπίστασιν ἐπιστῆσαι ἔχομεν τοὺς ἀναγιγνώσκοντας. — Attamen legimus ἐπιστατέον οὖν τὸ Τίμαιος Theognost. 53, 10 ἐπιστατέον οὖν τὸ μείζων id. 28, 8 ἐπιστατέον τὸ Καρνίτης ἀπὸ τῆς Κάρνης Steph. B. s. Αὐλαί.

15. τοῦ θαλασσίου — χυρίου] Cod. τοῦ θαλασσίου καὶ τοῦ κυρίου ἐπιγείου

Corruptum locum Arcadii 65, 16, ubi falso nunc καρκῖνος, emendavit Lobeckius Prol. Path. 206.

21. ἤτοι προπαροξύνεται — Τρωϊκός] Cod. ἤτοι προπαροξύνεται, ἀνθέρικος, Κύζικος· τὸ ᾠδικός, ἀσφοδελικὸς ὀξύνεται, ὡς τὸ πελωπικός, Τρωϊκός. In quo post ἤτοι desideratur quae ei respondeat particula, praeterea depravata ἀσφοδελικός et πελωπικός. Theognosti locum p. 60, 6 τὰ ἔχοντα βραχὺ τὸ ι ἐστὶ ταῦτα, ἀνθερικός, ἀνθιήνικος, Σώρικος ὄνομα λιμένος, Ἔρικος κύριον, Τέμικος πόλις Κρητική, Λυκάνικος ποταμός, ἀσφάδικος (apparet quae hucusque fuerunt omnia barytona esse)· τὸ Θορικὸς οἱ πλείους ὀξύνουσι — hunc igitur locum cum nostro contendens Lobeckius Prol. Path. 324 certissima emendatione restituit Ὤρικος ὄνομα λιμένος (Herod. IX, 93) agnovitque in ἀσφάδικος heroem Thebanum illum Ἀσφόδικον apud Pausaniam IX, 18, 4 commemoratum. Inferre haec in nostrum locum noluit, adversari enim accentum:

τὸ κλωπικός, Τρωϊκός, οὐδὲν δὲ ὁτιοῦν παροξυνόμενόν ἐστιν ἀπιστατέον τῷ τηλίκος παροξυνομένῳ. τούτῳ δὲ ἀκόλουθον καὶ τὸ ἡλίκος, τηλίκος παρὰ ποιηταῖς, καὶ ὁπηλίκος· μία γὰρ αὐτῶν ἡ συζυγία ἐστὶ καὶ ὁ αὐτὸς τόνος τοῖς πυσματικοῖς καὶ τοῖς ἀνταποδοτικοῖς τοῖς ὑπὲρ μίαν συλλαβήν. τὰ εἰς κος λήγοντα ὑπὲρ δύο συλλαβάς, εἰ παραλήγοιτο τῷ ι καὶ παροξύνοιτο, πρὸ τοῦ κ τὸ σ ἔχει, ἀστερίσκος, ὀβελίσκος, πανίσκος, Κωραλίσκος. ἐχρῆν οὖν τὸ τηλίκος, εἰ παροξύνοιτο, πρὸ τοῦ κ τὸ σ ἔχειν, ὡς τὸ ἀστερίσκος, ἢ μὴ παροξύνεσθαι. Πάντων δὲ λύσεις δίδωμι ἐν τῷ περὶ καθολικῆς προσῳδίας.

Κοῖλος. οὐδὲν εἰς λος λῆγον δισύλλαβον βαρύτονον τῇ

---

quare Hesychii potius glossa utens ἑλικοὶ οἱ ἀσφόδελοι emendandum putat . . . ἀνθέρικας, Κύζικος· τὸ ἑλικὸς ὁ ἀσφόδελος ὀξύνεται ὡς τὸ πελωπικός („sic“ inquit), τρωικός *). Sed non attendit vir egregius deficientem particulam. A πελωπικός proxime etiam abest πελασγικός, sed minus verisimile alterum quoque adiectivum a regione ductum fuisse. Facile autem concedo ὡς τὸ ᾠδικός, Πελασγικός, Τρωϊκός.

20, 24. ἡλίκος, τηλίκος παρὰ ποιηταῖς] Cod. ἡλίκος, τηλίκος, τηλίκος παρὰ Δωριεῦσι

23. ἐστιν] post παροξυνόμενον. Cod. ἐστι omisso ν ephele.

30. πανίσκος] Cod. μανίσκος

30. Κωραλίσκος] Cod. Κωρακίσκος. Emendavit Bergkius Rell. Com. Att. p. 431 Κωραλίσκος, quo dorico vocabulo adolescentem significante Epilyci comoedia inscripta fuit. Item Meinekius. Quos nunc sequitur etiam Dindorfius in Thes., qui olim κορακίσκος voluerat.

34. κόϊλος] Si quis Ioannem Alexandrinum inspiciat p. 6, 20, putaverit κόϊλος Herodiano paroxytonon fuisse nec pro diaeresi habitum ex κοῖλος, sed κοῖλος synaeresi ortum putasse ex illo. Neutrum est ita, sed fallit illa epitome. Arcad. 55, 18 τὰ διὰ τοῦ ιλος ἀρσενικὰ ὑπερδισύλλαβα ἔχοντα τὸ ι βραχὺ παροξύνεται· εἰ δέ τι προπαροξύτονον εἴη, ἢ πάθει ἢ γένει, ναυτίλος, Τρωΐλος, Ζωΐλος, Πενθίλος· τὸ δὲ αἴγιλος θηλυκὸν προπαροξύνεται. τὸ δὲ κόϊλος ἀπὸ τοῦ κοῖλος κατὰ

---

*) Ex adiectivis ad corruptum ἀπφοδαλικός fortasse proxime accedit ἀδολεσχικός.

21 οι διφθόγγῳ παραληγόμενον, ὅτι μὴ μόνον τὸ κοῖλος. ἀνάλογον οὖν ἐστι τρισυλλαβοῦν καὶ λεγόμενον κόϊλος. μεμίμηται γὰρ τὸ αἴγιλος, μύτιλος, πύτιλος, νύκτιλος (?).

Ἑ τ α ῖ ρ ο ς. οὐδὲν εἰς ρος λῆγον ὑπὲρ δύο συλλαβὰς

πάθος καὶ τὸ μύτιλος ὁ ἔσχατος προπαροξύνεται. Ad eius sententiam de hac, quae Aeolensium propria dicitur, diaeresi in κόϊλος et quibusdam aliis pertinent praeterea Steph. Byz. s. Κάρ, Choerob. 257. b, quibus adiicere licebit Theognost. 61, 16. Arcad. 121, 25 τὸ δὲ πλοῖον προπερισπᾶται ὡς πάσχον διαίρεσιν Αἰολικῶς. πλόϊον γὰρ λέγεται. In quo consentit cum Apollonio et aliis, v. locos apud Bergkium congestos ad Anacr. fr. IX. p. 92. Epimerismi Homerici auctor p. 219, 2 γράφεται δὲ τὸ κοι διφθόγγῳ, ἐπειδὴ εὑρέθη κατὰ διάστασιν κόϊλος καὶ ἐν συναιρέσει κοῖλος, ὡς Ζώϊλος (sic), utrum in Ζωιλος an in κοϊλος peccaverit difficile erit dicere. — Herodianus quod hic dicit comparandum cum illo e. g., quod modo legebamus de ὀλίος, hoc, quod in dialecto est, ἀναλογώτερον esse quam vulgatum ὀλίγος.

21, 2. μεμίμηται] Cod. μέμνηται. Scripsit quod requiritur Lobeckius Prol. Path. 114, item ut αἴγιλος, μύτιλος, πύτιλος, Νύκτιλος. Codex enim αἰγιαλός, μυττιλός, πυτιλός, νυκτιλός. „Ultimum Nyctilus Calpurn. VI, I“ Lobeck. l. l. πύτιλος servavit Hesychius II. p. 1090. μύτιλος et ceteroquin notum modo apud Arcadium relictum inveniebamus. Utrumque, si quid ex Arcadii reliquiis coniici licet, per pathos ex μίτυλος et πίτυλος ortum putabat, ut hae ei formae priores, illae traiectione ortae viderentur, unde intellectus accentus. Νυκτιλος sive proprium nomen est sive non proprium, non minus Graecum et expressum quam Πενθίλος, σχοινίλος, vix exputes cur regulam excesserit. Sed latet quid lateat.*)

---

*) κόντιλος, significans ὄφιν, hinc ut opinor penem per iocum apud Eupolin, et εἶδος ὀρνέου, sic per ι et hoc accentu apud Hesych. et Etymologum. Idem certe scribebatur etiam per υ κόντυλος. „Ἀττικοὶ δὲ τὸν κόλαφον κόνδυλον φασὶ διὰ τοῦ δ, κόντυλος μέντοι εἶδος ὀρνέου.“ Eust. 1817, 57. Ita loquitur eo loco, ut non videatur haec

ἁπλοῦν προπερισπᾶται, ἀλλὰ μόνον τὸ ἑταῖρος. ἴσως οὖν ἀνα- 21 λογώτερον τὸ „ἑτάρους τε“ χωρὶς τοῦ ι λεγόμενον. πολλὰ γάρ ἐστι τοιαῦτα, μάρμαρος, βάρβαρος, τάλαρος, κύλλαρος, φλύαρος· τούτου δέ τινες ἐκτείνουσι τὸ α, καὶ μάλιστα παρ' Ἀττικοῖς. Ἔστι μέντοι τινὰ προπαροξυνόμενα ἔχοντα τὴν αι δίφθογγον, ἅπερ σπάνιά ἐστι σύνθετα ἢ κύρια, ἄχαιρος, εὔχαιρος, Πάλαιρος· ἔστι δὲ χωρίον τῆς Ἀχαρνανίας. μέμνηται καὶ Ἐπί-

---

21, 6. ἴσως] Cod. ὅσως. Corr. Dind.

7. ἑτάρους τε] Cod. ἑτάρος τε. Restituit formulam Homericam Dind.

8. κύλλαρος] si sic recte dicitur pro σκύλλαρος, Schneider. Aristot. Hist. An. IV, 4, 17: si non, Κύλλαρος. „ἵππος Κάστορος“ E. M.

9. φλύαρος] De hoc Herod. περὶ διχρόνων p. 300, 1 τοῦτο ὀφείλει (h. e. debebat ex analogia) συστέλλεσθαι. Quod Draco qui dicitur non videtur intellexisse, p. 95, 26.

11. ἅπερ σπάνιά ἐστι, σύνθετα ἢ κύρια, ἄχαιρος —] Cod. ἀπέραντά ἐστιν, ἄχαιρος — Postquam de ἑταῖρος properispomeno dixit, addit haec per occasionem de paroxytonis: „sunt quidem quaedam paroxytona, sed et haec numero pauca et qualitate circumscripta.“ Quod Lobeckius tentavit Prol. Path. p. 258 ἀπαράθετα δ' ἐστίν, ἄχαιρος — „h. e. incomparabilia, quia aut syntheta sunt aut locorum hominumque propria“, id mihi adsciscendum non videbatur, quia non comparabilia esse iam in eo inest quod dixerat προπαροξυνόμενα. Etiamsi non contendam in raro vocabulo, ἀπαράθετα non ea tantum dicta esse ἃ παράθεσιν οὐκ ἔχει, sed etiam ἃ οὐκ ἔστι παραθέσθαι.

12. Πάλαιρος et Ἀχαρνανίας] Cod. εὐπάλαιρος et ἀκαρίας. Correxit Cramerus in Mus. Cant. p. 637. Recte Πάλαιρος apud Theognostum p. 71. Oppidum est Acarnaniae: Strabonem v. l. X. p. 450. 459. — Alia quaedam κύρια in αιρος enumerat Lobeckius l. l.

13. Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ] Cod. Ἐπίχαρμος ὡς ἐν ἐλπίδι πλούτῳ. Correxit Dindorfius.

---

forma ipsius errore orta esse; invenit fortasse apud ipsum Pausaniam (v. versum praecedentem).

Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ

οὔτ' ὢν Πάλαιρος οὔτε βοιωτοῦ (†).

Ὕστερος· τὰ εἰς τερος συγκριτικά, εἰ ἔχει πρὸ τῆς τερος παραγωγῆς τὸ υ, οὔτε τρισυλλαβεῖν θέλει οὔτε ἔχειν προηγούμενον τοῦ τ τὸ σ. ἀπὸ γὰρ τῶν εἰς υς ὀνομάτων θέλει παράγεσθαι, ταχύτερος, πλατύτερος, βραχύτερος, ἡδύτερος. σημειῶδες ἄρα τὸ ὕστερος, μήτε ἀπὸ τῶν εἰς υς ληγόντων παραχθὲν τρισύλλαβόν τε ὑπάρχον καὶ ἔχον τὸ σ προηγούμενον τοῦ τερος. ἀλλ' ἴδιον αἴτιον τὸ πάθος, ὡς δείκνυται ἐν ἑτέροις,

21, 14. οὔτ' ὢν —] Cod. οὔτουν πάλαιρὸς, οὔτε βοιαυτοῦ. Certe crux, quare adiecimus: nam ne ὢν quidem praestamus.

18. ὀνομάτων] Cod. τὸ ὄνομα

19. μήτε] Cod. μήποτε

21. ἔχον τὸ σ] Cod. ἔχων τὸ τ

22. ἀλλ' ἴσως αἴτιον τὸ πάθος] Epim. H. 417 ὕστερος. παρὰ τὴν ὑπὸ ὑπότερος καὶ κατὰ συγκοπὴν ὕστερος· τὸ δὲ ο συγκοπτόμενον τὸ σ ποιεῖ, θεόφαντον θέσφατον, θεοσίκελον θέσκελον. καὶ εἰ οὔτε τὰ εἰς τερος τῷ υ παραληγόμενα ἔχει πρὸ τοῦ τ τὸ σ οὔτε τὰ εἰς τατος, οἷον ἐγγύτερος ἐγγύτατος, ὀξύτερος ὀξύτατος, πῶς οὖν τὸ ὕστερος ὕστατος μετὰ τοῦ σ; τότε δέ ἐστι τὸ σ ὁπότε τὸ ε, εὐσεβέστερος εὐσεβέστατος, σωφρονέστερος σωφρονέστατος. εἰ οὖν τὸ σ ἔχει ἐχέτω τὸ ε, εἰ δὲ τὸ υ ἔχει μὴ ἐχέτω τὸ σ. ἀλλὰ λέγομεν ὅτι τὸ πάθος αἴτιον, ὅστις οὐκ ἦν (f. εἴχετο) τοῦ χαρακτηριστικοῦ. Haec antiquum colorem habent et Herodianea vestigia. Et illud doctum quod est s. ὕστατος p. 420 (Gud. 546) ὄνομα γίνεται ἐκ τῆς ὑπὸ προθέσεως. πλεονασμός ἐστιν (sc. τοῦ σ) ἢ ἴδιος τύπος; ἴδιος τύπος. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὸ ο συγκοπτόμενον πέφυκεν ἐφελκυστικὸν γίνεσθαι τοῦ σίγμα, ὥς ἐστι θεόφατος καὶ ἐν συγκοπῇ τοῦ ο [πλεονασμῷ τοῦ σ] γίνεται θέσφατος. His autem, nisi fallor, significatur ὑπότερος, extrito ο ὑπότερος cedente simul π, non π mutato in σ: quod quidam voluerunt, ὑπτέρος καὶ τροπῇ τοῦ π εἰς σ ὕστερος (E. M. 785, 14). Denique alii, inter quos Orion p. 155 et Choeroboscus 156. b tota eiecta syllaba πο et accedente σ „ὑπόπληξ καὶ συγκοπῆς γενομένης τῆς πο συλλαβῆς καὶ πλεονασμῷ τοῦ σ γέγονεν ὕσπληξ ὡς ὑπότερος ὕστερος.“

ἔνθα καὶ περὶ τοῦ κύντερον ἄλλο γυναικός, εἰ καὶ ἔστι συγκριτικόν· τό τε ἰθύντερος ὑπὲρ τρεῖς ἐστι συλλαβάς, ῥήματι παρακείμενον τῷ ἰθύνω. τὸ δὲ ἐπασσύτερον

ὣς τότ' ἐπασσύτεραι Δαναῶν

οὐκ ἔχει φυσικὸν τὸ υ, ἐκ δὲ τοῦ ἀσσοτέρου ἐτράπη.

ἀσσοτέρω καθίσασα παραὶ πυρί.

21, 23. κύντερον ἄλλο γυναικὸς] λ, 427.

24. εἰ καὶ ἔστι συγκριτικόν] Cod. οὐκ ἔστι συγκριτικόν. Nolebam scribere ὅτι οὐκ ἔστι συγκριτικόν. Philoxeni scimus eam doctrinam fuisse de comparativis, ut multa excluderet nec comparativos esse concederet, sed ut ipse locutus est θέματα συμπεπτωκότα τύποις συγκριτικῶν vel ὁμοτυπίᾳ συγκριτικῶν ὑπαγόμενα, ut βέλτερος, φέρτερος, ipsum ὕστερος, πρότερος, imo probabile esse de πρεσβύτερος et νεώτερος v. E. M. 195. 7. 573, 52 (nam hic item Philoxenum dici facile intelligitur). 234, 48. cl. 227, 23. 110, 26. Herodianus huc sine dubio nullo modo inclinabat. Quod si fecisset, quam multa posteriorum grammaticorum scriptis huius doctrinae vestigia impressa haberemus. Et ostendit hoc ipsum ὕστερος. Quo retulerit κύντερος non apparet ex pros. Il. A, 280. Arcad. 70, 22 (p. 71, 22 l. ἰθύντερος, ἀβέλτερος). Removisse decreto ex comparativis ne hoc quidem putaverim: attamen ita singulare censuisse, ut seriam et suam quaestionem mereretur an omnino esset comparativus. De Philoxeno quidem, qui horrebat quodammodo in omni comparativo non ab adiectivo trium generum ducto, nec in κύντατος quid secutus sit dubitamus.

24. τό τε ἰθύντερος] melius fortasse τε delebis. Ad rem cf. Eust. Σ, 508 p. 1158, 40 τὰ δὲ ἰθύντατα ὡς ἐκ τοῦ ἰθύνω ἔχει τὸ ἀμετάβολον. ἄλλως γὰρ ἐκ τοῦ ἰθὺς ἰθύτατα ὤφειλεν εἶναι καθ' ὁμοιότητα τοῦ εὐθὺς εὐθύτατος καὶ τῶν ὁμοίων.

26. ὣς τότ' ἐπασσύτεραι —] Il. Δ, 427. Cod. ὡς τότ' ἐπασσύτερα —

27. ἀσσοτέρου] Cod. ἀσσοτέρω. D.

28. ἀσσοτέρω —] ρ, 572.

21 Ἀνήρ. οὐδὲν εἰς ηρ λῆγον ὀξυνόμενον ἔχει τὸ ν πρὸ τοῦ
η, ἀλλὰ μόνον τὸ ἀνήρ. τὸ δ' αἴτιον πρόδηλον. προςέθηκα δὲ
ὀξυνόμενον διὰ τὸ σύνηθες (†) βαρυνόμενον κύριον καὶ δηλοῦν
ποταμὸν ἐν Σικελίᾳ.

Ὀδούς. τὰ εἰς δους λήγοντα ὀνόματα ἁπλᾶ περισπᾶται,
υἱιδοῦς, θυγατριδοῦς, τηθαλλαδοῦς· ἀλλὰ μόνον τὸ ὀδοὺς ὀξυ-
22 νόμενον ὁμοίως ταῖς μετοχαῖς καὶ κλίσιν μετοχῶν ἀνεδέξατο·
ὀδόντος γὰρ ὡς διδόντος. λέγεται δὲ καὶ ὀδὼν πρὸς Ἰώνων.

Ὕψος. οὐδεμία λέξις ἀρχομένη ἀπὸ τοῦ υ ἔχει ἐπιφερόμενον διπλοῦν, ἀλλὰ μόνον τὸ ὕψος καὶ τὰ παρ' αὐτοῦ γεγονότα. αἴτιον δὲ τὸ πάθος. Αἰολεῖς δ' ἴψος λέγουσιν αὐτὸ

21, 29. οὐδὲν εἰς ηρ] Cod. post οὐδὲν habet τῶν. Delevit Bl.

30. τὸ δ' αἴτιον πρόδηλον] An duxit ab ἄῤῥην transpositis litteris?

34. υἱιδοῦς] Cod. υἱδοῦς. D.

22, 1. ὀδόντος] Cod. τὸ ὀδόντος

2. ὀδὼν] Cod. ὀδῶν

4. παρ' αὐτοῦ] ? Pros. Il. Σ, 162 δίημι ῥῆμα, παρ' οὗ καὶ τὸ δίεσαν? Steph. Byz. Ῥόβεια, παρ' ἧς τὸ ἐθνικὸν Ροβειάτης. — Τὰ εἰς ης ὀνόματα παρ' οὐδετέρων συντεθειμένα Theodos. canon. 978 Bekk. et apud Choerob. in commentario 93. b, qui sic ipse loquitur saepius et παρ' οὐδετέρου, παρὰ θηλυκοῦ συντεθειμένα. Item cum εἰσί, v. p. 93. b, 102. b. χωρὶς τοῦ εἴκοσι καὶ ἐννέα καὶ τῶν παρ' αὐτοῦ 115. a. — παρηγμένα παρ' ἐνεστῶτος ἢ μέλλοντος Ep. Hom. 230, 24. 232, 5. Quod ib. est p. 344 παγενι (ς) non est πρεσβυγενεῖς ut Cramerus suspicatur sed παρὰ γενικῆς (συντίθεται). Arcad. 99 παρὰ μελλόντων γινόμενα. Io. Al. 29, 25 ἔστι τινὰ καὶ παρὰ αἰτιατικῆς γεγονότα. Id. 38, 3 μόνον τὸ ἔνδον βαρύνεται διότι μόνον παρὰ προθέσεως. Arcad. 195, 10 παρὰ καιροῦ συντιθέμενα. [περ. διχρ. 300, 20.]

5. αἴτιον δὲ τὸ πάθος] Theognost. 19, 30 πρὸ τοῦ ζ ἢ ξ ἢ ψ τὸ υ ψιλὸν οὐχ εὕρηται εἰ μὴ ἐν τῷ ὕψος. γεγονέναι δὲ καὶ αὐτό φασιν παρὰ τὸ ὄπτω τὸ βλέπω, ὄψω ὄψος (substantivum a futuro ut ἄψεα, πίσεα, significans ἀφ' οὗ ἐστιν ἰδεῖν πάντα Epim. H. 63) καὶ τροπῇ Αἰολικῇ ὕψος. οὕτως

οἰκειότερον. ἔστι γὰρ εὑρέσθαι τὸ ι πρὸ διπλοῦ, ἵζω, ἰξός, 22

μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν.

Περὶ μονήρους λέξεως τῆς ἐν ῥήμασι καὶ ἐπιῤῥήμασι.

Ἀγω. οὐδὲν εἰς γω ὁριστικὸν καθαρὸν δισύλλαβον βαρύνεται καὶ πρὸ τέλους ἔχει δίχρονον συνεσταλμένον κατὰ χρῆσιν Ἑλλήνων, τὰ δὲ ὄντα περισπᾶται, τραγῶ, στυγῶ, σφριγῶ. σημειῶδες ἄρα τὸ ἄγω βαρυνόμενον οὐχ ὑγιῶς. ἔστι γὰρ καὶ περισπώμενον ἐπὶ δευτέρας συζυγίας,

εὖτ' ἂν τόδ' ἀγᾷ χρέος ἀνδρός.

Ἡρωδιανὸς ἐν τῷ περὶ πνευμάτων. — De Aeolicis ἴψος, ἴψηλος, sim. satis constat. V. Epim. H. 63, quae nostris simillima, et ib. 418. Hinc codicis vitium δίψος pro δ' ἴψος iam correctum a compluribus.

22, 8. μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν] Cod. μετὰ et ἀχαιόν. D. Il. A, 454.

15. ἔστι γὰρ καὶ —] Arcad. p. 151, 17 μὴ πρὸς ἀντιδιαστολὴν παράκειται διὰ τὸ ἄγω καὶ ἀγῶ τὸ καταπλήττομαι, ἐξ οὗ τὸ ἄγημι καὶ ἄγαμαι. Ep. H. 55 ἁπλοῦν δὲ (τὸ ἀγαθὸν), εἰ παρὰ τὸ ἀγάζω ἐστὶ τὸ θαυμάζω, ὅπερ παρὰ τὸ ἀγῶ. ἔστι δὲ παρ' Ἀλκμᾶνι (?) „αὐτὸν (?) ἀγᾷ“, ἀφ' οὗ καὶ ἄγημι καὶ ἄγαμαι, „ὥς σε γύναι ἄγαμαι“. Apud Homerum ipsum optionem dederunt inter ἀγᾶσθε et ἄγασθε Od. ε, 129, v. schol.

16. εὖτ' ἂν τόδ' ἀγᾷ χρέος ἀνδρός] Cod. εὖτ' ἂν τῆδ' ἄγε χρέος ἄνδρας. Videbitur Callimachi versus, qui hac metamorphosi in χρέος quodvis χρῆμα „παρὰ χρέος“ (Naeke Choer. 215) ad altiorem poesin aspirare putavit. Hymn. Dian. 100 εὗρες ἐπὶ προμολῇς ὄρεος τοῦ Παῤῥασίοιο Σκαιρούσας ἐλάφους μέγα τι χρέος. Quanto melius hoc verbo usus est Apollonius I, 236 εὖτ' ἂν ἄγῃ χρέος ἄνδρας ὑπεὶρ ἅλα ναυτίλλεσθαι.

22 πρόσκειται καθαρὸν διὰ τὸ μίσγω, συστελλόμενον δίχρονον διὰ τὸ πνίγω, κατὰ χρῆσιν δὲ λεγόμενον Ἑλλήνων διὰ τὸ θίγω. τοῦ γὰρ θίξω ἔσται τὸ θέμα τοῦτο, ἀλλ' οὐ λέγεται, λέγεται δὲ ὑποτακτικῶς κατὰ τὸν ἀόριστον χρόνον ἐὰν θίγω· διὸ προςεθήκαμεν ὁριστικόν.

Μίσγω. οὐδὲν ῥῆμα δισύλλαβον βαρύτονον, ἔχον πρὸ τοῦ ω ἕν τι τῶν μέσων, κατ' ἐπιπλοκὴν ἔχει τὸ σ· ὁ δὲ λόγος ἐπὶ τῆς ἡμετέρας διαλέκτου· φέρβω, τρίβω, λείβω, ἥδω, ἕδω, τέγγω, στέργω. μονῆρες ἄρα τὸ μίσγω κατ' ἐπιπλοκὴν ἔχον τὸ σ.

Ἐλαύνω. οὐδὲν εἰς νω λῆγον ῥῆμα ὁριστικὸν βαρύτονον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐλαύνω

22, 20. τοῦτο, ἀλλ' οὐ λέγεται, λέγεται δὲ] Cod. τοῦτο ἄλλου. λέγεται δὲ Bl.

20. ἀόριστον] Cod. ὁριστικόν. — Juvabit haec legisse Theognost. 140 τὰ εἰς ω λήγοντα δισύλλαβα ὁριστικὰ ἐνεστῶτος χρόνου οὐδέποτε βαρύνεται ἔχοντα πρὸ τέλους τὸ ι συνεσταλμένον ἑνὸς ἀφώνου ἐπαγομένου· ὅσα δὲ τοιαῦτα εὑρεθῇ ὑποτακτικά ἐστιν, ἐὰν λίπω, ἐὰν θίγω, ἐὰν ἴδω. διὸ καὶ τοῦ θίξω μέλλοντος ὁ ἐνεστὼς θίγω μὴ λεγέσθω διὰ τὸν μαχόμενον χαρακτῆρα.

22. Μίσγω. οὐδὲν ῥῆμα δισύλλαβον βαρύτονον] Haec desunt in Cod., qui uno tenore ὁριστικὸν ἔχον —, suppleta a Blochio. Nauckio praeterea ὁριστικὸν addendum videtur, ut librarius ab uno ὁριστικὸν ad alterum aberraverit.

29. τὸ ἐλαύνω sqq.] Cod. τὸ ἐλαύνω βαρύτονον παρ' ἐνίοις καὶ παρ' ἄλλοις περισπᾶται. — Scripsit haec Herodianus λύσιν subindicans, quae in summa brevitate scientis et explicatiora aliis libris reservantis talis recinit: esse hoc a verbo, cum reliqua in αυνω, χαυνω et κεραυνω, a nominibus sint ideoque iure perispomena: et esse quidem ab ἔλω, a quo tamen non perventum esset ad ἐλαύνω, si tantummodo ut est apud quosdam (ἔλσαι) barytonon esset nec iam apud alios perispomenon: ab hoc enim non sine commoda analogia perveniri ad ἐλαύνω. — Apud Etymologum sunt p. 325, 52 qui hoc modo formant: ἔλω ἐλόω ἐλόνω καὶ πλεονασμῷ τοῦ α ἐλαύνω. Hos non admittit Herodianus.

παρὰ τὸ ἔλω βαρύτονον παρ' ἐνίοις, ὃ καὶ παρ' ἄλλοις περισπᾶται.

Alii apud eundem Etymologum et in Epimerismis Crameri II. p. 367 ὥςπερ βῶ βαίνω (in Epimerismis est περῶ περαίνω et πτῶ πταίνω unde παπταίνω) οὕτως ἐλῶ ἐλαίνω καὶ τροπῇ τοῦ ι εἰς υ γίνεται ἐλαύνω. Alii ut χράω χραύω, ἄω αὔω, ψάω ψαύω et similia, sic ἐλάω ἐλαύω et hinc ἐλαύνω Eust. 531, 15. In his Heraclides reperitur Eust. 671 in. 831 fin. Et Herodianus ipse: Eust. 562, 43 τὸ δὲ δαμνᾶν πλεονασμὸν ἔχει τοῦ ν Δώριον, ὁποῖος γίνεται καθ' Ἡρωδιανὸν καὶ ἐν τῷ ἐλαύνω (cf. Arcad. 163, 25), δύω δύνω καὶ τοῖς ὁμοίοις. — Non alienum fuerit haec adscripsisse Arcadii 161, 1 τὰ εἰς νω παραληγόμενα διφθόγγῳ μὴ τῇ αι ἢ ει περισπᾶται, ἐρευνῶ, θοινῶ, χαυνῶ, κοινῶ, οἰνῶ, χωρὶς τοῦ ἐλαύνω. — Caeterum si quis hoc loco pro conciso Herodiano abundantiorem malit, sic scribat: — ἀλλὰ μόνον τὸ ἐλαύνω. βαρύτονον δὲ προςέθηκα διὰ τὸ χαυνῶ, κεραυνῶ. ὧν καὶ ὀνόματα προκατῆρξε· τὸ δὲ ἐλαύνω παρὰ τὸ ἔλω βαρύτονον παρ' ἐνίοις, ὃ καὶ παρ' ἄλλοις περισπᾶται. Dicatque ab altero βαρύτονον ad alterum aberratum esse. — Haec, quae dudum scripseram, velim non prorsus improbabilia videantur Lobeckio, quem in Technologia p. 125 dubitare invenio, num ita in hoc loco sanando procedi possit, ut de thematico ἔλω sermo sit. Unum propter egregii viri dubitationem quandam addo: hoc loco, ubi d e r i v a t i o quaeritur, rectissime dici videri τὸ ἔλω βαρύτονον παρ' ἐνίοις, non minus quam si alicubi ita loquentem inveniremus: „οἶδε δὲ καὶ ὁ Ὅμηρος τὸ ἔλω ὅθεν τὸ Ζεὺς ἔλσας ἐκέασσε.“ Nec repugnat, sed ex eius more factum, si in catholica de accentu regulam aliquam ita concepit, ut sola quorum ipsa praesentia lecta essent comprehenderet sepositis quae regulam impedirent non lectis: quam regulam hoc modo tradidit Arcadius p. 158: τὰ εἰς λω δισύλλαβα εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς ε καταλήγουσαν βαρύνεται, ἀρχόμενα ἀπὸ συμφώνου μὴ μέσου, χωρὶς εἰ μὴ παρ' ὄνομα εἴη, κέλω, πέλω, θέλω· τὸ μέντοι ἐλῶ περισπᾶται, ὅτι ἀπὸ φωνήεντος ἤρξατο. τὸ δὲ τελῶ ἔχει τὸ τέλος ὄνομα. Haec quam contracta sint iam inde apparet quod illud μή μέσου non explicatum invenitur quo pertineat.

22 Παίζω. οὐδὲν εἰς ζω λῆγον ῥῆμα ἔχει πρὸ τέλους τὴν αι δίφθογγον ἐκφωνουμένην, ἀλλὰ μόνον τὸ παίζω.

Κράζω. τὰ εἰς ζω λήγοντα ῥήματα ὁριστικά, εἰ ἔχοι 23 πρὸ τέλους μόνον τὸ α, ἔχει αὐτὸ συνεσταλμένον, ὑπεσταλμένης τῆς Αἰολίδος διαλέκτου· οἷον σφάζω, στάζω, λάζω, χάζω, εὐάζω, ἐκκλησιάζω, σκεπάζω, ἀνιάζω, ἀγοράζω· τοῦτο ἐπὶ ἑτέρου σημαινομένου θέλουσιν ἐπιτείνειν, ὥςπερ καὶ τοπάζω (?). ἀλλ'

Mentionem praesentium καθ' ὑπόστασιν factorum sine dubio Herodianus et hic fecerat, e. g. hoc modo: τὸ γὰρ ἕλω ἐπὶ ἐνεστῶτος οὐκ εἴρηται, ὥςπερ οὐδὲ τὸ ἕλω, ἔνθεν τὸ ἕλωρ (vel τὸ εἷλον ἐπ' ἀορίστου χρόνου), καὶ ἀπὸ μέσου τὸ δέλω, ἔνθεν τὸ δόλος ὡς ἀπὸ τοῦ φένω φόνος. *)

22, 32. ἐκφωνουμένην] Non ἐκφωνουμένην habent quae mox sub πλάζω commemoraturus est, σφαδᾴζω, ματᾴζω, τερᾴζω.

23, 2. ἐπιτεινειν] Hoc dubium pro vulgato in ea re ἐκτείνειν: certe rarissimum ni fallor. Ep. H. p. 25, 13 ἀμύνω. ἐπιτεταμένον ἔχει τὸ υ, et sic eo loco utrumque Etymologicum. — Apollon. pron. 69. B. τὸ τύνη ὠλιγωρῆσθαί φασι καθὸ τείνει τὸ υ. ib. 34. B. πῶς οὖν οὐ τείνεται (τὸ τίς sc.) μονοσυλλαβοῦν ὡς τὰ ὀνόματα;

2. ὥςπερ καὶ τοπάζω] Cod. ὥςπερ καὶ τὸ πλάζω. In loco huic simillimo περὶ διχρ. 292 unum ἀγοράζω affert: τὰ διὰ τοῦ αζω δισύλλαβα συστέλλει τὸ α, ὑπεσταλμένων τῶν Αἰολικῶν, διὰ τὸ πτάζω καὶ πλάζω ἐπιπλήσσω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· στάζω, φράζω, βάζω, σφάζω· παράλογον ἄρα τὸ κράζω ἐκτέταται. καὶ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχει συνεσταλμένον τὸ α, χωρὶς εἰ μὴ ἔχοι πρὸς τῷ α τὸ ι, διὰ τὸ ματᾴζω, σφαδᾴζω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· σκιάζω, ἐνθουσιάζω, ἀγοράζω. τινὲς δὲ ἐκτείνουσι τὸ „ὅδ' ἀγοράζει κλεῖδ' ἔχων“ τουτέστιν ἐν ἀγορᾷ διατρίβει πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου, λέγω δὲ τοῦ ὠνεῖσθαι. Et quidem haec in foro versandi significatio Atticorum propria dicitur. Moeris: ἀγοράζειν ἐκτείνοντες τὸ δεύτερον α οἱ Ἀττικοί, ἐν ἀγορᾷ διατρίβειν Ἕλληνες. Nostro loco, quod videre

---

*) Hesych. ἐλῶ κατέχω, πιάζω. ἐλάσω. Priora sunt de εἰλῶ. Ubi evanuerunt.

οὖν γε ταῦτα 'Αττικά ἐστι. σημειῶδες οὖν τὸ σύνηθες πᾶσι τὸ 23
κράζω ἔχον ἐκτεινόμενον τὸ α, εἰ μὴ ἄρα τῷ κρώζω ἰσοχρονῆσαι ἠθέλησαν αὐτό. πρόςκειται μόνον τὸ α διὰ τὸ σφαδᾴζω, τερᾴζω, ματᾴζω, πρὸς τὸ α τὸ ι γραφόμενον ἔχοντα. παρῃτησάμεθα δὲ Αἰολίδα διάλεκτον διὰ τὸ πτάζω,

ἔπταζον ὥςτ' ὄρνιθες ὤκυν
αἴετον ἐξαπίνας φάνεντα.

ἐκ δὲ τοῦ κοινοῦ ἦν τοῦ ἔπτησσον. τὸ δὲ αὐτὸ ἐπὶ τοῦ πλάζω·

τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν
καὶ μελέδωνα,

---

liceat, alterum etiam commemoratum, quod nunc ut patet corruptum est, quale fuerit, ut ex Lobeckii disputationibus intelliges, nullum vestigium est. Mihi in mentem venit τοπάζω: cuius inter significationes cum Hesychius ponat etiam ἱδρύω, fortasse putes Atticum aliquem poetam, sive serio sive ioco, ita usum, grammaticos aliquos locali significationi in hoc ut in ἀγοράζω longam attribuisse.

23, 4. ταῦτα 'Αττικά ἐστι.] Cod. ταῦτα τὰ'Αττικά ἐστιν.

5. τὸ σύνηθες] Cod. ἀσύνηθες. Emendat Lobeckius Technol. p. 88, ut et

5. τῷ κρώζω] pro eo quod in Cod. est τὸ κράζω.

7. διὰ τὸ σφαδᾴζω] Cod. ἐπὶ — Bl.

9. παρῃτησάμεθα] Cod. παραστησόμεθα. Bl.

10. ἔπταζον seqq.] Cod. sic: ἔπταζον· ὡς τὸ, ὄρνιθες ὠκὺν αἰετὸν ἐξαπτῆνας φανέντα· ἐκ δὲ τοῦ κοινοῦ ἦν τὸ, ἔπτησαν δὲ αὐτὸ, ἐπὶ τοῦ πλάζω· τὸν δὲ ἐπιπλάζοντες. v. Bergk. fr. Alcaei 27 p. 576 et Sapphonis fr. 20 p. 605. Scilicet τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν ut Sapphonis affert Etym. s. ἐμπάζομαι, prius fragmentum ex colore Alcaeo tribuit Bergkius, sane probabiliter. μελέδωνα scriptum esse a Sapphone, quod significet „custodem" [Aelian. V. H. II, 14] probare studuit Seidlerus Mus. Rhen. 1829 p. 178. — Caeterum hoc Aeolicum πλάζω pro πλήσσω producta prima erant etiam qui quibusdam locis Homericis intelligi scribique vellent, ipse, ut fertur, Aristarchus, Epim. Hom. 149. 47.

ἀντὶ τοῦ ἐπιπλήσσοντα.

Δίδωμι. οὐδὲν τῶν εἰς μι ληγόντων ῥημάτων τῆς τρίτης συζυγίας κατὰ χρῆσίν ἐστιν Ἑλλήνων ἐπὶ ἐνεστῶτος χρόνου, ἀλλὰ μόνον τὸ δίδωμι. νῦν γὰρ τοὺς Αἰολεῖς παραιτούμεθα.

Εἰμί. οὐδὲν εἰς μι λῆγον ὁριστικὸν ῥῆμα κατὰ τὴν

23, 16. ἐπὶ ἐνεστῶτος χρόνου] Hoc quo tendat intelligetur ex Ep. H. 101 γνώτην. ῥήματος β' ἀόριστος. τό θέμα ἄδηλον (h. e. non exstat) οὐ γὰρ εὑρέθη ἐπὶ τρίτης συζυγίας εἰ μὴ τὸ δίδωμι, τὰ δ' ἄλλα καθ' ὑπόστασιν λαμβάνομεν, ἄλωμι, βίωμι, τίτρωμί τε καὶ γίγνωμι ..... οὕτω Φιλόξενος καὶ Τρύφων. καὶ ἡμεῖς δὲ τὰ θέματα αὐτῶν καθ' ὑπόστασιν λαμβάνομεν. οἱ μέντοι δεύτεροι ἀόριστοι αὐτῶν εἰσιν ἐν χρήσει κατὰ πᾶσαν ἔγκλισιν —. Quae facile Herodianea videantur. Cum illo ἄδηλον confer οὐ γὰρ πρόδηλον ἔχει ὄνομα (τὸ ἰότης), παρ' ὃ γέγονεν, ἀλλὰ ῥῆμα infra p. 40, 10.

17. νῦν γὰρ τοὺς Αἰολεῖς παραιτούμεθα] Hi enim ex vulgatis in οω faciunt verba in ωμι, nominatim afferuntur ἐλευθέρωμι et δοκίμωμι. Giese 214. Ahrens 136.

19. ὁριστικὸν ῥῆμα] hic significanter dictum propter optativos, ποιοῖμι, cett. Ex Choerobosci disputationibus de his vocibus haec transscripsimus Theod. 342, b. Δεῖ δὲ γινώσκειν ὅτι ὁ Ἀπολλώνιος τὸ εἶμι διὰ μακροῦ τοῦ ι γράφει ἐκ τοῦ καὶ τὰ δυικὰ καὶ τὰ πληθυντικὰ διὰ συνεσταλμένου τοῦ ι εἶναι, οἷον ἴτον, ἴτην, ἴμεν, ἴτε· καὶ ἐν συνθέσει ἔξιτον καὶ τὸ γ' τῶν πληθυντικῶν ἴσι καὶ ἴασιν, οἷον καί τ' ἀγεληδὸν ἴασιν (Π, 160). Οὐ συνᾴδει δὲ αὐτῷ ἡ παράδοσις· φησὶ γὰρ ὁ Ἡρωδιανὸς ἀεὶ τὴν παράδοσιν γινώσκειν τὸ εἶμι ἐν τοῖς ἑνικοῖς διὰ τῆς ει διφθόγγου, οἷον εἶμι μὲν οὐδ' ἁλίη ὁδὸς ἔσσεται (β, 318), καὶ τὸ δεύτερον εἶς, οἷον τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν (Hes. op. 206) ἀντὶ τοῦ ἐκεῖ πορεύῃ, καὶ τὸ τρίτον τῶν ἑνικῶν εἶσιν, οἷον εἶσι περὶ πτόλιος μαχεούμενος (Ρ, 147) ἀντὶ τοῦ πορεύεται. τὰ μέντοι δυικὰ καὶ τὰ πληθυντικά, ὡς εἴρηται, διὰ συνεσταλμένου τοῦ ι εἰσί. Memineris ad diiudicandam orthographiam paradosin praecipue adhibitam esse et dialectos. Apollon. adv. 571, 9 ὅτι γὰρ τὰ τοιαῦτα διὰ τοῦ ι (adverbia in ι) σαφὲς μὲν καὶ ἐκ τῶν διαλέκτων, σαφὲς δὲ καὶ ἐκ τῆς παραδόσεως καὶ ἔτι τῆς παρε-

ἡμετέραν διάλεκτον διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ εἰμί, 23 ὃ σημαίνει τὸ ὑπάρχω. οὐκ ἀγνοῶ δὲ ὅτι καὶ τὸ βαρυνόμενον ἡ παράδοσις διὰ τῆς ει διφθόγγου γράφει· οὐχ ὑγιῶς μέντοι οὔτε κατὰ τὸ κίνημα αὐτοῦ οὔτε κατὰ τὴν Αἰολίδα διάλεκτον, ὡς δέδεικταί μοι ἐν τοῖς περὶ ὀρθογραφίας. πρόσκειται δὲ κατὰ τὴν ἡμετέραν διάλεκτον, ἐπεὶ Αἰολεῖς πάλαιμι καὶ γέλαιμι φασὶ καὶ πλάναιμι, Βοιωτοὶ δὲ τάρβειμι καὶ ποίειμι καὶ φίλειμι.

Ἐστί. οὐδέποτε ῥῆμα γ' προσώπῳ εἰς τι λήγει, λέγω δὲ πρὸ τοῦ τ ἔχον τὸ σ, οὔτε κατὰ τὰς ἄλλας διαλέκτους, οὔτε κατὰ τὴν συνήθειαν, ἀλλὰ μόνον τὸ ἐστί.

Ἐσμέν. τὰ εἰς μεν λήγοντα πληθυντικὰ ἀεὶ θέλει καθαρὸν ἔχειν τὸ μ, δίδομεν, τίθεμεν, λέγομεν, νοοῦμεν· εἰ μέντοι σύμφωνον εὑρεθείη, συγκοπὴ πρὸ αὐτοῦ ὁρᾶται γινομένη, ἴσαμεν

πομένης ἔσθ' ὅτε συστολῆς. Quod ad ει et ι attinet, ex Aeolismo haec creberrime diiudicantur, quod in eo ubi vulgaris sermo habet ει emergit η vel ε subsequenti plerumque duplici consonante: v. Ahrens dial. Aeol. 89. 50 sq. Sic εἰμί „sum" Aeolice fuit ἔμμι: non item εἶμι eo, cuius tamen quae fuerit Aeolica forma, nescio an non traditum sit. In E. M. s. χίλιοι 816 (cl. Moschop. περὶ σχεδῶν 50. Bekk. 1127), quatuor feruntur regulae, ad quas exigatur orthographia, analogia, dialectus, paradosis, etymologia. Quae praecipua sunt, non sola sunt, ut modo Apollonius systolem etiam adscivit. Τὸ κίνημα αὐτοῦ cum dicebat Herodianus praecipue ut patet coniugationem cogitavit, quamquam nec reliquam formationem est quod excludamus, ut ἰσθμός, εἰσίθμη.

23, 26. πάλαιμι] Hoc reliqua Aeolica huius ordinis excedere videtur a vulgaribus contractis propagata: si necesse sit, facile χάλαιμι scribi posse observat Lob. Buttm. p. 71.

30. λέγω δὲ —] In Epim. Hom. 147 refutantur si qui ἐστί Dorium dicant: Δωρικὸν δὲ οὐκ ἔστιν· ἐπεὶ τὰ Δώρια τὸ φατί καὶ τὸ τίθητι πρὸ τοῦ τ καθαρά εἰσι. Et pluralia praecedente ν.

35. ἴσαμεν sqq.] Ἴσμεν ex ἴσαμεν factum esse vulgaris opinio erat pluribus locis commemorata. Quod ad ἴδμεν attinet, Eustathius ad B, 252 significat ducere hoc ab

24 ἴσμεν, ἴδομεν ἴδμεν, ἐοίκαμεν ἔοιγμεν, δέδοιγμεν, ἐπέπιθμεν· τὸ μέντοι ἐσμὲν οὐχ οὕτως ἔχει. οὐκ ἀγνοῶ δὲ ὅτι καὶ ἐμέν λέγεται,

γρῆές ἐμεν,

οἴδαμεν violentius visum: ἴσμεν, inquit, trope Dorica, ut κεκαδμένος, „τινὲς δὲ τολμῶσιν ἐκ τοῦ οἴδαμεν συγκόψαι αὐτὸ ἀποβάλλοντες τὸ κατάρχον ο". Caeteri aut ἴσαμεν καὶ ἐν συγκοπῇ ἴσμεν, hinc ἴδμεν (sic e. g. Heraclides, Eust. 780, 35) aut ab εἴδω i. e. γιγνώσκω (v. Choerob. 352. a. Herod. Pros. Il. A, 363) aoristus ἴδομεν καὶ ἐν συγκοπῇ ἴδμεν. Ep. Hom. 214. — Ad reliqua: ἐοίκαμεν κατὰ συγκοπὴν ἔοιγμεν. Ep. Hom. 214. ἔοιγμεν ἐκ τοῦ ἐοίκαμεν πρώτου τῶν πληθυντικῶν γίνεται κατὰ συγκοπὴν καὶ τροπὴν ἔοιγμεν E. M. 350, 52 (v. ad Aiac. 1239). — ἐκ τοῦ πείθω ὁ δεύτερος ἀόριστος ἔπιθον καὶ κατὰ ἀναδιπλασιασμὸν ἐπέπιθον, τὸ πρῶτον τῶν πληθυντικῶν ἐπεπίθομεν καὶ κατὰ συγκοπὴν Ἰλιάδος β΄ καὶ δεξιαὶ ᾗς ἐπέπιθμεν ἀντὶ τοῦ αἷς ἐπεπιστεύκειμεν E. M. 355, 26. In hoc loco B, 341 Byzantinorum quandam rationem πίθομαι ἐνεστὼς διὰ τοῦ ι παρὰ τοῖς ποιηταῖς, hinc perfectum medium πέπιθα et reliqua, habemus apud Moschopulum ad Iliad. l. l.; illud enim ferri non posse propter activam aoristi significationem. Qua in difficultate sine dubio inde ab initio mota certo vellem testimonio de vetustiorum constaret ratione: ex Moschopulo l. l. et Eustathio ib. p. 235 in. videmus fuisse qui hac solutione uterentur: ἐφ᾽ αἷς ἐπείσαμεν sc. ἑαυτούς. — E. M. 253, 23 ἀπὸ τοῦ δεδοίκαμεν κατὰ συγκοπὴν δέδοιγμεν· τὰ γὰρ εἰς μεν πληθυντικὰ καθαρὰ θέλει εἶναι· ἐὰν δέ που σύμφωνον γίνηται, κατὰ πάθος λέγεται εἶναι, φέρομεν φέρμεν, ἐοίκαμεν ἔοιγμεν (falso hoc scriptum ἔϊγμεν), ἐπεπίθομεν ἐπέπιθμεν. —

24, 1. δέδοιγμεν] Cod. δέδεγμεν. Correxit Dind. Thes.

2. ἐμέν] Cod. ἔσμεν. D.

3. γρῆές ἐμεν] Cod. γρῆες ἔμεν. Callimachi est, Ep. H. 207. Eust. 457, 50. Utroque loco est γρῆες ἐμέν, non abiecto accentu, et hoc sine dubio iniuria. Eodem loco Epimerismorum ἐμὲν bis recte scriptum ut Choer. 345. b ἀπὸ τοῦ εἰμὶ ἐμέν, ὅπερ κατὰ πλεονασμὸν τοῦ σ γίνεται ἐσμέν.

καὶ εἰμέν, 24

ἡμεῖς δ' εἰμὲν τοῖοι.

Οἶδα. οὐδεὶς παρακείμενος δισύλλαβος κατὰ τὴν συνήθειαν καὶ τὴν παλαιὰν χρῆσιν ἀπὸ τῆς οι διφθόγγου ἄρχεται, ἀλλὰ μόνος ὁ οἶδα. οἱ γὰρ περὶ Ἀλκαῖον ὄϊδα λέγουσι τρισυλλάβως. προςέθηκα δὲ κατὰ τὴν παλαιὰν χρῆσιν, ἐπεὶ οὐ παρ' Ἀττικοῖς ἐστιν ἔσθ' ὅτε οἶκα λεγόμενον δισυλλάβως.

Ἔπεσον. οὐδεὶς δεύτερος ἀόριστος εἰς ον λήγων πρὸ τοῦ ο ἔχει τὸ σ, ἀλλὰ μόνον τὸ ἔπεσον. ὁ γὰρ κατέχεσον παρ'

δύναται δὲ τὸ ἐσμέν ἀπὸ τοῦ ἐσμί εἶναι. Item alibi recte ἐμέν, ut Ep. H. 336, 9. E. M. 301, 41. Alibi peccatum ἔμεν, ut Ep. H. 381, 34.

24, 3. καὶ εἰμέν, ἡμεῖς δ' εἰμὲν τοῖοι] Cod. καὶ ἡμῖν et ἡμεῖς δειμέντοιο. D. Il. H, 231.

7. ὄϊδα] Aeolicum affert Steph. s. Καρία, σύνοϊδα Choer. Theod. 258. a.

8. ἐπεὶ οὐ παρ' Ἀττικοῖς ἐστιν ἔσθ' ὅτε οἶκα λεγόμενον δισυλλάβως] Cod. ἐπεὶ παρ' Ἀττικοῖς ἐστί ἔσθ' ὅτε ᾦιδα λέγομεν δισυλλάβως. Poteram autem, inquit, addere κατὰ παλαιὰν χρῆσιν, quod οἶκα, hic illic dictum apud antiquos, non apud Atticos invenitur, sed apud poetam aliquem vel in dialecto. — Cf. Ep. H. 287 ἰστέον δὲ ὅτι πᾶς μέσος παρακείμενος ὑπερβαίνειν θέλει τὴν δισυλλαβίαν σεσημειωμένων τριῶν, οἶδα, „οἶδ' ἐπὶ δεξιά, οἶδ' ἐπ' ἀριστερά", καὶ εἶκα ὃ σημαίνει τὸ ὁμοιῶ, „οἶκας μὲν ὡραίῳ λίνῳ" παρὰ Ἀλκμᾶνι, καὶ εἶα, ὅπερ ἐν διαλύσει ἔϊα καὶ ἐπαυξήσει „ἤϊα πολλὰ θεοὺς γουνούμενος". Cogitavit Herodianus hoc Alcmanicum οἶκας, quo simillime ut Epimerismi auctor, qui sine dubio ex Choerobosco hausit, bis utitur Choeroboscus 257. a. 350. a.*), sed alia quoque, ut Herodoti et Ionum usum, quorum mentionem facit Eustathius (apud quem p. 759, 2 Ἰωνικῶς scribendum esse pro κοινῶς ex aliis eiusdem locis apparet).

---

*) Scribitur εἶκα, ἦκα, εἶκας, sed 257. a. Bekkerus in Coisliniano invenerat οἶκας παρ' Ἀλκμᾶνι (v. indicem), quamquam ibi quoque Gaisfordius edidit εἶκας, ex Barocciano 116, ut coniicio (v. Cram. Anecd. IV, 415).

24 Ἀλκαίῳ τῷ κωμικῷ ἐν Γανυμήδει εἰρημένος οὔτε τῆς τῶν ἄλλων Ἑλλήνων χρήσεώς ἐστιν οὔτε κατά τινα ἀναλογίαν ἐξενηνεγμένος ἢ μόνον κωμικῶς πεποιημένος.

24, 12. Γανυμήδει] Cod. Γανυμέδει. Choer. 272. a Λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι ἐστὶν ὅμοιον αὐτῷ τὸ κακέμφατον, φημὶ δὲ τὸ ἔχεσον, καὶ αὐτὸ πρὸ τῆς ον συλλαβῆς τὸ σ ἔχον· καὶ παρατίθεται τὴν χρῆσιν παρ' Ἀλκαίῳ ἐν Γανυμήδει ἔχουσαν οὕτως· κατέχεσον τῆς Νηρηΐδος. Σχηματίζει δὲ ὁ Ἡρωδιανὸς τοῦτον τὸν τρόπον τὸ ἔπεσον. Φησὶν ὥςπερ ἀπὸ τοῦ φυσῶ φυσήσω γίνεται φύσημα καὶ ἀπὸ τοῦ νοσῶ νοσήσω γίνεται νόσημα, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πεσῶ περισπωμένου γίνεται πεσήσω καὶ πέσημα ὄνομα ῥηματικόν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ· οὗ πεσήματα πλεῖσθ' Ἑλλάδος πέπτωκε δορυπετῆ νεκρῶν. καὶ λοιπὸν ὡς ἀπὸ τοῦ πεσῶ περισπωμένου γέγονε ἔπεσον ὁ δεύτερος ἀόριστος, ὥςπερ ἀπὸ τοῦ χραισμῶ ἔχραισμον καὶ ἀπὸ τοῦ ὀλισθῶ ὤλισθον καὶ ἀπὸ τοῦ τύπτω ἔτυπον. Legendum κτυπῶ ἔκτυπον, si omnino ultimum exemplum a Choerobosco ipso scriptum est. Ab Herodiano abfuisse puto. Exquisitius est enim quod ex Epimerismis Hom. p. 176 intelligas Herodianum ad ἔπεσον observasse: „hoc ἔπεσον monadicum esse, ut in ipsis aoristis secundis complura inveniantur monadica": et ut monadica ἔχραισμον, ὤλισθον cum illo composuit. Nam Herodianum in illo quoque Epimerismorum loco statim agnosces ..... ἢ παρὰ τὸ πέτω, ἔνθεν τὸ πέσημα καὶ πεσεῖν·

τί βούλομαι τραγικὸν καταπέσημα.

(Leg. ἢ παρὰ τὸ πεσῶ, ἔνθεν τὸ πέσημα,
καταπεσεῖν τι βούλομαι
τραγικὸν πέσημα.)

οὐδεὶς δὲ (l. δεύτερος) ἀόριστος ἔχει τὸ σ. μονῆρες τοῦτο τὸ ἔπεσον, ὡς ἔστιν εὑρεῖν ἄλλα μονήρη (sc. in aoristis secundis). οὐδὲ εἷς δύο ἀορίστων (l. οὐδὲ εἷς δεύτερος ἀόριστος) εἰς θον, μόνος ὁ ὤλισθον, οὐδὲ εἷς εἰς μον, μόνος ὁ ἔχραισμον. τὸ παρ' Ἀλκαίῳ εἰρημένον ἐπὶ τοῦ φορτικοῦ κατέχεσον τῆς Νηρηΐδος κωμικὸν εἶναι. ὡς (l. ᾧ) Ἀριστοφάνης εἴρηκέ που ἀκολούθως χεσεῖν δέον εἰπεῖν αὐτὸν χέσαι.

13. ἐστιν] Cod. ἐστι

14. ἢ μόνον] Cod. ἤτοι. Nihil habui quod propius

Αἰνῶ. τὰ διὰ τοῦ αινω δισύλλαβα βαρύτονά ἐστι, βαίνω, 24
δραίνω, ῥαίνω, χαίνω, κταίνω (?), σαίνω, χραίνω, αἴνω τὸ δα-

---

accederet quam ἢ μόνον. Pros. Il. Ω, 557 Ἀρίσταρχος δὲ οὐδὲν ἀποφαίνεται ἢ μόνον ἀθετεῖ τοὺς στίχους. Α, 81 οὐδὲν τῶν εἰς αρ συντέθειται ἢ μόνον τὸ ἦμαρ. Eadem sententia ἢ solum sine μόνον ib. Δ, 151 ἐνθάδε γὰρ οὐ καλῶς δυνάμεθα ἀναγνῶναι ἢ φυλάσσοντες τὴν ει δίφθογγον. — Δ, 235 οὐδέποτε οἶδεν ὁ ποιητὴς ἁπλοῦν τὸ ψευδής, ἐν δὲ συνθέτῳ φιλοψευδής, ἀψευδής, ἢ οἶδεν ἑτέρως λεγόμενον τὸ ψεῦσταί τ' ὀρχησταί τε. Ut illic est sed, sed tantummodo, sic hic sed potius, μᾶλλον δέ. Amat haec et Apollonius. synt. 334, 11 τά γε μὴν ἄρθρα οὐδὲν τοιοῦτον σημαίνοντα ἢ μόνον ἀναφορικὴν ἔννοιαν. adverb. 553, 25 βαρυνόμενα γὰρ οὐκ ἔστιν ἐπινοῆσαι ὑπὲρ δύο συλλαβὰς τῷ ε παρεδρευόμενα, δισύλλαβα μέντοι, πλέω, ῥέω, κέω, ἢ τὰ παρ' Ἴωσι διῃρημένα, φιλέω, νοέω. ib. 533, 24 τὸ γὰρ αὔριον ἀντικείμενον τῷ παρῳχημένῳ οὐ συντετάξεται ἢ πάλιν τοῖς ὁμολογοῦσι τὸ μὴ παρῳχῆσθαι, αὔριον γράφω, αὔριον γράψω. 579, 16 παρά τε τὸ ἄφαρ ἀφάρτερος, ἔσω ἐσώτερος, ἄνω ἀνώτερος, ἅπερ οὐκ ἐπίτασιν πεποίηται τῶν τόπων ἢ (i. e. μᾶλλον δὲ) τῶν μετειληφότων προςώπων τῆς τοπικῆς σχέσεως. — Epim. H. 391, 7 τί διαφέρει σκίψ καὶ κνίψ; οὐδὲν διαφέρει ἢ μόνον κατὰ κλίσιν. Ib. 266, 5 τὸ δὲ θέμα (τοῦ λέξον, λέξο) οἱ μὲν λέγω φασίν, ἀλλ' οὐκ ἔχουσιν ἐπὶ τούτου παραλαβεῖν ἢ μόνον τὸ τανυηλεγέος θανάτοιο· οἱ δὲ λέχω φασί, καὶ δῆλον ἐκ τοῦ λέχος.*)

17. κταίνω] si forte indoctiorum stilum subibat inferiore aetate (uti ἀποκταίνει Corinth. II, 3, 6 Lachm.), id Herodianus cogitare non poterat: vix poterat Alcaei κταίνω, etiamsi hoc ipsum apud illum legisse statuamus, ut Heraclidi notum fuit ap. Eust. 1648, 6 γίνεται κατὰ Δωριεῖς φθαίρω . . . . . καὶ ἐκ τοῦ κτείνω κταίνω Δωρικώτερον παρὰ Ἀλκαίῳ. Nam etiamsi poetica non exclusit in hoc

---

*) Lucian. ver. hist. I, 24 τῇ μέντοι γαστρὶ ὥςπερ πήρᾳ χρῶνται τιθέντες ἐν αὐτῇ ὅσων δέονται. ἀνοικτὴ γὰρ αὐτοῖς αὕτη καὶ πάλιν κλειστή ἐστιν. ἔντερον δὲ ἐν αὐτῇ οὐδὲ ἧπαρ φαίνεται ἢ τοῦτο μόνον ὅτι δασεῖα ἔντοσθε καὶ λάσιός ἐστιν ὥςτε καὶ τὰ νεογνὰ ἐπειδὰν ῥιγῶσιν ἐς ταύτην ὑποδύεται. Illud ὅτι delendum videtur.

24 συνόμενον καὶ βαρυνόμενον τὸ παρὰ τοῖς Ἀττικοῖς· Φερεκράτης

αἴνειν, πτίσσειν.

---

recensu, ut δραίνω, tamen de dialectis dubium. Scripserit κραίνω.

24, 19. πτίσσειν] Cod. πτήσσειν. Correxerunt alii. Haec igitur scriptura est Herodiano probata in vocabulo nunc ubique (apud Theognostum quoque p. 6, 13 αἰνῶ τὸ πτίσσω) in αἰνεῖν lene et perispomenon corrupto, nisi quod in Bekkeri lex. An. I. p .360, 32 est αἴνειν. Eustathius iam sua lexicorum exemplaria corrupta invenisse videtur. Nam p. 801 ὅτι τὸ αἰνεῖν ὁμώνυμός ἐστι λέξις cett., ubi non stringit hoc sed fusius exponit, videtur de discrimine coniugationis et spiritus moniturus fuisse nisi ipse sic scripsisset ut nunc per totum locum scriptum est. Attamen in veteres illos grammaticos, qui ἀφῆναι, ἀφήνας, ἄναντα noverant, id vix cadit. Ut de spiritu etiamsi abnormi et magis etiam de coniugatione fides nulla sit iam inter grammaticos veteres dissensionem fuisse. Sed fuit de primae syllabae vocali. Eustathius illa scribens tria inspexit lexica, Aelii Dionysii, Pausaniae et certe tertium. et huic quidem ét Dionysio tribuit αἰνεῖν, Pausaniae ἀνεῖν hoc modo: Παυσανίας δὲ ἐν τῳ κατ' αὐτὸν ῥητορικῷ λεξικῷ οὐ διὰ διφθόγγου γράφων αἰνεῖν, ἀλλὰ διὰ μόνου τοῦ α διχρόνου φησίν· ἀνεῖν ἐν ἐκτάσει ἔχει τὸ α.*) Et sic Hesychius praeter illud hoc etiam praebet ἀνεῖν (sic enim scribitur) inter ἀνείμονος et ἀνεῖναι. Sed aliud est quod ad rem nostram facit. Et Aelius Dionysius et Pausanias Pherecratis loco utebantur, quem ipsum adscripserant: νῦν ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν, ἀναβράττειν, αινειν (ανειν), ἀλέσαι . . . μάξαι, τὸ τελευταῖον παραθεῖναι. Hinc de loci nostri integritate suspicionem moveri

*) Ita expressa haec de Pausania, sed et quae addit ex eodem de discrimine significationis: „ὅτι διαφέρει τὸ πτίσσειν τοῦ ἀνεῖν" cett. ut ad Δ, 2 p. 437, 9 ubi legimus καὶ ἐκ τοῦ πτίσσειν καὶ αἰνεῖν ταυτοδυνάμων λέξεων ὥς φησι Παυσανίας ἐν τῷ αὐτοῦ λεξικῷ ἡ πτισάνη tamen incuriose egisse dicendus sit etiamsi ipse scripserit ἀνεῖν, v. 801, 65.

σεσημείωται τὸ αἰνῶ περισπώμενον. οὐκ ἀγνοῶ δὲ ὅτι καὶ **24** ὄνομα αὐτοῦ προκατῆρξε· διὸ περιεσπάσθη.

Δ ό ς. τὰ εἰς ς λήγοντα προςτακτικὰ μονοσύλλαβά τέ ἐστι καὶ τὸ ε ἔχει, ἕς, ἔνθεν τὸ ἄφες, πρόες, θές, σπές, φρές,

ἐνθάδ' εἴςφρες μ' ὡς τὸ μειρακύλλιον.

σημειῶδες τὸ δός μόνον τὸ ος ἔχον. αἰτία δὲ ἡ συζυγία.

Δ ο ῦ ν α ι. οὐδὲν εἰς ναι λῆγον ἀπαρέμφατον τῇ ου διφθόγγῳ παραλήγεται, ἀλλ' εἰ παραλήγεται διφθόγγῳ, τῇ ει παραλήγεται, εἶναι, εἴτε δασυνόμενον ἀορίστου χρόνου. σημειῶδες ἄρα τὸ δοῦναι. ὅτι γὰρ οὐδέν ἐστι τὸ λέγειν δῶναι ὡς γνῶναι, βιῶναι, δῆλον μὲν ἐκ τῆς χρήσεως τῆς Ὁμηρικῆς,

κέλεαι δέ με τῆνδ' ἀποδοῦναι,

δῆλον δὲ ἔσται ἐκ τοῦ κατ' ἀναλογίαν κινήματος ἐν ἑτέροις.

Τὰ τῇ ου διφθόγγῳ παραληγόμενα ἀπαρέμφατα πρὸ τῆς αι διφθόγγου τὸ σ ἔχει, ἀκοῦσαι, ὀροῦσαι, λοῦσαι. πῶς οὖν τὸ

---

posse verum est, sine dubio Herodianum eundem Pherecratis locum significare, ut Giesium dicere video Dial. Aeol. p. 305, non verum est.

24, 20. οὐκ ἀγνοῶ δὲ ....] Arcad. 160, 23. τὰ διὰ τοῦ αινω βαρύνεται, ἃ δὲ περισπῶνται ὀλίγα εἰσὶ καὶ παρ' ὄνομα γεγόνασι, φαίνω, cett. τὸ μέντοι αἰνῶ περισπώμενον ἔχει τὸ αἶνος, ὥσπερ τὸ κελαινῶ τὸ κελαινὸς καὶ τὸ τριαινῶ τὸ τρίαινα.

24. ἕς] Cod. ἒς

24. σπές, φρές] Cod. φρές, σπές

25. ἐνθάδ' εἴςφρες μ'] Cod. ἔνθα ταθεὶς φρές μ', unde Meinekius Fragm. Com. anonymorum IV. p. 651 ἔνθα σταθεὶς φρές. Secutus sum Dindorfium. Prope abest: ἐνταῦθ' ἄγ' εἴςφρες, sed illud placet.

30. τὸ δοῦναι] Cod. τοῦ δοῦναι. Bl.

34. ἐκ τοῦ] τοῦ addidit Blochius.

25 δοῦναι ἔχει τὸ ν; τοῦτο γὰρ

ὦ τέκος ἦρ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι

ποιητικόν· τινὲς δὲ αὐτὸ καὶ διὰ τοῦ ω ἔγραφον.

Περὶ ἐπιῤῥημάτων.

Ἅπαξ. τὰ εἰς αξ λήγοντα ἐπιῤῥήματα ὀξύνεσθαι θέλει, ὀκλάξ, ὀδάξ, ἐναλλάξ, εὑράξ, αὐτοδάξ, ἐπιτάξ· ἀλλὰ μόνον τὸ ἅπαξ βαρύνεται. ὅπερ ἐν συντάξει τοῦ ἅπαντες ἢ τοῦ ἁπλῶς ἐκ-

---

25, 3. ὦ τέκος —] Cod. δοῦναι. „Versus Homericus Il. Ω, 1425, unde repone διδοῦναι.“ D.

3. ἦρ'] Cod. ἢ ῥ'

7. εὑράξ] Cod. εὐθράξ. Bl. Cf. Ep. H. s. ὑπόδρα et alia.

8. ἐπιτάξ] Cod. ἐπιδάξ. Correxit Blochius. „V. ad Callim. fr. 327.“ D.

9. τοῦ ἅπαντες] Cod. τοῦ πάντως. Et deinde ἅπαντες pro ἁπαξάπαντες. Spiritus medios posui et coniunctis scripsi vocabulis ex more illorum, quod hic erat dilucidius. Cf. Phryn. appar. soph. Bekk. II p. 18, 6 ἅπαξ ἅπαντες (sic). τοῦτο ἕν τί ἐστι κατὰ παράθεσιν. ἡ μέντοι πρώτη συλλαβὴ βαρυτονήσεται ἐν συνθέτῳ οὖσα. L. ὡςεὶ ἐν συνθέτῳ οὖσα. Ad ἕν τί ἐστι cf. lex. rhetor. Bekk. II, 415, 15 ἁπαξάπαντα. οὐδὲν πλέον σημαίνει τὸ ἅπαξ προςκείμενον. Ep. Hom. s. ἐπισμυγερῶς 172, 32 τὸ ἁπαξαπλῶς οὐ (falso scriptum καὶ) σύνθετον, ἀλλὰ κατὰ παράθεσιν. τὸ δὲ ἅπαξ βαρύνεται. τὰ γὰρ εἰς αξ ἐπιῤῥήματα ὀξύνεται, οἷον ὀκλάξ, ὀδάξ, εὑράξ. σεσημείωται τὸ ἅπαξ βαρυνόμενον· διὸ ἐν τῇ συντάξει μεταλαμβάνει τὸν ἴδιον τόνον ἁπαξάπαντες, ἁπαξαπλῶς, κεχοιμισμένου τοῦ τόνου. Unde Herodianus recinit. Is cui debentur quae de ὑπόδρα scripta sunt in Epimerismis H. p. 420 (translata in Etymologica et in schol. Il. A, 148) exscripsit quidem Herodianum, attamen vocabulum σύνθεσις ab ipso est: . . . . σεσημείωται τὸ ἅπαξ. καὶ τοῦτο ὅπερ ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι ἐδέ-

κλίνει τὸν τόνον ὡςεὶ ὀξύνοιτο τὸ ἅπαξ. ἀπαξάπαντες γὰρ λέ- **25**
γομεν καὶ ἀπαξάπλῶς ἐν τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ.

ξατο ἐν τῇ συνθέσει, ἁπαξαπλῶς. Quomodo tandem in vera synthesi potest aliter? Sed is, ut ex opposito ἐν ἁπλότητι coniicias, inconsiderate vel imperite veram synthesin putabat: quamquam recentiores etiam in vocabuli σύνθεσις et συντιθέναι usu ultra vetustorum grammaticorum terminos usumque strictiorem saepius evagabantur. Herodianus, cui ut ceteris, quos posuimus, ἅπαξάπαντες et ἅπαξάπλῶς in parathesi erant, vocabulo σύνταξις usus est. Id saepe generaliter dicitur, ubi vox voci assumitur nec nunc quaeritur quae inde forma exsistat, synthetica an parathetica. Herod. Pros. Il. O, 555 ὁ Ἀσκαλωνίτης οὐκ ἀναστρέφει τὴν περί· εἶναι γὰρ τὸ ἑξῆς περιέπουσι. κἀγὼ δὲ αὐτῷ συγκατατίθεμαι, ἐπεὶ καὶ τὸ ῥῆμα τοῦτο τὸ ἕπω παρὰ τῷ ποιητῇ ἐν τοῖς ἐνεργητικοῖς κινήμασιν ὡς ἐπὶ τὸ πλεῖστον θέλει ἔχειν πρόθεσιν συντεταγμένην. Apollonius coni. 480, 14 Ποσειδώνιος· ἐν τῷ περὶ συνδέσμων ἀντιλέγων πρὸς τοὺς φάσκοντας ὡς οἱ σύνδεσμοι οὐ δηλοῦσι μέν τι, αὐτὸ δὲ μόνον τὴν φράσιν συνδέουσι, φησὶν ὡς διαφέρει τὸ ἐπιδοῦναι τοῦ ἀποδοῦναι, ὡς τὸ ἀπαιτεῖν τοῦ προςαιτεῖν, καὶ ἄλλας τινὰς τοιαύτας συντάξεις, ἤδη πιστούμενος ὅτι ἓν μέρος λόγου ἥ τε πρόθεσις καὶ ὁ σύνδεσμος. Id. syntax. 318, 14 τῆς αὐτῆς ἐπιστάσεως ἔχεται καὶ τὸ διότι καὶ καθότι, πότερον ἐν παραθέσει τὰ τῆς συντάξεως καθέστηκεν ἢ συνθέσει. Cf. 321, 17. Sed ea significatio frequens apud Herodianum et Apollonium eaque hoc loco apta.*)

---

*) De syntaxi stricte et in synthesis oppositione dicta pro parathesi (ut in definitione praepositionis in Dion. gr. 641, 15 πρόθεσίς ἐστι λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε συνθέσει καὶ συντάξει) nunc locum Schol. Dion. gr. 837, 27 tangam, ut de corruptela moneam. διαφέρει δὲ σύνταξις συνθέσεως. σύνθεσις μέν ἐστι λέξεων παράθεσις ὁμοῦ μὲν γεγραμμένων, μὴ ὁμοῦ δὲ νοουμένων, σύνθεσις δὲ μιᾶς ἢ δύο ἢ τριῶν λέξεων ἕνωσις ὑφ' ἕνα τόνον καὶ ὑφ' ἓν πνεῦμα. Sed scribendum videtur necessario μὴ ὁμοῦ μὲν γεγραμμένων, ὁμοῦ δὲ νοουμένων. Ut Διὸς κόροι, sed Διόςκοροι, Νέα πόλις, multa. In καλὸς κἀγαθός apud Suidam: ὅτι ἀπὸ συντάξεως ὀνόματα, γίνεται καλὸς καὶ ἀγαθὸς καλοκαγαθία, θεοῖς ἐχθρὸς θεοεχθρία. — Nec de contrario nunc plura: sed liceat

25 Ὧδε. οὐδὲν εἰς δε λῆγον ἐπίῤῥημα δισύλλαβόν ἐστι τῷ ω παραληγόμενον, ἀλλὰ μόνον τὸ ὧδε.

Ἔνδον. οὐδὲν εἰς δον λῆγον ἐπίῤῥημα βαρύνεσθαι θέλει, πάντα δὲ ὀξύνεται, ὡς ἔχει τὸ σχεδόν, ταυρηδόν, ἑλκηδόν, παρασταδόν, παρακλιδόν, „ῥυδὸν ἀφνειοῖο", ἀμφαδόν. ἄφθονος ἡ ἐν ἀκολουθίᾳ παράθεσίς ἐστι τῶν ὀξυνομένων. ἀλλὰ μόνον τὸ ἔνδον βαρύνεται. τῆς διαλλαγῆς ἐν ἑτέροις δίδοται ἡ αἰτία.

Πάρεξ. οὐδὲν εἰς εξ ἐπίῤῥημα βαρυνόμενον ἐκ δύο προθέσεων συνεστηκός, ὅπερ καὶ γενικῇ θέλει συντάττεσθαι, ἀλλὰ μόνον τὸ πάρεξ. καὶ γὰρ ἡ συνήθεια οὕτως ἔσθ' ὅτε φησὶ „πάρεξ Ἀπολλωνίου". ὃν τρόπον καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ

25, 16. παρασταδόν] Cod. παστασδόν. Bl.

16. „ῥυδὸν ἀφνειοῖο", ἀμφαδόν.] Egregia est quam exhibuimus correctio Blochii revocantis haec ad Od. ο, 426 κούρη δ' εἰμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο. Cod. ῥυθόν, ὀμφαδόν, ἀφνειοῖο

17. ἄφθονος cett.] Cod. ἄφθονος ἀκόλουθα ἡ παράθεσις — (Ἄφθονος similiter Pros. Il. Σ, 519 τὰ δὲ παραδείγματα ἄφθονα ἐπὶ πάσης καταλήξεως.)

19. τῆς διαλλαγῆς ἐν ἑτέροις δίδοται ἡ αἰτία] In catholica factum esse, etiamnunc apparet ex Io. Al. p. 38, 1 τὰ εἰς δον ὀξύνεται, χανδόν, σχεδόν, βοτρυδόν. μόνον τὸ ἔνδον βαρύνεται, διότι μόνον παρὰ προθέσεως καὶ ὅτι μόνον τοπικὸν τῶν εἰς δον. Theognost. 162 (ubi ad ἔνδος cf. 164, 11). Apollon. adv. 619, 17. 620, 7. 611, 22.

24. Ἡρόδοτος sqq.] Est Herod. IV, 46. Locum ipsum Cod. πάρεξ τοῦ τε σκυθίου ἔθνεος. Loci Homerici Od ρ, 276 et 443. Cod. δῶρα.

---

hoc notare paulo remotius. Si quis Theognostum legat p. 92, b τὰ παρὰ τὸ ἄγω συγκείμενα — διὰ τοῦ ω μεγάλου γράφονται, ἀγωγός, χειραγωγός, παιδαγωγός, post συγκείμενα adiiciendum putabit ἢ παραγόμενα, (ut e. g. v. 17). Et tamen recentissimi vel de paragoga voce συγκεῖσθαι usi inveniuntur. Theogn. 162, 8 σεσημείωται τὸ ἔνδον συγκείμενον ἐκ προθέσεως. Etym. M. s. Θρᾷξ: πάντα τὰ ἀπ' αὐτοῦ συγκείμενα θηλυκὰ διὰ τοῦ ι γράφεται, Θρῄσσα γυνὴ καὶ Θρᾷσσα — Θρᾴκη —

ἔφη πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος. παρὰ μέντοι τῷ ποιητῇ **25**
ἕτερόν ἐστι τὸ ὀξυνόμενον.

ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε,
παρὲξ περιμήκεα δοῦρα.

εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ Ὁμηρικῇ προςῳδίᾳ.

Ὥς, τώς. οὐδὲν εἰς ως λῆγον ἐπίῤῥημα ὀξυνόμενον, ὑπεσταλμένης Δωρίδος διαλέκτου, ἀλλὰ μόνον τὸ ὥς, καὶ τώς ἀνταποδοτικὸν αὐτοῦ ὑπάρχον. οὐκ ἀγνοῶ μέντοι ὅτι ἐν διαφόρῳ **26**
σημαινομένῳ καὶ διαφόρῳ συντάξει ἔσθ' ὅτε περισπᾶται.

Ὀψέ. οὐδὲν εἰς ψε λῆγον ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ὀψέ, ὅπερ ἐν συνθέσει φιλεῖ τρέπειν τὸ ε εἰς τὸ ι, ὥςπερ ἐπὶ τοῦ ὀψιμαθής, ὀψίτυχος, ὀψιτέλεστον, ἔκ τε καὶ ὀψὲ τελεῖ, ὀψίγονος. διὸ καὶ τὸ

δείελος ὀψὲ δύων

25, 27. εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ Ὁμηρικῇ προςῳδίᾳ] Habemus locum ampliorem ad I, 7. Intelligitur Homericum παρέξ duas ei praepositiones fuisse iuxta positas (ex nostro more παρ' ἐξ): ἔστι δὲ ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ προθέσεως, ἔσθ' ὅτε καὶ τῆς παρά. — Nonnunquam etiam una earum ad verbum trahi potest. — Epim. Hom. p. 380 φησὶν δὲ ἐν τῇ καθόλου ὁ τεχνικὸς αὐταῖς λέξεσι· τὸ πάρεξ βαρυνόμενον καὶ γενικῇ συντασσόμενον ἔχει τι παράσημον ὡς καὶ παρὰ δύο προθέσεις ἐγένετο. ὁπότε γὰρ ὀξύνεται οὔ φαμεν εἶναι ἐπίῤῥημα, ἀλλὰ δύο προθέσεις.*) Cf. Epim. H. 360, 21. 361, 24. 379, 10.

26, 5. ἔκ τε καὶ ὀψὲ τελεῖ] Inserui καί. Sunt verba Homerica Δ, 161. Voluit insigni exemplo contendere compositum cum simplicibus unde coaluit. Erit fortasse qui malit ἐκ τοῦ „ὀψὲ τελεῖ“.

6. δείελος ὀψὲ δύων] Φ, 233. Cod. δύνων. Item

---

*) Hinc emendandum videtur quod in Epim. H. s. ὑπόδρα p. 420 legitur τὸ γὰρ πάρεξ ἔχει πλέονα μὲν σημαινόμενα, in Gud. ἔχει τι σημαινόμενον, in schol. A, 148 ἔχει μὲν πλέον τι σημαινόμενον. Haec nata videntur ex ἔχει vel ἔχει καὶ πλέον τι σεσημειωμένον (non tantum ut πέριξ quod ex praepositione est in ξ adverbium, sed etiam quod ex duabus praepositionibus compositum adverbium est.)

26παρὰ τῷ ποιητῇ τό τε

ὀψὲ δύοντα Βοώτην

παρὰ τῷ ποιητῇ καὶ Ἀράτῳ οὐ σύνθετον· ἐπεὶ κἂν ἔτρεπε τὸ ε εἰς ι. ἤδη μέντοι Αἰολεῖς καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ι αὐτὸ ἀποφαίνονται,

ὄψι γὰρ ἄρξατο,

ἴσως ἀναλογώτερον, ὡς δείκνυται ἐν τῷ περὶ ἐπιῤῥημάτων.

Μᾶλλον. οὐδὲν ὅμοιον τῷ μᾶλλον κατὰ χρόνον. τὸ γὰρ α, εἰ ἔχοι ἐν ἐπιφορᾷ διπλασιαζόμενον τὸ λλ ἐν μιᾷ λέξει, συστέλλεσθαι φιλεῖ, χωρὶς εἰ μὴ τροπή τις εἴη τοῦ η εἰς α

Cod. falso καὶ insertum habet post δύνων, et ὅτε post τό τε, et δύνοντα Βοώτην pro δύοντα in altero loco Homerico ε, 272. Haec correxit Dind.

26, 8. Ἀράτῳ] Indicat Dindorfius, respici Phaen. 585. κεῖναί τοι καὶ νύκτες ἐπ' ὀψὲ δύοντι (Βοώτῃ sc.) λέγονται.

8. σύνθετον] Cod. σύνηθες. Schol. Ven. ad Φ, 232 τὸ δὲ ὀψὲ δύων ἐν δυσὶ μέρεσι λόγου. εἰ γὰρ ἦν σύνθετον, διὰ τοῦ ι ἐγράφετο ὀψιδύων, ὡς ὀψιμαθής, ὀψιτέλευτον (sic)· οὕτως δὲ καὶ τὸ ὀψὲ δύοντα Βοώτην. Ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῷ θ' τῆς καθόλου.

10. ὄψι] Cod. ὀψί. Apollonius de adv. p. 573 ἀνάλογος καὶ ἡ παρ' Αἰολεῦσι βαρεῖα τάσις, λέγω δὲ τοῦ ὄψι γὰρ ἄρξατο.

11. ἄρξατο] Cod. ἀρξάτω. Illud dedi ut verisimilius ex Apollonii loco modo laudato.

14. τὸ γὰρ α] In cod. α omissum. Ἐπιφορὰ et ἐπιφέρειν, quo saepe utuntur, non semper, sed haud raro κατ' ἐξοχὴν ita dicitur ut intelligatur „subsequi, nullo interiecto sequi" (unmittelbar folgen).

15. φιλεῖ] Cod. φιλεῖ τρέπειν. Hoc τρέπειν delevit iam Blochius. Venit huc ex v. huius paginae quarto.

16. παρὰ διαλέκτῳ] Pros. Il. Κ, 67 μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶσθαι ἢ τῇ αἰολίδι. Apollon. coni. 494, 8 εἰς η μετετίθετο παρὰ ταῖς ἄλλαις διαλέκτοις

παρὰ διαλέκτῳ. τὸ παράδειγμα πῶς ἔχει; ἄλλος, γάλλος, 26 θαλλός, θάλλω, πάλλω, ἅλλομαι, ἀγάλλομαι, καὶ ἄλλο πλῆθος λέξεων τοιούτων ἀδιάπτωτον. σημειωτέον ἄρα περὶ χρόνον τὸ μᾶλλον. τὸ γὰρ ὀτράλλις (†) συνεσταλμένον ἔχει τὸ α. ἐφυλαξάμην δὲ διαλέκτους διὰ τὸ

ἄλλα, μὴ μεγαλύνεο δακτυλίω πέρι

καὶ

ἄλλαν, μή τι κατ' ἀμμετέραν φρένα

καὶ

ἄβρα δηὖτε πάχῃ σπόλᾳ ἀλλόμαν

ἀντὶ τοῦ ἡλλόμην.

26, 16. τὸ παράδειγμα] v. ad 8, 30 s. παρθένος.

17. θαλλός]. Cod. θάλλος. Fortasse scripsit potius φαλλός. Sequitur enim θάλλω. Tamen minus offendit, quia nunc ad verba transit, quasi dixisset, item verba: θάλλω, πάλλω cett.

20. ὀτράλλις] Sunt quidem vocabula ab his litteris non nimium remota, ut notissima urbs Lydiae, ut Illyriae „καὶ Τράλλοι καὶ Τράλλες (sic: sed Τράλλεις Plutarch. Ages. 16) παρὰ Θεοπόμπῳ", ut Steph. refert, (genitivus Τράλλεων s. Βόλουρος et Βῆγις), vel κορυδαλλίς, — τροχαλλίς? — alia. Sed horum nullum, in quo verisimile sit, tale autem hic requiritur, partem grammaticorum α longum statuisse. — Si quidem ex Apollonio de adv. p. 577, 31 τὸ α πρὸ τῶν δύο λλ συστέλλεται, σκάλλω, θάλλω, σφάλλω, ἄλλος, μαλλός, φαλλός· ἐδείχθη καὶ κατὰ τοῦτο τὸ μᾶλλον Ἀττικόν, si quidem, inquam, hinc concludi posset, quo tamen nihil incertius, formam μάλλιον (v. Schol. Il. Θ, 553) α breve habuisse, fortiter locum nostrum depravassem hoc modo: τὸ γὰρ οὐ παρ' Ἀττικοῖς μάλλιον συνεσταλμένον ἔχει τὸ α. „μάλλιον enim, quod apud Atticos non est, (cogitat: ex Atticismo autem longum in μᾶλλον explicamus), iam statim refert analogiam".

21. διὰ τὸ usque ad finem.] Haec Cod. sic: διὰ τόδ',

26 † Ἀ θ ρ ο ῦ ν. οὐδὲν εἰς ουν λήγει ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ἀθροῦν. ὅπερ καὶ ἐπεκτάσεσι ποιητικαῖς κέχρηται καὶ παραθέσει ἄρθρου ἑνικοῦ καὶ πληθυντικοῦ. παραιτοῦμαι δὲ τὸ αἰσχοῦν, ὃ εἴρηται παρὰ τῷ τοὺς εἴλω τασαίμην· ἀλλὰ μισχοῦν καθήμενοι. ἐπεὶ ὀνοματικά ἐστι.

Δ ε ῦ ρ ο. οὐδὲν εἰς ο λήγει ἐπίῤῥημα ὑπὲρ μίαν συλλαβήν, ἀλλὰ μόνον τὸ δεῦρο. ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ κατ'

ἀλλ' ἄν μοι μεγαλύνεο δακτυλίῳ πέρι καὶ ἄλλαν μὴ χαμεστέραν φρένα καὶ ἄβρα· δεῦτε πάγχης πάλαι ἀλλόμαν· ἀντὶ τοῦ ἠλλόμην. Secutus sum Bergkium, fr. Sapph. 39, 45, 46, quamquam multa incerta, ut ipsum ἄλλος pro ἠλεός, praesertim α longo (v. Ahrens Aeol. p. 57), in ultimo omnia quem Cramerus et Ahrensius longe aliter scriptum ad Alcaeum retulerunt (fr. 101. p. 255).

26, 25. † Ἀθροῦν] Totum intactum reliqui. Unum certum, quod iam Blochius vidit, scribendum esse παρὰ τῷ τοὺς Εἵλωτας, ut 10, 34. — In fine nisi ante ἐπεὶ lacuna est scribendum putes ἐπεὶ κωμικώτερόν ἐστι. An vero vel comicus μισχοῦν dicere potuerit, e. g. ὀναίμεθ' ἀλλὰ μισχοῦν Καθήμενοι — nescimus. Item quae dicit de ἐπεκτάσεσι, quod ad ἀθρουντί et ἀθρούντως ducere videtur, et de articulorum appositione mihi quidem incomperta et aenigmata sunt.

31. ὑπὲρ μίαν συλλαβὴν] addidit propter ψό, v. infra p. 46, 17. Cram. Epim. I. p. 118, ubi ut multa sic quod ψό commemoratur eo loco ex antiquis fontibus est, non quod ἄπο compositum cum δεῦρο (v. contra Theognost. 161.)

33. κατ' ἐπέκτασιν εἰς ω] Schol. Dion. gr. 943, 3 τὸ δεύρω ἔκτασις ποιητική. Ceterum ἐπέκτασις quoque recte habet et, ut videtur, accuratius. Apollonius adv. 588, 1 ὥστε τὸ μὲν ἐντελὲς εἶναι τελοῦ, εἶτα κατ' ἐπέκτασιν τηλοῦ, quamquam in eadem re 607, 9 τηλοῦ, ὃ δύναται καὶ τῷ τέλος παρακεῖσθαι, γενομένης ἐκτάσεως τοῦ ε εἰς τὸ η τελοῦ-τηλοῦ. Ibid. 555, 3 et 9: ι mutatur in ε cum fit Ἀττικὴ ἐπέκτασις, ut μάντιος μάντεως. de pronom. 63 B ἤμελλον καὶ ἠβουλόμην, ἀλλ' οὐκέτι πάντα τὰ παρατατικὰ οὕτως ἐπεκτεί-

ἐπέκτασιν εἰς ω ἐν τῷ 26

ἢ δεύρω μὲν ἕποντο.

νουσι. adv. 613, 23 τὼ (illud quod significat ideo) ἀνεπέκτατόν ἐστιν ἐν τῷ „τὸ καὶ οὔτι πολὺν χρόνον —" Io. Al. 5, 17 κἂν κατὰ γενικὴν μόνην γένηται ἡ ἐπέκτασίς ὡς ἐπὶ τοῦ πόλεως καὶ μάντεως. Choer. p. 221, 11 Gsf. ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ ἥρως ἥρωος οὐκ ἐπεκτείνει τὸ ο εἰς τὸ ω Ἀττικῶς κατὰ τὴν γενικήν· καὶ λέγουσί τινες ὅτι διὰ τοῦτο τὸ ἥρως ἥρωος οὐκ ἐπεκτείνει τὸ ο εἰς τὸ ω Ἀττικῶς —: quamquam mox v. 16 οἱ Ἀττικοὶ ἐπὶ τῶν καθαρευόντων ἐκτείνοντες τὸ ο εἰς τὸ ω. — (Epim. H. 137, 3 ὅμοιόν ἐστι τῷ ἐώλπειν καὶ ἐώργειν· ἔσωθεν γὰρ γίνεται ἡ ἐπέκτασις. Ib. 339, 1 προνὴς καὶ ἐν ἐπεκτάσει πρηνής.) Ex his, quae mihi praesto invenio exemplis concludendum videtur, hos grammaticos ἐπεκτείνειν proprie dixisse non in dichronis, sed cum brevis vocalis in aliam longam mutatio fit horumque usum in hoc etiam diversum fuisse ab iis Byzantinis, quibus debetur liber ille περὶ παθῶν apud Bachmannum II. 364, ad Gregor. 675 editus, et is cui Tryphonis nomen praescriptum est. Nam ibi ἔκτασις αὔξησις σὺν μεταβολῇ βραχέος φωνήεντος εἰς μακρόν, χωρὶς παρενθήκης ἑτέρου φωνήεντος, ut Διόνυσος Διώνυσος*), sed ἐπέκτασις aliud est, syllabae accessio in medio vocabulo. Ceterum nec in hoc genere illi antiquiores semper proprio vocabulo usi sunt, sed latiore etiam, dicebantque ἐκτείνειν pro illo. Exempla iam vidimus. Addam Her. Pros. Il. Δ, 243 ἔστητε — ἐκ τοῦ ἔστατε ἔκτασις ἐγένετο τοῦ α εἰς η. Contra si quaeritur an ἐπέκτασις dictum sit pro ἔκτασις in dichronis, ego id notavi ex Sext. Empir. gramm. I. §. 109 et 110.

26, 33. ἢ δεύρω μὲν ἕποντο] Cod. ἤ. Sed quae erat altera lectio, quam deprecatur? An ἢ δεῦρ' οἱ μὲν —?

---

*) Apud Tryphonem qui dicitur, apud quem dichronorum etiam productio et correptio inter πάθη recensetur, sic: ἔκτασις δέ ἐστιν ὅταν τὰ συστελλόμενα δίχρονα ἐκταθῇ ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν ἐκταθῇ. Item Moschop. Titz. p. 28. — Auctor Et. M. s. εἵνεκα p. 302, 20 quid sibi voluerit incertum est: qui simul cum illis longe

26 παραιτοῦμαι γὰρ τὴν διάφορον ἀνάγνωσιν. παρὰ δὲ τοῖς Αἰολεῦσι καὶ δεῦρυ διὰ τοῦ υ· παρὰ δὲ Ἀττικοῖς ἔσθ' ὅτε καὶ
27 δευρί λέγεται διὰ τοῦ ι. τετόλμηται δὲ αὐτοῦ καὶ θεματισθῆναι

26, 35. καὶ δεῦρο] Cod. καὶ δεῦρα καὶ δεῦρο. Sed illud καὶ δεῦρα mihi dittographia ortum videtur. Δεῦρυ commemoratur et alibi, Theogn. p. 161, 5. 7. Epimer. Hom. 117, 29: non δεῦρα, portentosa ut videtur forma. — τὸ ὄψα ἀνελλήνιστον Ariston. Ξ, 37.

35. δεῦρυ] Cod. δευρὺ

27, 2. θεματισθῆναι] Cod. θέμα τις θεῖναι. Epim. Hom. p. 118, 25 ἀλλὰ πῶς ἐγένετο τὸ δεῦτε; τεθεμάτισται, οὐ κέκλιται. — Δεῦτε verbum Dionys. comp. v. p. 310. Alii, inter quos Herodianum fuisse ipse nos h. l. docet, nullo modo ex verborum analogia vel δεῦρο pro verbo haberi posse demonstrarunt vel hinc declinari pluralem δεῦτε. Sed δεῦρο adverbium esse, δεῦτε non ab illo declinatum in pluralem, quod non cadere in adverbia, sed item adverbium thematicum, cui fingendo occasio data quod δεῦρο quasi notionem imperativi haberet: unde synecdrome nata cum verbo. V. Epim. l. l. (cf. p. 3 s. ἄγετε vel Ett. s. ἀλλ' ἄγετε) et Apollon. adv. 553, 1: „φαίνεται δὲ ὅτι καὶ τὸ δεῦρο, ὁμοίως ὂν ἐπίῤῥημα, ἐχόμενον δὲ ὡς προστακτικῆς ἐννοίας, κατὰ συνεκδρομὴν πάλιν ὡς ἀριθμὸν ἀνεδέξατο ἐν τῷ δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα.“ Inter recentiores certe fuerunt qui δεῦρο et δεῦτε pro verbis habentes derivarent a θεύω vel θέω, ut δεῦρο esset θεύσω, δεῦτε nescio utrum θεύσετε an θεύετε an θέετε! Et. Gud. p. 139, 32. 140, 1. (h. e. Epim.

---

aliam epectasin veterum commemorat, quam nunc non curavimus, de qua recentioribus ut aliud nomen, προσχηματισμός, ita alia doctrina erat. Nam veteribus haec syllabae in fine accessio non ut Byzantinis eodem cum πάθεσι loco erat, sed παραγωγὴ κατὰ τὸ αὐτὸ σημαινόμενον Apollon. adv. 591, 10. Et e. g. τὸ οὑτοσί παραγωγὴ ἀντωνυμίας καὶ οὐ πλεονασμός. αἱ τοιαῦται γὰρ ἀντωνυμίαι ἐπεκτείνονται καὶ οὐ πλεονάζουσι Et. M. 643, 30. — Qui scripsit Ep. H. p. 130 (s. εἵνεκα) non ut libri illi de passionibus novam dicit esse genera pleonasmi, sed octo: omittitque caeteroquin, iisdem quae illi ferunt nominibus utens, in enumeratione proschematismum.“

πληθυντικὸν τὸ δεῦτε· ὅτι δέ ἐστιν ἐπίῤῥημα ἐν τῷ περὶ ἐπιῤῥημάτων λέγεται. 27

Ἐκεῖθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίῤῥημα τοπικὸν τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐκεῖθεν. αἴτιον δὲ τὸ πάθος· ὁ γοῦν Ἀλκαῖος κεινόθεν ἐστὶν ὅκου ἀπεφήνατο αὐτό.

αἶ γάρ κ' ἄλλοθεν ἔλθῃ, τι δὲ φῇ κήνοθεν ἔμμεναι;

τὸ δὲ εἶθε ἐπέκτασις καὶ οὐ τοπικόν.

Χαμαί. οὐδὲν εἰς αι λῆγον ἐπίῤῥημα ὑπὲρ μίαν συλ-

Psalm. 153) Magn. 258 fin. Epim. H. 109 (Et. G. 139, 42. M. 259, 1).

27, 7. κεινόθεν] Cod. κείνοθεν. Idem deinde κήνοθεν, incertum an recte. Sed putant quidem nunc viri docti Aeoles in hoc quoque retracto usos accentu. Quod si ita est, κείνοθεν poterat quidem scribere locum poetae cogitans Herodianus. Attamen id minus ex eius more videtur. Secundum regulam est κεινόθεν non minus quam αὐτόθεν, τουτόθεν (cf. Apollon. 598. 604.). Sic recte scriptum Apollon. adv. 601, 1 καὶ τὸ ἐκεῖθεν δὲ οὐ φύσει ἔχον τὴν ει δίφθογγον παραλήγουσαν ἀναγκαίως ἐφύλαξε τὴν ποσότητα τῶν φωνηέντων. παρὰ γὰρ τὴν ἐντελῆ φωνὴν τὴν ἐκεῖνος καὶ τὴν ἐκείνου τὸ ἀκόλουθον ἦν ἐκεινόθεν, τὸ δὲ κατὰ συγκοπὴν ἐκεῖθεν. Cf. 606, 8 σαφὲς δὲ ὅτι καὶ τὸ κεῖθι πάλιν τὸ αὐτὸ πάθος ἀνεδέδεκτο τῷ κεῖθεν τῆς συγκοπῆς συνούσης τῆς παρὰ τὸ ἐκεινόθι. In Etymologicis editis sub κεῖθεν peccatur ἐκείνοθεν et ἐκείνοθι. Item in M. s. κεῖθεν. Sed in Gud. 309 et Parisin. ap. Cram. An. Paris. IV, 55 falsum et verum iuxta posita hoc modo: κεῖθεν· ἐκ τοῦ ἐκείνου ἐκείνοθεν καὶ κατὰ συγκοπὴν ἐκεῖθεν κεῖθεν. ἢ ἐκ τοῦ κεῖνος κεινόθεν cett.

8. ἀπεφήνατο αὐτὸ] Cod. ἀπεφήνατο τὸ αὐτό

8. αἶ γάρ —] Cod. αἰ γὰρ κ' ἀλλόθεν (sic) ἔλθη δὲ φοικήνοθεν ἔμμεναι. Emendatio est Seidleri Mus. Rhen. 1829 p. 172, nisi quod ille ὁ δέ — Sed hiatum ferri non posse certum inter incerta. τί δὲ scripseram, idemque video apud Ahrensium in Addendis dial. Dor. p. 539.

9. εἶθε] Cod. αἶθε

27 λαβὴν ὀξύνεται, λέγω δὲ μὴ σχετλιαστικόν. τὰ δὲ τοιαῦτα καὶ ὀξύνεται, οὐαί, βαβαί, καὶ περισπᾶται, ἀταταῖ, αἰαῖ, παπαῖ. τὸ δὲ πάλαι βαρύνεται. λέγεται τὸ αἴτιον ἐν τῷ περὶ ἐπιῤῥημάτων.

Αὐτάρκης ἡ παράθεσις τῆς μονήρους λέξεως ἐν τούτῳ τῷ βιβλίῳ, ὅπως καὶ ἐν τῷ δευτέρῳ σχεδὸν ἴσην παράθεσιν ποιησώμεθα. εἰ δέ τις ἐπιζητοίη, διὰ τί ἐξ ὀνομάτων καὶ ῥημάτων καὶ ἐπιῤῥημάτων τὴν παράθεσιν ἐποιησάμεθα, εἴσεται

27, 12. λέγω δὲ — παπαῖ] Cod. λέγω δὴ τὸ χαμαί· τὰ δὲ τοιαῦτα περισπᾶται, ἀταταῖ, αἰαῖ, παπαῖ. Quae violentius castiganda erant. Io. Al. 36, 12 Τὰ δὲ σχετλιαστικὰ τῶν εἰς οι καὶ αι ἄλογον ἔχει τὸν τόνον. ἃ μὲν γὰρ αὐτῶν περισπᾶται, ὡς τὸ ὀτοτοῖ ἔχον συμπαρακείμενον καὶ τὸ ἀταταῖ, καὶ τὸ οἰοῖ καὶ αἰαῖ, σαβοῖ τε καὶ αἰβοῖ καὶ τὸ σαβαῖ παρ' Εὐπόλιδι ἐν βάπταις, τὸ δὲ εὐαὶ παρὰ τῷ αὐτῷ ὀξύνεται· εὐαὶ σαβαῖ. βαρύνεται δὲ τὸ οἴμοι. τὸ δὲ ὦ πόποι δυσὶ τόνοις χρῆται. ἔδει δὲ αὐτὸ δύο περισπωμένας ἔχειν, ἐπεὶ καὶ παράκειται αὐτῷ τὸ παπαῖ. καὶ τὸ ἰατταταῖ (sch. Lycophr. 31) δὲ περισπᾶται καὶ τὸ ἀππαπαῖ· τὸ δὲ χαμαὶ ὀξύνεται, οὐκ ὂν σχετλιαστικόν. τὸ δὲ πάλαι χρονικὸν βαρύνεται. Nam sic haec fere levibus inductis mutationibus recte scribentur. Arcad. 183, 18 τὰ εἰς οι καὶ εἰς αι σχετλιαστικὰ παραλόγως (hoc intelligendum ex Ioannis verbis „ἄλογον ἔχει τὸν τόνον“) περισπῶνται, ὀτοτοῖ, εὐοῖ, παπαῖ, ἀταταῖ, πλὴν τοῦ αἴ (v. Io. Al. 32, 25. Ar. Plut. 706) οὐαί, βαβαί. παροξύνεται δὲ τὸ οἴμοι, ὤμοι*)· ἡ δὲ συνήθεια ὀξύνει τὸ παπαί καὶ ἀταταί.

15. ἐν τούτῳ τῷ βιβλίῳ] In Cod. deest τῷ.

17. ποιησώμεθα] Cod. ποιησόμεθα

18. καὶ ἐπιῤῥημάτων] v. 18 addidit Blochius, cl. v. 29.

19. εἴσεται] Cod. ἴσεται. D,

---

*) Theogn. 158 l. ὀτοτοῖ καὶ ὀτοταῖ, οἰοῖ οἰαῖ, αἰβοῖ αἰβαῖ, οἴμοι καὶ ὤμοι, οὐ περὶ τὴν λήγουσαν, ἀλλὰ περὶ τὴν ἄρχουσαν τὸ διττὸν ἦν. — οἴμοι vel ὤμοι apud Apollonium adv. 588, 26 pro εὐοῖ scribendum. — Ib. v. 24 ὦ πόποι pro ὢ πόποι. — Apud Theogn. l. l. v. 8 fortasse sic: ἀλλ' ἔδει τὸ πόποι σχετλιαστικὸν ὑπάρχον καὶ ἄνευ τοῦ ὦ λέγεσθαι. ἔτι παράκειται αὐτῷ τὸ παπαῖ. — De constanti probatiorum textuum Homericorum traditione ὦ πόποι dubitari non potest.

μὲν ἐκ τοῦ προοιμίου· ἀλλὰ καὶ νῦν δηλώσω, ὡς ἀντωνυμιῶν **27** μὲν οὐκ ἐμνήσθην, ἐπεὶ σχεδὸν μονήρεις εἰσὶ πᾶσαι, καὶ μάλιστα αἱ πρωτότυποι· ἀλλ' οὐδὲ μετοχῶν, ἐπεὶ ἀεὶ δεύτεραί εἰσι καὶ ἐπιζητοῦσι τὸ κινοῦν αὐτὰς ῥῆμα. εἰ δὲ καὶ περὶ μίαν καὶ δευτέραν ἐγένετό τις ζήτησις, τοῦτο οὐ μονήρους ἐστὶ λέξεως ἰδίωμα. οὔτε μὴν ἄρθρων οὔτε προθέσεων ἐμνήσθην, ἀλλ' οὐδὲ συνδέσμων. ἐπεὶ τούτων τῶν μερῶν τοῦ λόγου ἐξηριθμέναι πώς εἰσιν αἱ φωναί, τῶν δὲ προειρημένων μερῶν λόγου, λέγω δὲ ὀνόματός τε καὶ ῥήματος καὶ ἐπιῤῥήματος, πολλὴ μὲν χρῆσις φωνῶν, παραγωγή τε αὐτοῖς ποικίλη πρόςεστι καὶ σχεδὸν ἴση. ὄνομα μὲν γὰρ εἰς ὄνομα παράγεται, ὡς λεπτὸς Λεπτίνης, ἄριστος ἀριστεύς. παράγεται δὲ καὶ εἰς ῥῆμα, ὡς παρὰ τὴν μάστιγος γενικὴν τὸ μαστιγῶ καὶ παρὰ τὴν εὐδαίμονος εὐδαιμονῶ. παράγεται δὲ καὶ εἰς ἐπίῤῥημα, ὡς παρὰ τὸ ἀκόνιτος ἀκονιτί, ἀθεώρητος ἀθεωρητί, Λεσβόθεν τε καὶ οὐρανόθεν. τὸ **28** αὐτὸ ἀποτελεῖ καὶ τὸ ῥῆμα. ἤτοι γὰρ αὐτὸ καὶ εἰς ἑαυτὸ παράγεται, ὡς παρὰ τὸ ἀθλῶ τὸ ἀθλεύω, ἵζω ἱζάνω, ἢ εἰς ὄνομα, ὡς παρὰ τὸ ποιῶ ποιητής, ποίημα, ἢ εἰς ἐπίῤῥημα, ὡς ἀπὸ τοῦ ὄπτω ὄβδην, ὃ καὶ Καλλίμαχός φησιν

ἦλθον ἐςόβδην,

πλέκω πλέγδην,

μέσφα περιπλέγδην,

27, 23. περὶ μίαν καὶ δευτέραν] De hoc εἷς καὶ δεύτερος v. Schaef. ad. Dion. p. 174. Apollon. adv. 546, 8. Schol. Dion. gr. 650, 13. Hipparch. ad Arat. p. 178 Petav.

26. ἐπεὶ τούτων] Cod. ἐπὶ τούτων

27. ἐξηριθμημέναι πώς εἰσιν] Cod. ἐξηριθμημέναι ὧν εἰσιν

35. ἀθεωρητός ἀθεωρητί] Cod. ἀθεώριτος ἀθεωριτί. D. Apollon. adv. 571, 7.

28, 4. παρὰ τὸ ποιῶ] verba τὸ ποιῶ inserui.

5. ἦλθον ἐςόβδην] Cod. εἰς ὄβδην. Apollon. adv. 611, 28 ὄπτω ὄβδην καὶ ἐςόβδην. v. Thes. Callimachi fragmentum est Μούσῃσι γὰρ ἦλθον ἐςόβδην Et. M. s. ὄβδην. Naeke Hecal. p. 117.

6. πλέγδην] Apollon. l. l. 29.

28 ἄρδω ἄρδην. ὁμοίως δὲ καὶ τὸ ἐπίῤῥημα τὴν αὐτὴν ποσότητα ἔχει τῆς παραγωγῆς. ἢ γὰρ πάλιν εἰς ἑαυτὸ παράγεται, ὡς παρὰ τὸ ἐγγὺς ἐγγύθεν, ἢ εἰς ὄνομα, ὡς τὸ ἐγγύτερον, ἀνώτερον, ἢ εἰς ῥῆμα, ὡς παρὰ τὸ ὀφὲ ὀφίζω. σχεδὸν οὖν ταῦτα τὰ μέρη τοῦ λόγου ἀλλήλοις προςπέπονθε. διὸ καὶ ἐξ αὐτῶν πεποίημαι τοὺς κανόνας. εἰ δέ τις λέγοι ὡς καὶ ἡ ἀντωνυμία τοιαύτην παραγωγὴν ἔχει· εἴς τε γὰρ ἑαυτὴν παρῆκται καὶ εἰς ἐπίῤῥημα· ἴστω ὅτι ἐνέλειψεν τοῖς κυριωτάτοις, λέγω δὲ ῥήματι καὶ ὀνόματι· τὸ γὰρ ἡμετέρειος καὶ τὸ σφετεριζόμενος τῶν παραλόγων. ἡ μέντοι πρόθεσις παρῆκται μὲν εἰς ὄνομα καὶ ἐπίῤῥημα, οὔτε γε μὴν εἰς αὑτὴν οὐδὲ εἰς ῥῆμα. τά τε προκείμενα μόρια, λέγω δὲ ὄνομα καὶ ῥῆμα, οὐκ ἀπέδωκεν ἀφ' ἑαυτῶν παραγωγήν, οὔτε εἰς ἀντωνυμίαν, οὔτε εἰς πρόθεσιν, ἐπειδή περ θεματικώτερα

28, 9. ἢ εἰς ὄνομα] ante ὡς τὸ ἐγγύτερον. Cod. ὡς pro εἰς. Bl.

16. ἡμετέρειος] Cod. ἡμετέροισι

16. τὸ σφετεριζόμενος] Cur participio utitur? Puto quia certum quoddam exemplum animo obversabatur apud grammaticos in ea re prae ceteris ferri solitum: idque fuisse putaverim Demosth. cor. p. 248 ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτειχισμὸν ἐπὶ τὴν Ἀττικήν. Hoc certe rhetores utuntur, v. Hermog. Walz. III, 159. 161. — Apollonius ubi de hoc solo a pronominibus ducto verbo loquitur pron. 139. C τὸ σφετερίζομαι dixit, altero loco adv. 538, 7 τὸ σφετερίζω: qui locus caeterum perincommode nobis accidit quod labem traxit.

17. τῶν παραλόγων] Cod. τῶν παραγώγων, mihi haec reputanti non visum defendi posse. — παράγωγος pro παράλογος peccatum habes e. g. Et. M. 318, 33, contra παράλογος pro παράγωγος Cram. Oxon. IV. p. 345, 35. Edidit Cramerus III. p. 228 Excerpta (sunt autem ex Choerobosco) inscripta: Ἡρωδιανοῦ περὶ παραγώγων γενικῶν ἀπὸ διαλέκτων. Imo παραλόγων.

17. ἡ μέντοι] ante πρόθεσις scripsi pro ἤτοι, quod Cod. habet. Poteram etiam ἔτι.

21. post ἐπειδήπερ] Cod. δὲ; eiecit iam Bl.

ὑπῆρχεν. ἡ μέντοι μετοχή, εἰ καὶ μέρος λόγου ἐστίν, ἐκεῖνό γε 28 ἔχει ἐξαίρετον τὸ μήποτε πρωτότυπον εἶναι. διὸ δὴ οὐδὲ αὐτῇ τὰ αἴτια ἀνατίθεμεν, ὅτι μὴ σπανίως, ἐφ' ὧν καὶ ζητοῦμεν εἰ καὶ μετοχαὶ ὑπάρχουσιν, ὥςπερ καὶ ἐπὶ τῆς ἄσμενος, καὶ τὸ χρέων καὶ τὸ ἀκέων καὶ κτίμενος. τοσαῦτα ἔχομεν εἰπεῖν ἐν τῷ πρώτῳ βιβλίῳ περὶ μονήρους λέξεως.

28, 24. αὐτῇ] v. 24. Cod. αὐτὴ. Bl.
25. ὅτι μὴ σπανίως] Cod. ὅτι μὴ καὶ τί τε σπανίως
26. χρέων] et ἀκέων cf. Apollon. adv. 553.
27. κτίμενος] Cod. κτημένος. Dind. Thes.



ΒΙΒΛΙΟΝ Β.

29 Ἐν μὲν οὖν τῷ πρὸ τούτου βιβλίῳ, ἄριστε φιλολόγε, περὶ μονήρους λέξεως ἥτις ἐστὶν ἐν τῇ χρήσει τῶν παλαιῶν ἑωρᾶτο καὶ τῇ νυνὶ συνηθείᾳ· νυνὶ δὲ στρέψομαι καὶ ἐπὶ τὰς γνωριζομένας μὲν ὁμοίως καὶ τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ καὶ τῇ παλαιῶν χρήσει, πειράσομαι δὲ καὶ ἄλλας παραθέσθαι λέξεις, αἵτινες οὐκ εἰσιν ἐν τῇ νυνὶ συνηθείᾳ, παρὰ μέντοι τοῖς παλαιοῖς. ἔστω δέ μοι ἡ παράθεσις ὁμοίως ἐξ ὀνομάτων καὶ ῥημάτων καὶ ἐπιῤῥημάτων. ἐπεὶ δέ τινες ἐπεζήτησαν, εἰ δύναται τὸ τοιοῦτο εἶδος καὶ ἐν προθέσεσιν ὀφθῆναι, κατὰ τοῦτο ἐπειράθην ὀλίγας προθέσεις ἐλέγξαι ἐν εἴδει τινὶ μονήρεις ὑπαρχούσας.

29, 4. τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ] Supra 25, 11. — Apollon. coni. 521, 25 ἥ τε γὰρ ἀνὰ χεῖρα ὁμιλία καὶ αἱ συντάξεις αἱ ἀρχαῖαι καὶ πᾶσα ποιητικὴ γραφή. id. synt. 37, 1 πάμπολλός ἐστιν ἡ εὐχρηστία τῆς κατὰ τὸν Ἑλληνισμὸν παραδόσεως, κατορθοῦσα τήν τῶν ποιημάτων ἀνάγνωσιν τήν τε ἀνὰ χεῖρα ὁμιλίαν καὶ ἔτι ἐπικρίνουσα τὴν παρὰ τοῖς ἀρχαίοις θέσιν τῶν ὀνομάτων. Sext. Empir. gr. I §. 64 αἱ ἀνὰ χεῖρα τῶν ἰδιωτῶν καὶ ἀνεπιστημόνων ὁμιλία. Id. 191 ἐν γὰρ ταῖς ἀνὰ χεῖρα ὁμιλίαις ἤτοι ἀντικόψουσιν ἡμῖν οἱ πολλοὶ ἐπί τισι λέξεσιν ἢ οὐκ ἀντικόψουσιν. Cf. ἡ κοινὴ συνήθεια καὶ ἡ ἐν ταῖς ὁμιλίαις παρατήρησις id. 176.

7. παρὰ μέντοι] Cod. καὶ παρὰ μέντοι

8. καὶ ἐπιῤῥημάτων] inserui.

8. ἐπεὶ δὲ] Cod. ἐπειδή. Bl.

Ο ν ο μ α. οὐδὲν εἰς μα λῆγον οὐδέτερον ἁπλοῦν ἐν τοῖς 29 πρὸ τέλους δύο συλλαβαῖς δισσὸν ἔχει ο, ὡς δῆλον ἐκ τῶν τοιούτων· ποίημα, νόημα, δόνημα, φίλημα, ἀνάθημα, φώνημα, στεφάνωμα, χρύσωμα, κώλυμα, ἔλυμα, ἔρυμα, καὶ ἄλλο μυρίον πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον ποιεῖ τὸν κανόνα. δῆλον ὡς τὸ ὄνομα μονῆρές ἐστι· καὶ γὰρ ἥ τε τρίτη ἀπὸ τέλους τὸ ο ἔχει καὶ ἡ πρὸ τέλους. Αἰολεῖς δὲ ὄνυμα λέγοντες αὐτὸ ἀπολύουσι τοῦ προκειμένου ἐλέγχου. πρόςκειται τῷ κανόνι ἁπλοῦν, ἵνα μή τις ταῦτα σύνθετα ὄντα ὡς ἀντιπίπτοντα παρατάξῃ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα, λέγω δὲ τὸ πρόδομα ἢ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται.

Δ έ μ α ς. τὰ εἰς μα λήγοντα οὐδέτερα ἐναντία ἐστὶ τοῖς εἰς ας λήγουσι. τὰ μὲν γὰρ εἰς ας λήγοντα παραιτεῖται τὸ μ ἔχειν πρὸ τοῦ α, ὡς ἔχει τὸ σέβας, οὖδας, κνέφας, ψέφας, 30 κέρας, τέρας, γῆρας, γέρας, βρέτας, δέπας, σκέπας, καὶ ἄλλα μυρία ἐστὶ τοιαῦτα μὴ ἔχοντα τὸ μ πρὸ τοῦ α· τὰ δὲ ἔχοντα τὸ μ πρὸ τοῦ α παραιτεῖται τὴν εἰς ς κατάληξιν, ὡς ἔχει τὸ

29, 12. Ονομα] Cf. Ep. Hom. 327. Sed quae Choeroboscus habet 179. a. ita consentiunt, ut vix dubitandum videatur quin ex hoc loco fluxerint: Δεῖ δὲ γινώσκειν ὅτι τὸ ὄνομα δοκεῖ μονῆρες εἶναι. οὐδὲν γὰρ τῶν εἰς α οὐδετέρων ἁπλῶν παραλήγεται τῷ ο καὶ προπαραλήγεται ἑτέρῳ ο, καὶ διὰ τοῦτο δοκεῖ παράλογον εἶναι. ὅθεν ταύτην τὴν παραλογίαν φεύγοντες οἱ Αἰολεῖς τρέπουσι τὸ ἐν τῇ παραληγούσῃ ο εἰς τὸ υ καὶ λέγουσιν ὄνυμα. πρόςκειται ἁπλῶν διὰ τὰ σύνθετα τὰ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα, λέγω δὲ τὸ πρόδομα καὶ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται Ἀττικῶς διὰ τοῦ ω μεγάλου. —

15. ἀνάθημα] Cod. ἀνάθερμα

16. ἔλυμα] Cod. σόλυμα. Cui illud proxime accedit: ἔλυμα, ἔρυμα Ep. H. l. l. (κώλυμα Choer. l. l. v. 28).

16. τοιούτων ὀνομάτων] Cod. τοιούτων τῶν ὀνομάτων

18. μονῆρές ἐστι] Cod. μονῆρες ἐστί

22. παρατάξῃ] Cod. παραλλάξῃ. Idem μή τις παράθηται dicitur Pros. Il. Λ, 677. μήτις ἀντιθῇ Ξ, 387. οὐκ ἀντιθήσει τις ἡμῖν supra 16, 12.

27. οὖδας] Cod. οὐδας

30 δόμα, θέμα, στόμα, χόμα, λύμα, δῶμα, πτῶμα. πῶς οὖν τὸ δέμας καὶ τὸ μ ἔχει πρὸ τοῦ α καὶ τὴν εἰς ς κατάληξιν; ὥστ' ἐστὶν οὕτως ὁρίσασθαι· οὐδὲν εἰς μας λῆγον οὐδέτερον, μονῆρες ἄρα τὸ δέμας,

στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐΐκτην.

Πεῖραρ. οὐδὲν εἰς αρ λῆγον οὐδέτερον πρὸ τοῦ α ἔχει ρ, ἀλλ' ἤτοι καθαρεύει ἢ ἄλλο τι σύμφωνον ἔχει, ὡς δῆλον ἐκ τῶν τοιούτων· ἔαρ, κέαρ, οὖθαρ, εἶδαρ, μῶμαρ, ἧπαρ, νέκταρ. μονῆρες ἄρα τὸ πεῖραρ ἐπαλλάξαντες. οὐδέτερον δὲ προςέθηκα ἐπεὶ Ἄραρ τις λέγεται ποταμός, ὡς παρ' Ἐρατοσθένει (?). καὶ ἐπίγραμμα ἔχον οὕτως·

μισγόμεθ' ἀλλήλων ὡς Ἄραρος Ῥοδανός.

Κρέας. οὐδὲν οὐδέτερον εἰς ας λῆγον καθαρὸν τῷ ε παραλήγει κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἀλλὰ μόνον τὸ κρέας. τὰ δ' ἔχοντα καθαρὸν τὸ α καὶ ἔχοντα πρὸ αὐτοῦ ε εἰς ρ θέλει καταλήγειν, ἔαρ, στέαρ, κέαρ, φρέαρ. τὸ τοίνυν κρέας ἢ εἰς ρ ὤφειλε καταλήγειν ἢ εἴπερ εἰς ς καταλήγοι ὀφείλει μεταξὺ τοῦ ε καὶ α σύμφωνον ἔχειν, ὥςπερ τὸ λέκας, σκέπας, κνέφας, βρέτας. προςέθηκα δὲ κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἐπεὶ παρὰ Ἑκαταίῳ ἐστὶ

30, 4. στόμα] Cod. στάμα. Quamquam hoc Lobeckius tenuit Par. 424, cl. 423.

5. χόμα, λύμα] Hunc servavi accentum, v. περὶ διχρ. 294.

6. ὥστ' ἐστὶν] Cod. ὡς ἐστι

7. ὁρίσασθαι] definire, canonem ponere: supra 4, 14. Pros. Il. I, 147. 150. 680. Λ, 677.

9. στήτην —] Φ, 285. Cod. ἴοντο.

13. μῶμαρ] Cod. μάκαρ. Poteram etiam νῶκαρ. Nisi forte etiam μῶκαρ fuit.

15. ὡς παρ' Ἐρατοσθένει] Cod. ὡς παρατιθέναι

20. καὶ ἔχοντα πρὸ αὐτοῦ ε] Cod. καὶ τὰ ἔχοντα πρὸ τοῦ ε

23. ε καὶ α] in Cod. omissa. Bl.

τὰ δέατα περιτεταμένοι. ἀλλ' οὐ σύνηθές ἐστι λέγειν δέας. **30** ὅ τε Σοφοκλῆς ἐν Κηδαλίωνι σατυρικῷ φησι

καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων
ὑπὸ τοῦ δέατος

ἀντὶ τοῦ δέους. ἀλλ' οὐ λέγεται ἡ εὐθεῖα δέας. ὅ τε Ξενοφάνης φησὶ

ἁγνὸν ἐνὶ σπεάτεσσι τεοῖς καταλείβεται ὕδωρ.

ἀλλ' οὐ γὰρ λέγεται σπέας. ἡ γὰρ ἀναλογία ὡς ἀπὸ τοιούτων **31** εὐθειῶν τὰς κλίσεις λαμβάνει, οὐκ οὐσῶν μέντοι ἐν χρήσει Ἑλλήνων. τὸ δὲ παρὰ τῷ ποιητῇ κτεάτεσσιν

ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε

μεταπλασμοῦ ἔχεται ἐκ τῆς κτεάτοις δοτικῆς.

30, **26**. περιτεταμένοι] Cod. περιτετημένοι

27. Κηδαλίωνι] Cod. κηδεμόνι. Correxit Dindorfius remittens ad Hesych. δέατος δέους Σοφοκλῆς Κηδαλίωνι, ubi sic pro Κεδαλίῳ dudum recte scriptum est.

28. τῶν ἀρτυμάτων] Cod. τῷ ἀρτυμάτῳ. Corr. L. Dind. in Thes.

31. ἁγνὸν] Cod. καὶ μήν. Et σπεάτεσι.

31, 3. ἀνέρος —] α, 218. Cod. ἐν pro ὃν. D.

4. μεταπλασμοῦ] Cod. μετὰ πελαμοῦ. D. — E. M. 542, 9 κτεάτεσσι κτήμασιν. ἀπὸ εὐθείας τῆς κτέας. ἄμεινον δὲ μεταπλασμὸν παραδέχεσθαι ἀπὸ τῆς κτεάτοις δοτικῆς ὥςπερ καὶ προβάτοις πρόβασιν. ἅμα δὲ τῇ μεταπλάσει καὶ ἐπέκτασιν ἔπαθε. Quo loco (et videatur ab ipso Herodiano esse, ut est ἔγκασιν p. 310) vides item ut nostro loco de nominativo κτέας cogitari, quamquam reiicitur: posteriores ut poetae ita grammatici κτέαρ potius ferunt, Eust. 766, 19. Epim. H. 245, 6. Theogn. 79. v. Lob. Par. 176. A qua forma illi abhorruerunt fortasse propter regulam a Choerobosco traditam 183. b, quae brevi antepenultima sint in αρ declinari αρος non ατος. — Mirus schol. Pindari nominativum mutatum κτέατος praestruens, et quidem hoc modo: κτεά-

31 5 Ἰ χ θ ῦ ς. οὐδὲν εἰς υς λῆγον ἀρσενικὸν ὑπὲρ μίαν συλ-

τεσσιν ἀπ' εὐθείας τῆς κτέατος Δωρικῶς· τὰ γὰρ εἰς ον εἰς ος ποιοῦσιν, ὡς παρ' Ὁμήρῳ ἀνδραπόδεσσιν!

31, 5. Ἰχθῦς] Io. Al. p. 8, 30 Ἐν τοῖς εἰς υς περισπᾶται τὸ ὀσφῦς, ὀφρῦς, καὶ ἀρσενικὸν τὸ ἰχθῦς παραλόγως. Διονῦς καὶ ἀπφῦς ὑποκοριστικώτερα ὄντα καὶ αὐτὰ περιεσπάσθη. Casu factum, ut ex Catholica eadem excerperet duo deminutiva Ioannes, quibus hic Herodianus usus est, ubi exemplis quibusdam uti satis erat. Sunt enim praeter haec alia quaedam, quae in catholica non omissa erant, v. Arcad. 92, 14. Haec duo quidem grammaticis prae ceteris nota fuisse aliunde etiam apparet. — Quod in textibus nostris eius accentus, quem in ἰχθῦς, ὀσφῦς, ὀφρῦς solum novit Herodianus, item post alii*), rariora vestigia sunt, quamquam minime absunt, non mirandum, cum posteriore Byzantinorum aetate iam eum evanuisse et acuto cessisse intelligamus ex regula prosod. Herm. p. 450 Nr. 133 et ex Mosch. syll. τὰ εἰς Υς ψιλὸν ὀνόματα — Caeterum putaverat Herodianus ἰξῦς debere perispomenon esse (an quia natura sua monosyllabum putabat ξῦς, a ξύω?): sed id usus non ferebat: quare cessit. Sic enim videor mihi commode explicare posse quae de hac re traduntur. Apud Arcadium inter feminina oxytona 29, 9 cum aliis ponitur ἰξύς ἡ ῥάχις. Paulo post positis deminutivis antequam disceditur a nominibus in υς additur v. 14. hoc: Τὸ δὲ ἰξῦς ποτὲ μὲν ὀξύνει ὁ Ἡρωδιανός, ποτὲ δὲ περισπᾷ. τὸ δρῦς καὶ μῦς καὶ σῦς περισπῶνται. Cum his confer Choeroboscum ad Theodos. p. 127. b. ἰστέον ὅτι πάντα τὰ εἰς υς περισπώμενα ὑπὲρ μίαν συλλαβὴν ὄντα ὑποκοριστικά εἰσιν, οἷον ὁ καμμῦς, ὁ κλαυσῦς, ὁ διονῦς, ὁ λαρδῦς, χωρὶς τῶν τριῶν τούτων, φημὶ δὴ τοῦ ὀσφῦς, ὀφρῦς, ἰχθῦς. Τὸ γὰρ ἰξύς, εἰ καὶ παρατέθειται ὁ Ἡρωδιανὸς ἐν τῷ ὀνοματικῷ ὡς περισπώμενον, ἀλλ' οὖν οὐ περισπᾶται, ἀλλ' ὀξύνεται, ὥς φησιν ἐν τῇ καθόλου. Licebit igitur coniicere, Herodianum in catholica singulis regulis absolutis

---

*) v. Goettling 260. Adde de ὀσφῦς, ὀφρῦς Epim. Hom. 160. — Choerob. 57. b. — ἰχθῦς etiam Herodianus ap. Cram. IV, 333.

λαβήν, μὴ ἔχον ὑποκοριστικὴν ἔννοιαν, περισπᾶσθαι θέλει. ση- 31 μειῶδες ἄρα ὁ ἰχθῦς. προςέθηκα δὲ μὴ ὑποκοριστικὴν ἔννοιαν διὰ τὸ ἀπφῦς· δοκεῖ γὰρ παρὰ τὸ ἀπφάς παρωνομάσθαι. ἔστι δὲ καὶ τὸ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον, παρηγμένον ἀπὸ τοῦ Διονύσου. ὧν οὐδὲ αἱ γενικαὶ παρόμοιαι τῷ προκειμένῳ· ἰχθύος γὰρ λέγεται· οὐ μεμελέτηκε δὲ ἀπφύος λέγεσθαι. μόνον δὲ διὰ δύο δασέων ἐκφέρεται ὁ ἰχθῦς, τῶν ἄλλων εἰς υς ληγόντων οὐχ οὕτως ἐχόντων. πρόςκειται δὲ τῷ κανόνι ἀρσενικὸν διὰ τὸ ὀφρῦς περισπώμενον θηλυκόν, ἔτι δὲ καὶ τὸ ὀσφῦς. Ὥςτε εἰ περισπᾶται τὸ ἰχθῦς, ἔστω θηλυκόν· εἰ δὲ ἀρσενικόν ἐστιν, ὀφείλει ὅμοιον εἶναι τῷ στάχυς, βότρυς.

Μᾶζα. τὰ εἰς ζα λήγοντα θηλυκά, εἰ ἔχοι πρὸ τέλους δίχρονον, συνεσταλμένον αὐτὸ ἔχει, ὡς τὸ ῥίζα, σχίζα, σπίζα· ἔστι δὲ εἶδος ὀρνέου. Σοφοκλῆς ἐν Ναυπλίῳ πυρκαεῖ

κάτω κρέμανται, σπίζα τέτατ' ἐν ἕρκεσι.

---

haec fere addidisse: εὑρίσκεται οὖν τὰ εἰς υς περισπώμενα ὑπὲρ μίαν συλλαβὴν περισπώμενα ὑποκοριστικὰ πάντα πλὴν τοῦ ὀσφῦς καὶ ὀφρῦς καὶ ἰχθῦς. Τὸ δὲ ἰξῦς εἰ καὶ ἐν τῷ ὀνοματικῷ παρεθέμεθα ὡς δέον περισπᾶσθαι φύσει μονοσύλλαβον γενόμενον, ἀλλ' οὖν γε ὀξύνεται. Τὰ γὰρ μονοσύλλαβα περισπᾶται, τὸ δρῦς καὶ μῦς καὶ σῦς. Sic intelligitur cur Arcadius monosyllaba hic intulerit, quibus nisi eiusmodi contextu non erat hic locus.

31, 9. ἀπφάς] an recte habeat incertum est.

10. Διονῦς — ἐπὶ τοῦ ἐκλύτου] Sic in Etym. M. explicatur ὁ γυναικίας καὶ πάνθηλυς. Cf. Mein. Fragm. Com. I. p. 585.

11. ἀπὸ τοῦ Διονύσου] Cod. ἐπὶ τὸν Διόνυσον

14 .τῶν ἄλλων] Cod. τῶν δὲ ἄλλων. Bl. Et v. 17. ἐστι

21. ἐν Ναυπλίῳ] Cod. ἐν αὐπνῳ. Dudum correctum est, primum ni fallor a Dindorfio. In versu Cod. τέως, quod cum Dindorfio nunc fragmentorum editores scribunt ὅπως. Mihi in mentem venerat τέτατ': quod tamen Meinekius mihi scribit aliquid sibi offensionis habere propter elisionem. [? ἐντέτατ' Vesp. 407.]

31 Δούριζα λίμνη παρὰ τὸν Λίζαν ποταμόν. Ἑκαταῖος περιηγήσει Ἀσίας· τῇ δὲ λίμνῃ Δούριζα οὔνομα. Βόρυζα πόλις Περσική, ὡς Ἑκαταῖος περιηγήσει Εὐρώπης· μετὰ δὲ Βόρυζα πόλις Περσέων, μετὰ δὲ Θυνιάς. Ἀράβυζα τῆς Καυκωνίδος πόλις: ἄζα, γάζα, χάλαζα. σημειῶδες ἄρα ἡ μᾶζα ἐκτείνουσα τὸ πρὸ τέλους α.

Ἀγαυός. οὐδὲν εἰς ος λῆγον καθαρὸν ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἀγαυός.

32 Χθών. τὰ εἰς ων μονοσύλλαβα φιλεῖ ἀρσενικὰ εἶναι καὶ φυλάττει τὸ ω ἐν τῇ γενικῇ· πρών, Χών τὸ ἐθνικόν, κλών,

---

31, 24. Δούριζα λίμνη] Cod. δουρι ζαλίμνην. Corr. Dind. — Δούριζα λίμνης ὄνομα Theogn. 100, 18.

24. Λίζαν] Λίξον?

25. οὔνομα] Cod. ὄνομα. Ut deinde εὐρώης et falso accentu θυνίας.

28. Ἀράβυζα τῆς Καυκωνίδος πόλις] Sic splendide corrigit Meinekius Codicis vitia παρὰ βυζαντῆς καυκωνίδος πόλις, ex Steph. Byz.: Ἀράβυζα πόλις τῆς Καυκωνίδος.

32, 2. Χών τὸ ἐθνικόν] Utar hoc Strabonis VI. p. 254: Ἀπολλόδωρος ἐν τοῖς περὶ νεῶν τοῦ Φιλοκτήτου μνησθεὶς λέγειν τινάς φησιν ὡς εἰς τὴν Κροτωνιᾶτιν ἀφικόμενος Κρίμισαν ἄκραν οἰκίσαι καὶ Χώνην πόλιν ὑπὲρ αὐτῆς, ἀφ' ἧς οἱ ταύτῃ Χῶνες ἐκλήθησαν. Caeterum ὁ Χών τοῦ Χωνός restitue Choerobosco pro ὁ χθὼν τοῦ χθονὸς ad Theod. 67. a (85, 19 Gsf.)

3. Θων] Cod. θὼν. Ex Choerobosci disputatione de accentu genitivorum p. 411 Gsf. haud dubie intelligitur fuisse nomen proprium Θῶν circumflexum, monosyllabum in ων circumflexum unicum, huiusque genitivum ex analogia, quae proxima inveniri posset, vel plurisyllaborum propriorum, ut Δημοφῶν, vel monosyllaborum participiorum, ut ζῶν, δρῶν, factum esse Θῶντος. Idem duobus aliis locis praestat Choeroboscus p. 152. a. et 151. a., ubi, ut hoc quod breve et expressum est, apponam, τὸ Θῶν inquit Θῶντος (ἔστι δὲ ὄνομα κύριον) οὐκ ἀντίκειται ἡμῖν (sc. in regula, nomina monosyllaba genitivum habere in ωος praeter

Θων εἴτε Θῶνος εἴτε Θῶντος. ἀλλὰ μόνον τὸ χθὼν θηλυκόν ἐστι καὶ διήλλαξε κατὰ τὴν κλίσιν.

χθών), ἐπειδὴ οὐκ ἔστιν ὀξύτονον. Item concinunt Theognosti canones 132, 4. Et Herodianus Arcad. 124, 24 πᾶν ὄνομα μονοσύλλαβον εἰς ν λῆγον ἀρσενικὸν καὶ θηλυκὸν ὀξύνεται, Πάν ὁ δαίμων, Ἂν κύριον, Ζήν, μήν, χήν, ῥήν τὸ θρέμμα, χωρὶς τοῦ Θῶν (sic recte Havn. pro Θῶον) Θῶντος κύριον. Ab hoc (quod Lobeckio Graecum videtur ex Θόων) iis distingui clarum est illum Aegyptium, ab Homero primum memoratum Od. δ, 228, in illo Θῶνος παράκοιτις. Fusa Choerobosci disputatio l. l. p. 410 Gsf. docet, quosdam derivasse ab Θόων, gen. Θόωνος et per crasin Θῶνος: alios ex formis testimoniis scriptorum testatis Θῶνις, gen. Θώνιδος, Ionice Θώνιος, per syncopen Θῶνος. Illud abiicit Choeroboscus, quod hic quidem homo nusquam Θόων dicatur, hoc probat accentumque vel sic abnormen explicare conatur. Et eadem Herodiani sententia videri debet. Io. Al. p. 10, 6 ἡ Θῶνος παράκοιτις σεσημείωται· εἰ γὰρ ἐκ τῆς „Θώνιος ἐν ψαμάθοις" (Nic. Ther. 312.) συνεκόπη, κἂν ὠξύνετο, ὡς ἡ πατρός, μητρός. ἀλλ' οὐδὲ συνῄρηται ἐκ τῆς Θόωνος, ὥς τινες, ἀμαρτύρου. Nam sic haec scribenda esse certissimum ex Choerobosco. Cf. Arcad. 128, 20 quae sic scribenda: τὸ δὲ Θῶνος ἀπὸ τοῦ Θώνιδος καὶ Θώνιος ἰωνικῶς καὶ κατὰ συγκοπὴν Θῶνος, ἢ ἀπὸ τοῦ Θόων εὐθείας Θόωνος καὶ κράσει Θῶνος.*) Attamen quosdam etiam fuisse putandum qui genitivo Θῶνος substruxerunt nominativum Θών: qui tamen ipsi quam machinam invenerint ad expediendum genitivi accentum constanter traditum nescimus. Huius sententiae vestigia erunt Suid. (et Zonaras, ubi Kulenkampii tamen apographum habet Θῶν) Θὼν ὄνομα κύριον: καὶ κλίνεται Θῶνος. Deinde Theognostus l. l. qui disserte distinguit v. 1. Θὼν ἀφ' οὗ καὶ ἡ γενικὴ Θῶνος (nam Θωνὸς falso scriptum), et mox v. 4. τὸ Θῶν ἐκ πάντων τῶν μονοσυλλάβων περισπώμενον καὶ διὰ τοῦ ντ κλινόμενον: denique hic locus Herodiani: qui nec illorum sententiam quamquam sibi vix probatam praetermittere voluit. Ergo videbitur bre-

---

*) Eust. eadem fere proferens p. 1498 peccat Θόωνος Θῶνος συγκοπῇ dicens pro κράσει. Librum inspexit iam aliquatenus corruptum similiter ut nunc Arcadius est.

32 Δαμήν. τὰ εἰς μην λήγοντα ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν ἐπὶ γενικῇ τὸ η εἰς ε τρέπει, ποιμένος, λιμένος, πυθμένος, ἀλλὰ μόνον τὸ Δαμήν ἐφύλαξε τὸ η. Δαμῆνος γὰρ ἐπιγράφεται Ἀργολικά. Ἴσως δὲ ἐπεὶ κύριόν ἐστι παραλλαγὴν ἐποιήσατο. τὸ δὲ Ἀλλαμήν

---

vitate usus hoc sibi voluisse: Θων sive illud unde ex nonnullorum quidem sententia est Θῶνος sive illud cuius genitivus est Θῶντος. Accentu utrumque distingui scientibus, quibus solis tam breviter scribere potuit, reliquit. In textu neutrum accentum poni potuisse intelliges.

32, 6. Δαμήν] Notatur abnormis declinatio in hoc vocabulo etiam a Choerobosco ad Theodos. Bekk. III. p. 1360 (275 Gsf.) Monuit iam Dindorfius. Epim. Hom. 366 σεσημείωται τὸ Δαμήν Δαμῆνος, ἔστι δὲ Ἀργολικὸς συγγραφεύς.

9. Ἀργολικά] Cod. ἀργολικαῖς. Quod inscriptione libri pro exemplo utitur, ad hoc confer Choerobosc. p. 62. b, 64. b. Is loquitur de proprio Λάας: κατ' ἀποβολὴν τοῦ ς ποιεῖ τὴν γενικήν, οἷον ὁ Λάας τοῦ Λάα, Λάα περὶ λίθων γλυφῆς· οὗτος γὰρ λιθογλύφος ἦν. Idem 62. a. καὶ ἐπὶ τοῦ κυρίου δὲ ὀνόματος (Δράκων) παρ' ἡμῖν ἐφύλαξαν τὴν αὐτὴν κλίσιν, οἷον Δράκοντος τοῦ Στρατονικέως. Steph. B. s. Γάδειρα· ὁ πολίτης Γαδειρεύς. οὕτω γὰρ τὰ πέντε βιβλία ἐπιγέγραπται τῶν Πυθαγορικῶν σχολῶν Μοδεράτου Γαδειρέως.

10. τὸ δὲ Ἀλλαμήν cett.] Ostendit Mehlhornius in Censura Paralipomenon Lobeckii Ephemer. Hal. 1839. 69. Diodorum Cronum dialecticum significari, qui ostensurus unam quamque vocem conventione subire quamlibet significationem servos suos coniunctionibus vocaverit, inter hos unum Ἀλλαμήν, secundum Ammonium ad Aristot. de interpr. p. 103. Brand. Caeterum particula Ἀλλαμήν ex iis vocabulis est, qualia veteres saepe commemorant, nobis neglecta sunt, quae quamquam appositione duorum vel etiam plurium orta tamen pro uno sunt, sive una pars sola non dicitur sive consueta coniunctione dicuntur atque in certam et unam significationem coalescunt mixtam illam vel una parte quiescente. In his maxime dissensionem saepe fuisse essentne paratheta an syntheta an paragoga an thematica facile est coniicere et docemur exemplis. Fuit etiam de ἀλλαμήν. Io. Alex. 40, 21 ἔτι δὲ καὶ ὁ ἀλλαμήν, εἴτε δύο λέξεις εἶεν εἴτε μία, ὀξύνεται

παραιτοῦμαι· οὐ γὰρ γνήσιον ὄνομα ὑπὸ Διοδώρου παραπεποιημένον. 32

Herodiano non dubitamus δύο λέξεις fuisse, ut Apollonio fuerunt, adv. p. 518. — In Dionysii grammatica inter reliquas coniunctiones conclusioni inservientes simplices et non simplices recensetur hoc modo p. 643: συλλογιστικοὶ δέ εἰσιν ὅσοι πρὸς τὰς ἐπιφοράς τε καὶ συλλήψεις τῶν ἀποδείξεων εὖ διάκεινται. εἰσὶ δὲ οἵδε· ἄρα, ἀλλά, ἀλλὰ μήν, τοίνυν, τοιγάρτοι, τοιγαροῦν. Sic ἀλλὰ μήν ex nostro more, qui et separamus singula vocabula et graves scribimus, recte scribi potest: quem hic commode sequi non poteram: recte, inquam, scribi potest, si Dionysio item duae voces fuerunt, ut facile credimus. Sed quid scholiasta? p. 970 ἰστέον ὅτι ὁ ἀλλαμήν ἐκ τοῦ ἀλλὰ καὶ μὴν παραπληρωματικοῦ γενόμενος σύνθετός ἐστι.

11 ἐστί τι καὶ ποτιδίης· ἔνθεν, ὡς τὸ ἡράκλειον παρὰ τὸ ἡραχλίης, οὕτω ποσείδειον, καὶ ποσειδήϊον ἀγλαὸν ἄλσος. ὁμοίως δὲ καὶ ἀρσενικῶς κτητικῶς ποσείδιος, ὡς ἡράκλιος ἆθλος. Σοφοκλῆς ποιμέσι τυχῶν, καὶ δὴ τοὺς ποσειδίους θρίγκους ἀποσεισαμένη. ποσειδέων δὲ παροξυτόνως παρ' Ἴωσι λέγεται ὁ θεός. ὀξυτονηθὲν τὸ ὄνομα μῆνα δηλοῖ. παρὰ δὲ τῷ ποιητῇ διηνεκῶς, μένοντος τοῦ σ, καὶ πρὸ τοῦ τέλους τοῦ α ὑπάρχοντος. παρὰ μέντοι Βοιωτοῖς ποτειδάων, τραπέντος τοῦ σ εἰς τ. Κόριννα· βοιωτοὶ τοῦδε μάκαρ κρονίδη· τοῦ ποτειδάωνος ἄναξ βοίωτε. ὅτι πολλοὺς ἐποίησε σχηματισμοὺς, καὶ ἐν ἑτέροις εἴρηται.

Νῆσος. τὰ εἰς σος λήγοντα δισύλλαβα τῷ η παραληγόμενα φιλεῖ ἀρσενικὰ εἶναι. κτῆσος. θῆσος. δρῆσος. ῥῆσος. μνῆσος. πεπλάνηται ἄρα ἡ νῆσος παρὰ τὸ γένος.

Κάλλος. τὰ εἰς ος λήγοντα δισύλλαβα βαρύτονα ἔχοντα διπσὸν τὸ λ οὐ θέλει εἶναι οὐδέτερα. ὕλλος τὸ κύριον, οὗ μέμνηται καὶ Ἀριστοφάνης καὶ Κρατῖνος ἐν Μαλθακοῖς. σκύλλος σκύλλου πατήρ. ψάλλος ἀγροιώτας ἀπὸ λιβυκῶν· ἀνδρωθέντα δὲ τὸν ἀμφιθέμιν πλησιάσαι ταῖς νύμφαις, καὶ γεννῆσαι παῖδα μυρμαδάναρ· αὐδακήνας· βυγάνμα· καλομάκαν ψῦλλον, ἀφ' οὗ ψύλλοι τὸ ἔθνος. τέλλος ὁ ἀθηναῖος· Ἡρόδοτος α. φέλλος τὸ κύριον· Ἡσίοδος, φέλλον ἐϋμελίην τέκε τῇ μελιβοίᾳ. φίλλος· παρὰ Ἀνακρέοντι τὸ ὄνομα. σίλλος. γρύλλος· καθάρας τοὺς διοσκούρους, ὡς φίλος στέφανος. κόλλος· Δημόγνητος ἐν τῷ περὶ κνιδίου καὶ κοκκυνα τὸν τελέστερον, καὶ κόλλον τὸ σκίρου, καὶ λωγάων, τὸν αὐτὸν ὁμοῦ καὶ κτῆσιν τὸν μνησιθέου. γάλλος, ὁ ποταμὸς καὶ τὸ ἔθνος. ἄλλος. πάλλος·¡ Ἡρόδοτος γ. ἔστι δὲ καὶ ἄλλα πολλὰ τούτοις ἐμφερῆ, ἅπερ παραιτεῖται τὸ οὐδέτερον γένος. δῆλον οὖν ὡς τὸ κάλλος πεπλάνηται ἢ περὶ ποσότητα τοῦ λ, ἢ περὶ τὸ γένος. ὅσα γὰρ
12 οὐδέτερά ἐστι εἰς λος λήγοντα, ταῦτα παραιτεῖται ἔχειν ἕτερον λ, ὡς τὸ ἕλος, μέλος, βέλος, θάλος, φάλος.

Ἀπόλλων. τὰ εἰς λων λήγοντα ὀνόματα, εἰ διπλασιάζοι τὸ λ, οὐ θέλει ὑπὲρ δύο συλλαβὰς εἶναι. ὡς ἔχει τὸ χέλλων. Καλλίμαχος δὲ μέλθα χελλῶνας. τρέλλων· παρὰ Σώφρονι τὸ ὄνομα. θάλλων ὄνομα κύριον κυνὸς παρὰ Ξενοφῶντι. σίλλων. Ἐπίχαρμος Χορευταῖς. κάλλων, ὁ ἀθλητὴς καθ' ὑποκορισμόν. σημειῶδες δὲ τὸ ἀπόλλων, ὡς περὶ δευτέραν τὴν ποσότητα τῶν συλλαβῶν. οὐ μάχεται δὲ τὸ ἀτιτάλλων κατὰ τὴν συνήθειαν ἐν ἀγνοίᾳ ὂν καὶ τῇ χρήσει τῶν παλαιῶν, ἀλλ' ὥστε καὶ τῶν μετοχῶν ἐφύ-

λαξε τὴν κλίσιν, ὡς ἀπτάλλοντος. ὁ γὰρ τοῦτος χαρακτὴρ με- **12**
τοχῶν ἐστι· ἰάλλων, ἰνδάλλων, ἀτασθάλλων, ἀγάλλων. ἐχρῆν οὖν καὶ τὸ ἀπόλλων, εἰ μὲν ὄνομά ἐστι, δισυλλαβεῖν· εἰ δὲ ὑπὲρ δύο συλλαβάς ἐστι, μετοχὴν εἶναι, καὶ τὰ παρεπόμενα τῇ μετοχῇ ἔχει καὶ τὴν κίνησιν.

Πῦρ. οὐδὲν εἰς ῡρ λῆγον οὐδέτερον μονοσύλλαβον, ἀλλὰ μόνον τὸ πῦρ. ὁ Σιμωνίδης καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο· τοῦτο γὰρ μάλιστα φηρὲς ἐς τόγε πύϊρ. τὸ δὲ σῦρ οὐ σύνηθες παρὰ Ἕλλησιν, ἀλλ' ἱστορίας ἐχόμενον, ἄλλως τε οὐδ' ἄντικρυς οὐδέτερον· οὕτω γὰρ ἐκαλεῖτο τὸ πρότερον ἡ Φοινίκη.

Μοῦσα. τὰ εἰς ᾱ λήγοντα θηλυκὰ ὀνόματα τῇ ου διφθόγγῳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς ὁρᾶται· σχηματίζεται δὲ κατὰ τὸ πλεῖστον ἢ μετατίθεται ἀπὸ μετοχῶν. αἴθουσα· ὅπερ ἔχει δισσὸν μὲν τὸ σ ἐπὶ τοῦ προσηγορικοῦ, ἐπὶ δὲ τοῦ κυρίου κατά τινας ἕν· λέγω ὅτε σημαίνει θυγατέρα ποσειδῶνος γενομένην καὶ ἀλκυόνης γενομένης. φέρουσα· καὶ τοῦτο ἐπὶ μιᾶς τῶν νηρηΐδων, φέρουσά τε δυναμένη τε. θυγάτηρ τε ἰλίου ὀνομάζεται φαέθουσα.
ἴωνος δὲ τοῦ ξούθου ἀναγράφεται μήτηρ κρέουσα. ὁμωνύμως δὲ **13**
ταύτῃ καὶ αἰνείου γυνή. μέδουσα μία τῶν γοργόνων· σθένω τ' εὐρυάλη τε μέδουσά τε λυγρὰ παθοῦσα. ἀρέθουσα κρήνη κυρίως· ἀλλὰ καὶ πᾶσαι κρῆναι κατ' ἐπιθετικὴν ἔννοιαν οὕτω καλοῦνται, ἀπὸ τοῦ ἄρδην ἴσως σχηματισθεῖσαι. ὅ γ' οὖν χοίριλος ἐν ᾱ περσικῶν, παρὰ δὲ κρήνας ἀρεθούσας μυρία φιλεδονεῖτο, πολύσμηνος μελίσσαις. οὐδὲν δ' ὅτι οὖν ὤφθη δισύλλαβον εἰς ᾱ λῆγον τῇ ου διφθόγγῳ παραληγόμενον οὕτως ἐν χρήσει τῇ τῶν παλαιῶν καὶ τῇ κοινῇ συνηθείᾳ, εἰ μὴ μόνον τὸ μοῦσα. τὸ γὰρ δοῦσα κύριον καθ' ἱστορίαν ἐστὶ λεγόμενον, ἥ τε χοῦσα πόλις αἰγυπτίων.

Ἄρουρα. οὐδὲν εἰς ρα λῆγον θηλυκὸν συνεσταλμένον ἁπλοῦν προσηγορικὸν ὑπὲρ δύο συλλαβὰς τῇ ου διφθόγγῳ παραληγόμενον, ἀλλὰ μόνως ἄρουρα. πρόσκειται δὲ προσηγορικόν, ἵνα ἐκφύγωμεν τὰ κύρια, ὡς ἔχει τὸ κόλουρα. ἔστι δὲ πόλεως ὄνομα ὡς Ἑκαταίῳ· δοκέω δὲ μάλιστα παρὰ κολοῦραν, ἵνα πρηνῆς ἕζοντο. ἄγουρα πόλις εὐβοίας· μέμνηται Δημοσθένης λέγων· ἐξ ἀγούρας τῆς εὐβοίας. ἴουρα· μέμνηται Μνασέας. ὄλουρα· μέμνηται Ἐρατοσθένης. τό τε κυνὸς οὐρὰ ἐπὶ τῇ λακωνικῇ φυλακῇ, ἀλλὰ καὶ ἄκρα μαραθῶνος οὕτως καλεῖται, καὶ κύριον καὶ σύνθετόν ἐστιν. ἀλλὰ καὶ ἐπὶ τῆς ἄρκτου, οἱ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσιν. ἐφυλάξατο δὲ ταῦτα πάντα ὁ κανών·

13 Κάνωβος. οὐδὲν εἰς βος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ω παραλήγεται, ἀλλὰ μόνον ὁ κάνωβος. τὸ γὰρ παρὰ τοῦ ἰώβᾳ κείμενον βαρβαρικὸν ὄνομα ναβωμὸς διὰ τοῦ μ γράφεται.

14 Δίκη. τὰ εἰς κη λήγοντα θηλυκὰ δισύλλαβα μονογενῆ βαρύτονα, ὅτε ἔχει πρὸ τέλους τὸ ι, ἤτοι συνεσταλμένον ἔχει αὐτό, ἢ ἐκτεταμένον. καὶ τότε μὲν συνεσταλμένον, ὁπότε σύμφωνον ὁρᾶται πρὸ τοῦ κ καταλῆγον· τότε δὲ ἐκτεταμένον, ὁπότε οὐχ οὕτως ἔχει. οἷον κίρκη, δίρκη, τρίκκη. συνέσταλται δὲ τούτων τὸ ι, ἐπεὶ σύμφωνον ἦν πρὸ τοῦ κ· τοῦ δὲ ἑτέρου, νίκη, φρίκη. ἡ τοίνυν δίκη σημειῶδες. λείπει γὰρ ἢ χρόνῳ ἢ συμφώνῳ.

Νεῖλος. οὐδεὶς εἰς ος λῆγον δισύλλαβον βαρύτονον τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ νεῖλος. νόϊλος τε γὰρ λέγεται κατὰ διάλεκτον. τὸ δὲ πίλος, σπίλος, ἤϊλος, ἔτι φορτικόν. τὰ ἀπὸ τοῦ τ ἀρχόμενα διὰ τοῦ ι γράφεται.

Χαρίεις. οὐδὲν εἰς εις λῆγον ὄνομα ὑπὲρ μίαν συλλαβὴν ἀρσενικὸν τῷ ι παραλήγεται, ἀλλ' ἢ τῷ α, ὡς ἔχει τὸ ἀντάεις, αὐλάεις· ἢ τῷ η, ὡς φωνήεις, αὐδήεις, παχνήεις· ἢ κατὰ συστολὴν ποιητικὴν τὸ ε, ἠχέεις, βρομέεις· ἢ τὸ ο, ὡς ἀστερόεις, ἁρματόεις· ἢ τὸ ω, ὡς εὐώεις, κητώεις. τὸ τοίνυν χαρίεις σημειῶδες τῷ ι χρησάμενον πρὸ τέλους. ὁ μέντοι Ἀνακρέων καὶ χαριτόεις εἶπεν, ἀποδοὺς τὸ ἐντελὲς τῇ λέξει.

Οὖς. τὰ εἰς ους λήγοντα ὀνόματα μονοσύλλαβα ἀρσενικὰ πέφυκεν εἶναι· ἔσθ' ὅτε δὲ καὶ κοινωνεῖ θηλυκῷ γένει. φλοῦς φησι, χλοῦς, γλοῦς ὁ λῃστής, χνοῦς παρὰ Σοφοκλεῖ, βοῦς, ῥοῦς, θροῦς, νοῦς, σοῦς, πολὺ παρὰ τοῖς Ἴωσι χροῦς. δῆλον ὅτι πεπλάνηται περὶ τὸ γένος τὸ οὖς οὐδέτερον ὑπάρχον. ἄντιφον δ' οἱ παρὰ οὖς ἐφύλαξε ξίφει. οὐκ ἀγνοῶ δὲ τὸ πάθος τῆς λέξεως, καθότι ποικίλως λέγεται. οὖας γάρ, καὶ ἡ γενικὴ οὔατος· καὶ ὄας, ἔνθεν ὄατος· καὶ ἠώας, ἔνθεν ἠώατος· καὶ ὠτὸς καὶ ὀός, οὐκ εἰρημένον μέν, συνεσχηματισμένον δέ, παρὰ Θεοκρίτῳ ἄμφω. ἔστω μέντοι οὖς. ζητέον τὴν κλίσιν.

Πούς. τὰ εἰς ους λήγοντα ὀνόματα μονοσύλλαβα περισπᾶται, χνοῦς, κνοῦς, χροῦς, γλοῦς, θροῦς, φλοῦς, πλοῦς, ῥοῦς· σημειωτέον τὸ πούς ὀξυνόμενον· μετοχῆς γὰρ ἐδέξατο τόνον. ποδός. τὰ εἰς δος λήγοντα δισύλλαβα τῷ ο παραληγόμενα εὐθεῖαν ὑπισχνεῖται πτῶσιν, ὁδός, σποδός· οὐ δόκιμος ἄρα οὐδὲ ἡ γενικὴ ποδός.

Φρήν. οὐδὲν εἰς ην λῆγον ὄνομα μονοσύλλαβον μόνως θηλυκόν· ἀλλ' εἰ ἐπιδέχοιτο καὶ τὸ θηλυκὸν γένος, ἐν κοινότητι

ἐπιδέχεται. ὁποῖον ἐστὶ τὸ χήν· θηλυκὸν γὰρ αὐτὸ οἶδεν ὁ ποιη- 15
τής· ὡς ὅδε χὴν ἥρπαξε τιταλλομένην ἐνὶ οἴκῳ. καὶ, οἴελος ἀργὴν χῆνα φέρων. ἀρσενικὸν δὲ οὕτως· χῆνες μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσι ἐξ ὕδατος· εἶτα ἐπιφέρει· ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης πᾶσι κατ' αὐχέν' ἔηξεν, καὶ ἔκτανεν, οἵδε κέχυντο. καὶ τοῦτο μὲν ἐν κοινότητι. ᾧ ὅμοιον δύναιτο ἂν εἶναι καὶ τὸ ῥήν, εἴ τις βούλοιτο. ἐπὶ δὲ τῆς αἰτιατικῆς Νίκανδρος· αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν. ἐν ἀντιθέσει πολύῤῥην παρὰ τῷ τὰ ναυπακτικὰ ποιήσαντι· ἀλλ' ὁ μὲν οὖν ἐπινευσὶ θαλάσσης εὐρυπόροιο οἰκίαν ναιετάασκε πολύῤῥην, πολυβοώτης. τούτου καὶ πληθυντικὸν παρὰ τῷ ποιητῇ· ἐν δὴ ἄνδρες ναιετάουσι πολύῤῥηνες, πολυβοῶται. ὁπότε δὲ λέγει ὁ ποιητὴς 16
θῆλυν ὑπόῤῥηνον, ἀπ' εὐθείας τῆς ὑπόῤῥηνος κλίνει, ἥτις ἀπὸ γενικῆς ἀπεδέξατο τὴν σύνθεσιν. ὡς παρὰ τὴν μηνὸς τὸ δίμηνος ἢ τρίμηνος, οὕτως ῥηνὸς ὑπόῤῥηνος. ἀναδράμωμεν ἐπὶ τὰ παραδείγματα· ζῆν, μῆν, σπλῆν, σφῆν, ψῆν. Ἀριστοφάνης, ἤτοι κνῆπες καὶ ψῆνες ἀεὶ τὰς σίκας οὐ κατέδονται. ὅπερ οὖν ἀληθές ἐστι τὸ μηδὲ εἰς ην λῆγον μονοσύλλαβον θηλυκὸν γένος σημαίνειν, δῆλον ὅτι πεπλάνηται τὸ φρὴν περὶ τὸ γένος. διὸ καὶ ἐξηλλάγη αὐτοῦ ἡ κλίσις ὡς πρὸς τὰ ἄλλα μονοσύλλαβα. φρενὸς γὰρ, τῶν ἄλλων φυλασσόντων τὸ η. οὐκ ἀντιθήσει τὶς ἡμῖν τὸ παρὰ τῷ ἐμησιάνακτι ἐν λεοντίου α΄ δερκόμενος πρὸς κῦμα, μόνη δέ οἱ ἐφλέγετο γλήν. οὐ γὰρ ἐντελὲς, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη.

Σειρήν. οὐδὲν εἰς ην λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξυνόμενον θηλυκόν· μόνον δὲ τὸ σειρὴν, ποτὲ δὲ καὶ μελίσσης εἶδος σίας ἀρσενικῶς, ἁπλῶς λεγόμενον, οὐ κεκοινώνηκε. διὸ καὶ οἱ ἀδένες ἀρσενικῶς λεγόμενοι παρ' Ἱπποκράτει ἀναλόγως λέγονται.

Γαστήρ. τὰ εἰς τηρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν θηλυκὰ ὄντα βαρύνεσθαι θέλει, μήτηρ, θυγάτηρ, εἰνάτηρ, δημήτηρ· οὐδὲν δὲ θέλει ὀξύνεσθαι. σημειώδης ἡ γαστὴρ ὀξυνομένη. καὶ γὰρ ἄλλως τὰ εἰς τηρ ὀξυνόμενα ἀρσενικὰ, ὁπότε μὴ κατὰ μεταβολὴν γένους εἴη· ἀστὴρ, πρηστὴρ, καυστὴρ, πληκτὴρ, ἀλκτήρ. προσέθηκα δὲ, ὁπότε μὴ κατὰ μεταβολὴν γένους, διὰ τὸ, ῥαιστῆρα κρατερὴν ὕλης τε γαστῆρα. τοιαῦτα γάρ ἐστι ὁποῖον ἡ αἰτὴρ, ἡ ἀήρ.

Σκηνή. τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ τὸ η παραληγόμενα βαρύνεται· ῥήνη. κρήνη. φήνη, φήνῃ ἐειδομένη. γλήνη. σμήνη. σημειώδης ἄρα ἡ σκηνή.

Δοθειήν. οὐδὲν εἰς ην λῆγον ὄνομα ὀξυνόμενον καθαρεύει 17

17 κατὰ χρῆσιν Ἑλλήνων, ἀλλ' ἀεὶ πρὸ τοῦ η σύμφωνον ἔχει ἢ σύμφωνα· οἷον σκολήν. λειχήν. κηφήν. αὐχήν. πυρὴν καθ' Ἡσίοδον πατὴρ υἱός. αἰζὴν ταντάλου παῖς. στελήν. σειρήν. βαλλὴν, οὗτος ὁ βασιλεύς. ἐσπὴν ὁ οἰκιστής, μυρμυδόνων ἐσσῆνα Καλλίμαχος. πυθμήν. λιμήν. ἀτμήν. χαμασὴν ἰχθύς τις λέγεται. ἀραφὴν, εἷς τῶν ἑκατὸν ἡρώων. ἠλεκατὴν, καὶ τοῦτο ὄνομα ἰχθύος κητώδους, ἀλλὰ καὶ τὸ κύριον. δῆλον ὅτι σημειώδης ὁ δοθειὴν παρ' Ἀττικοῖς λεγόμενος καὶ μὴ ἔχων πρὸ τοῦ η σύμφωνον. Τηλεκλείδης, δῷ ἀπ' αἰγιύνης οὐ χωρεῖ δοθειῆνος ἔχων τὸ πρόσωπον. καὶ Ἕρμιππος ἐν θεοῖς· φήμης ἱερᾶς ἐξοιγνυμένης ὥσπερ πέπονθε δοθειῆνος. εἰ δέ τις λέγοι, ὅτι καὶ τὸ ζάην καθαρεύει, καὶ αἰτιατικὴ παρὰ τῷ ποιητῇ κατ' ἔκθλιψιν τοῦ α, ὦρσε δ' ἐπὶ ζάην ἄνεμον, πρῶτον μὲν ἕπεται, ὡς οὐχ ὑγιῶς τὸ τοιοῦτο παραλήψεται πίστιν, ὀφείλει ἐξ ἄλλων πτώσεων παραθέσθαι. προείπομεν δὲ κατὰ χρῆσιν τῶν Ἑλλήνων, οὐχὶ καθ' ὑπόστασιν, λεγόμενον πάντα. φυλακτέον δὲ ὡς πολλοὶ ἐν τῇ συνηθείᾳ διὰ τοῦ ω λέγουσι τὸ δοθιῶν, συναποφερόμενοι τὸ κνακιῶν καὶ ἀσιῶν καὶ ἀνθεστηριῶν καὶ τοῖς τοιούτοις.

Πυρά. τὰ εἰς ρα λήγοντα θήγοντα θηλυκὰ μονογενῆ τῷ υ παραληγόμενα, ἢ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὡς τὸ ἄγκυρα, ὄλυρα, κέρκυρα, κόρκυρα· ἢ παροξύνεται, ὡς τὸ ἐφύρα, πορφύρα, κολύρα, ζεφύρα, λύρα, θύρα· ἢ προπερισπᾶται, ὡς τὸ σφῦρα· οὐδ' ὅτι οὖν ἐστιν ὀξυνόμενον. σημειῶδες ἄρα τὸ πυρά. τὸ δὲ, πυρῇσι μὲν πρῶτα ποσειδάων ἐπέλασσε πέτρῃσι μεγάλῃσι, εἰ καὶ 18 ἰδίως λέγεται, ἀλλ' ὅμως ἔχει τάξιν ἐπιθετικήν. λέγεται δὲ καὶ περὶ τούτων μοι πάντων ἐν τοῖς περὶ καθολικῆς προσῳδίας.

Ἐρωδιός. τὰ διὰ τοῦ διος ὀνόματα πάντα προπαροξύνονται, χωρὶς εἰ μὴ τριβράχεα εἴη, ἢ ἐπὶ κυρίων, ὥσπερ ἔχει τὸ σχεδίος· σχεδίον δ' ἐλελήϊστος ἥρως. καὶ κάρης ὅστ' ἐρωδιός τε. προπαροξύνονται οὖν ταῦτα· ἀΐδιος, μαψίδιος, φωριδιος, ἐπιμαστίδιος, ῥηΐδιος, θνητάδιος, κρυπτάδιος, παυρίδιος, μουσάδιος, μεχθάδιος, ὑφράδιος, μολπάδιος, ὑσσάδιος, μινυνθάδιος, καὶ ἄλλο μυρίον πλῆθος. διὸ σημειωτέον ἐρωδιὸς ὀξυνόμενον, ὅπερ ἔχει πρὸς τὸ ω καὶ τὸ ι γραφόμενον. λέγεται δὲ ἔσθ' ὅτε καὶ τρισυλλάβως, ὥσπερ καὶ τὸ παρ' Ἱππώνακτι· ἐγὼ δὲ δεξιῷ παρὰ ῥητὴρ κναιφέως ἐλθὼν ῥωδιῷ κατηολίσθην. τὴν δὲ λύσιν τούτων ἐν τῷ πέμπτῳ περὶ καθολικῆς προσῳδίας ἐποιησάμην.

Μηχανή. τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο συλλαβὰς πάντα βαρύνεται, πτισάνη, δρεπάνη, σαργάνη,

βρυκάνη, τρυπάνη· ἀλλὰ μόνον τὸ μηχανὴ σημειοῦται ὀξυνόμε- 18
νον. προσέθηκα ὑπὲρ δύο συλλαβὰς διὰ τὸ φανὴ παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον· οἱ πρόσθε φανὴν ἔντοσθεν ἐκεύθοντο γὰρ παρὰ κορίννην βάνδου κοινόν. οὐδὲν εἰς| νη λῆγον, ἀλλ' ἀΐδιον θέμεν βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή.

Εἷς. οὐδὲν ἀρσενικὸν εἰς εις λῆγον περισπᾶται, ἀλλὰ μόνον τὸ εἷς. ἀναλογώτερον ἄρα ἕνεκα τόνου τὸ ἕεις βαρυνόμενον· ὀφθαλμὸς δὲ ἕεις ἐν μέσῳ ἔκειτο μετώπῳ. προσέθηκα δὲ ἕνεκα τόνου, ἐπεὶ οὐχ ὑγιαίνει ἐν τῷ πρὸ τέλους συλλαβῇ. οὐδὲν γάρ ἐστιν ὅμοιον τῷ ἀχέεις καὶ βρωμέεις.

Τίς. οὐδὲν εἰς τις λῆγον συνεσταλμένον μονοσυλλαβεῖ, πάντα 19
δὲ ἐκτείνεται, ὡς τὸ λὶς, κὶς, ῥὶς, ἶς, ἔνθεν καὶ ἡ ἰνος γενική. σημειῶδες ἄρα τὸ τὶς συστέλλον τὸ ι. τὸ τὶς ἐπὶ ποταμοῦ κείμενον παρ' Ἡροδότῳ ἐκτεινόμενον ἔχει τὸ ι. οὕτω καὶ Σκύμνος ἐν τῷ ί τῆς ἀσίας περίπλῳ· εὑρέθη ἔχεται κέλενδε ῥὶς πόλις σαμίων, καὶ ἱερὸν παρὰ τῇ πόλει νήρης καὶ ἄλσος· ἶς ποταμὸς παρὰ θάλασσαν ἔξεισιν. ἔστιν ἶς τῆς ἰταλίας, ὡς πάρθαξ ἐν τῷ β' τῶν ἰταλικῶν, ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν ποσειδονίαν ὁ ἡρακλῆς· ἔστι δὲ ποταμὸς εἶς καλούμενος μέγας. εἰ δέ τινες συστέλλουσι τὸ ι εἰς ἀποφυγὴν τούτου, οὐ γὰρ ἐμοὶ ἶς ἴσχαι ᾗ πάρος ἔσκεν, πταίουσι καὶ περὶ τὸν λόγον καὶ περὶ τὴν ἱστορίαν. τὰ πύσματα ὀνοματικὰ ὄντα εἰς ος θέλει καταλήγειν· ποῖος, πόσος, πηλίκος, ποδαπὸς, πόστος· τὸ δὲ τὶς οὐ παρεδέξατο τὴν εἰς ος κατάληξιν. ἀπαιτεῖ τὰ πύσματα τὴν εὐθεῖαν πτῶσιν· ἀλλὰ καὶ ἐν τοῖς ἐπιῤῥήμασιν ἡ αὐτὴ ἀρχη, πόσως, ποίως, ποδαπῶς, ποῦ, πῶς, πηλίκως, πῆ, πόθεν, πόσε, πόθι, πῆμος. μόνον δὲ τὸ τὶς ἀπὸ τοῦ τ ἤρξατο. πρόσκειται δὲ κατ' εὐθεῖαν πτῶσιν, ἵν' ἐκφύγωμεν τὸ κατὰ γενικὴν τὸ υ λεγόμενον ἢ τέο ἢ τευ.

Ὀλίγος. οὐδὲν εἰς ος ὑπὲρ δύο συλλαβὰς τῷ ι παραλήγεται καὶ παροξύνεται, ἀλλὰ μόνον τὸ ὀλίγος. μήτ' οὖν ταραντινοὶ χωρὶς τοῦ γ προφερόμενοι τὴν λέξιν ἀναλογώτερον ἀποφαίνονται, ὥσπερ Ῥίνθων ἐν δούλῳ μελεάγρῳ, λιοίοισιν δμῶν ἐμπέφυκ' εὐψυχία. καὶ εὐνιοβάται, χρήζω γὰρ ὄλιον μισθὸν αὐτὸς λαμβάνειν. πολλὰ γάρ ἐστι εἰς ος λήγοντα καθαρῷ τῷ ι παραληγόμενα καὶ παροξυνόμενα, ὡς τὸ πλησίος, ἀντίος, νυμφίος ἐπὶ διαφόρου σημαινομένου, μυρίος καὶ τοῦτο ὁμοίως. οἵ γε μὴν, ἐστὶ τὸ εἰς γος λῆγον παραληγόμενον τῷ ι ὑπὲρ δύο συλλαβὰς ὑπάρχον καὶ προπαροξυνόμενον. Πλάτων μέντοι ὁ κωμικὸς ἐν Ὑπερβόλῳ διέπαιξε 20
τὴν ἄνευ τοῦ γ χρῆσιν ὡς βάρβαρον, λέγων οὕτως· ὅδου γὰρ

Denique librum nostrum ad Codicem descriptum proponimus.

ΑΙΛΙΟΥ ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΜΟΝΗΡΟΥΣ ΛΕΞΕΩΣ.

3 Τῶν λέξεων αἱ μὲν πλήθουσι καθ' ὁμοιότητα, αἱ δὲ οὔ. καὶ τῶν μὲν πληθουσῶν ἤτοι τὸ τέλος μόνον παραφυλάττομεν τὸ αὐτὸ ὄν, ἢ καὶ ποσότητα συλλαβῶν καὶ τόνον· ἔσθ' ὅτε καὶ τὴν πρὸ τέλους συλλαβὴν, ἔτι καὶ τὴν τρίτην ἀπὸ τέλους, ἐφ' ὧν οὐδὲ δύναταί ποτε λέξις μονοσυλλαβῆσαι ἢ δισυλλαβῆσαι. εἰ γὰρ τρεῖς εἰσιν αἱ παραφυλασσόμεναι συλλαβαὶ, πῶς ἂν ἐκ τούτων μείωσις γένοιτο; ἐκστήσεται γὰρ τῆς ποσότητος τοῦ ἀριθμοῦ, καὶ τῆς ὁμοιότητος· ὥσπερ ἐπὶ τῶν διὰ τοῦ αλεος παραγωμένων, νηφαλέος, δειμαλέος, ἀρβαλέος. πάντα γὰρ ταῦτα ἔχει τὰς ἐν τῷ τέλει τρεῖς συλλαβὰς τύπον μόνον ἐμφαινούσας τοῦ δηλωμένου αὐτῷ ὑπάρχοντος ἐν τῇ ἀρχῇ. οἷον τὸ δειμαλέος τετύπωται μὲν ἀρσενικῷ χαρακτῆρι, καὶ ἔστιν εὐθείας πτώσεως ἑνικόν· τὸ μέντοι δηλούμενον ἔχει ἐν τῇ ἀρχούσῃ συλλαβῇ καὶ ἐν τῷ μ συμφώνῳ. ὁμοίως καὶ τὸ νηφαλέος οὐ παρ' ὄνομα παραχθὲν, ὡς τὸ προκείμενον, παρὰ μέντοι τὸ νήφω ῥῆμα ὁμοίως παροξυνθὲν, ἔχον τὰς ἐπὶ τέλει τρεῖς συλλαβὰς τῆς παραγωγῆς, τοῦ σημαινομένου αὐτοῦ ὑπάρχοντος ἐν τῇ ἀρχούσῃ συλλαβῇ καὶ ἐν τῷ φ. καὶ τὸ αὐτὸ εὑρήσῃς ἐπὶ πάντων τῶν τοιούτων, ἐφ' ὧν οὐκ ἔστιν ἐλέγξαι τινὰ περὶ ποσότητα συλλαβῶν ἢ πεπλανωμένην λέξιν. δύναιτο δ' ἄν τις ἐπιζητῆσαι τόνον πειθα-
4 νευόμενος, ὡς τὰ τοιαῦτα πάντα τὰ διὰ τοῦ αλεος ὑπάρχοντα παράγωγα καθεστῶτα ὑπὲρ τρεῖς συλλαβὰς παροξύνεσθει θέλει, ὡς ἔχει πάντα τὰ τοιαῦτα, νηφαλέος, σκωπαλέος, δειμαλέος, σμερδαλέος, κερδαλέος, φρικαλέος, θαρσαλέος, ἀργαλέος, οὐαλέος, φοιταλέος, γηραλέος, λουδαλέος, ὀπταλέος, ἰκμαλέος, ῥωμαλέος, ῥωγαλέος. τὸ μέντοι δαιδάλεος τρίτην ἀπὸ τέλους ἔχει

τὴν ὀξεῖαν· ἔνθεν αἰτιατικὴ, δαιδάλεον θώρηκα παρὰ τῷ ποιητῇ· 4 καὶ παρὰ Ἀντιμάχῳ κονισάλεος, τῷ δ' αὖτ' ἀμφὶ κονισάλεον πεπονήατο δίφρον. καὶ δῆλον ὅτι ἡ ἀναλογία ἰωμένη τῷ τοιούτῳ διαφόρου κινήσεως παρίστησι τὰς λέξεις· ὡς ὅτι τοῦ δαιδάλεος καὶ κονισάλεος κτητικὴ Ἰωνικὴ ἐστι ἐνδείᾳ τοῦ ι, ὁμοίως καὶ ἐκτόρεος καὶ νεστόρεος. ὡρισάμην διὰ τοῦ αλεος ὑπὲρ τρεῖς συλλαβὰς ὄντα, ἐπεί ἐστι τινὰ τρισύλλαβα οὐχ ὁμοίως παρηγμένα, ἅπερ διηλλάξαντο, καὶ τῷ μὴ ὁμοίως παρῆχθαι καὶ ποσότητι συλλαβῶν καὶ νοητῷ διήλλασσε καὶ τόνῳ· ἐπὶ γὰρ τοῦ τέλους λαμβάνει καὶ τὴν ὀξεῖαν, ὡς ἔχει τὸ γαλεὸς, ἀλεὸς, παλαιός. τῶν μέντοι μὴ πληθουσῶν τῶν λέξεων, ἀλλὰ σπανίως ὁρωμένων, ἢ τῶν κατὰ τὴν λήγουσαν συλλαβὴν, ἢ τὴν πρὸ αὐτῆς κατὰ ποσότητα μεμειωμένων ἐν στοιχείοις τε καὶ συλλαβαῖς, ἢ διαφόρῳ τόνῳ κεχρημένων καὶ οὐχ ὁμοίως τοῖς ὁμοιοκαταλήκτοις, ἔλεγχον ἀπεργάζεται ἡ ἀναλογία, οὐκ ἀποδοκιμάζουσα χρῆσθαι, ἀλλὰ σημειουμένη τὸ σπάνιον· εἴ γε τὰς παρὰ τοῖς Ἕλλησι λέξεις πῇ μὲν καθ' ὁμοιότητα ἐν πλήθει ἐκφερομένας ποικίλας καθεστώσας, ἢ σπανίους, ἢ πάσης λέξεως Ἑλληνικῆς πρόνοιαν ποιοῦσα ἀναλογίας· καὶ ὥσπερ ἡ ἐν δικτύῳ συνέχουσα τὸ πολυσχιδὲς τῆς τῶν ἀνθρώπων γλώσσης φθέγμα τῇ τέχνῃ, κατορθοῦν ἐπιχειροῦσα τὰς τῶν ληγόντων στοιχείων φύσεις, καὶ τῶν παραληγόντων ἢ ἀρχομένων τά τε σπάνια καὶ δαψιλῆ ἐν συντόμῳ παραδιδοῦσα. οὐδὲ οὖν πρόκειται ἡμῖν περὶ πάσης λέξεως λέγειν, ἀλλὰ περὶ τῆς ἐκφυγούσης τὸ πλῆθος· καὶ οὐδὲ ταύτης καθολικῶς, ἀλλ' ἐπὶ ποσόν· οὐδὲ κατηγορεῖν τῶν λέξεων 5 εἰ σπάνιοι εἶεν· ἐπεί τοι γε εἰ μὴ πληθύον πανταχοῦ ὡς ἡμαρτημένον ἐλέγχειν ἐπιχειρήσαιμεν, οὐκ ἂν ἐξαρκήσαιμεν, μυρίον γὰρ ἀριθμὸν εὐδοκιμωτάτων λέξεων ὡς παρὰ τοὺς τῆς φύσεως νόμους ἐξενεχθεισῶν χακίζοντες· ἀλλ' ἅσπερ ἐγεννήσατο ἡ φύσις ἡμῖν, ταύτας παρ' αὐτῆς εὐμενῶς προσδέχεσθαι, ἀλλαχοῦ μὲν μίαν εἰσηγησαμένης, ἑτέρωθι δὲ δύο, καὶ νὴ Δία ἀλλαχόθι τρεῖς, ἔπειτα τέσσαρας, μέχρις εἰς ἄπειρον χωρήσει πλῆθος. κρίσις δὲ ἔστω τῆς προκειμένης λέξεως μονήρους ἡ πολλὴ χρῆσις παρὰ τοῖς παλαιοῖς, καὶ ἡ συνήθεια ἔσθ' ὅτε ὁμοίως τοῖς παλαιοῖς ἄλλοις Ἕλλησι ἐπισταμένη χρῆσιν, ὁποῖόν ἐστι τὸ πῦρ. τούτῳ γὰρ οὐδὲν πέφυκεν ὁμοίως λεγόμενον οὐδέτερον, ἀλλ' οὖν γε πάντες ἐχρήσαντο τῇ φωνῇ. περὶ δὴ τοῦ τοιούτου εἴδους ἔσται ἡμῖν ὁ λόγος. οὐ μὴν ὅτι καὶ συρτή ἐστιν. οὕτω γὰρ ἐλέγετο πρότερον ἡ Φοινίκη. τοῦτο γὰρ ἀπεξεωμένον ἐστὶ καὶ ἐν ἱστορίᾳ

3κείμενον, ἀνοούμενόν τε καὶ τῇ τῶν παλαιῶν Ἑλλήνων χρήσει καὶ τῇ συνηθείᾳ. διὸ καὶ τὰ οὕτω λεγόμενα καὶ ἱστορία οὐκ ἀνασκευάσει τὸ ὑπὸ πολλῶν λεγόμενον μονῆρες· παραλαμβάνεσθαι δέ μοι μονήρεις λέξεις εἴτε ἐν ὀνόμασιν εἴτε ἐν ῥήμασιν· ἐπεὶ ταῦτα τὰ μέρη λόγου ἔσθ' ὅτε πλήθει ἐν ὁμοιώμασιν· ὅπως διὰ τοῦ πληθύοντος παρηλλαγμένον καὶ σπάνιον ἐλέγχωμεν. τὰ γὰρ ἄλλα μέρη τοῦ λόγου σχεδὸν ὡς ἐπὶ τὸ πλεῖστον προτίθεται· αἱ μετοχαὶ ἀεὶ δεύτεραι τῶν ῥημάτων τὴν κίνησιν ἔχουσιν, ὡς δείκνυται ἐν τῷ περὶ μετοχῶν. τὸ μὲν οὖν πρότερον βιβλίον περιέξει τὰς μονήρεις λέξεις τὰς γινωσκομένας ὑπό τε τῆς συνηθείας καὶ τῶν παλαιῶν· τὸ δὲ δεύτερον καὶ τὰς ἐν ἀγνοίᾳ τῇ συνηθείᾳ. ἀρκτέον δὲ τῶν κανόνων ἐντεῦθεν, καὶ πρῶτος ἡμῖν θεὸς παρέστω. δίκαιον γὰρ τὴν ἀρχὴν ἀπ' αὐτοῦ ποιήσασθαι, ὡς καὶ ὁ Σολεὺς ἀρχόμενος ἔφη, ἐκ Διὸς ἀρχόμεθα.

ΒΙΒΛΙΟΝ Α.

6Ζεύς. τὰ εἰς ευς λήγοντα ἀρσενικὰ ἐπ' εὐθείας ἀεὶ ὑπὲρ μίαν ἐστὶ συλλαβήν· ἀριστεύς. βασιλεύς. περσεύς. πορθεύς. πρωτεύς. ἁλιεύς. οἰνεύς. λυγκεύς. ἀχιλλεύς. πηρεύς. θησεύς. ὀδυσσεύς. πηλεύς. βρισεύς. ἀτρεύς. δικαίως ἄρα ὁ ζεὺς μονοσυλλαβήσας, καὶ ἐκφεύγων τὴν ποσότητα τῶν συλλαβῶν· τοῦ δὲ χαρακτῆρος μονῆρες. τὸ γὰρ νεὺς ἐπὶ πο[τ]. κείμενον, ὡς φησὶ Φιλέας, ἀπεξενωμένον ἐστί. τὸ δὲ θεὺς ἐκ συναλοιφῆς ἐστι ποιητικόν. τὸ δὲ θεῦς ἀπὸ ἀναλογίας πλασσόμενον. τὸ δὲ φεὺς ἐπὶ τοῦ Διονύσου κείμενον, ὡς ἐν ταῖς ἐπικλήσεσιν εὕρομεν, καθ' ἱστορίαν ἐστὶν εἰρημένον. τὸ δὲ μὴν δνεύς, χείμερραν ἄγριον ὀφλήσεις, ἐθνικόν. τὸ αἴτιον τοῦ μονοσυλλαβῆσαι τὸ ζεὺς ἐν τῷ περὶ ῥηματικῶν ὀνομάτων λέγομεν. ὅτι δὲ ποικίλως εἴρηται ὑπὸ παλαιῶν ὁ θεὸς οὐκ ἀγνοῶ. καὶ γὰρ δὶς, καὶ ζὴν, καὶ δὴν, καὶ ζεὺς, καὶ ζὴς παρὰ Φερεκύδῃ κατὰ κίνησίν τινα ὑπὸ Βοιωτῶν, καὶ δεὺς, καὶ δάν.

Γῆ. τὰ εἰς η λήγοντα θηλυκὰ ὀνόματα ἐπ' εὐθείας περι-

σπώμενα κατὰ τὴν συνήθειαν καὶ τὴν τῶν παλαιῶν χρῆσιν ἀεὶ 6
θέλει ὑπὲρ μίαν συλλαβὴν εἶναι, ἔχειν τε καὶ ἐντελέστερα
προυποκείμενα. συκέα συκῆ. λεοντέα λεοντῆ. φακέα φακῆ. Ἐπί-
χαρμος· χύτρα δὲ λεκέας ἥψατο. παγῆ. γαλῆ. μυγαλῆ. ἀμυγδαλῆ.
Εὔπολις Βάπταις· ἀλλ' ἐξομέλεις με ναὶ μὰ τὴν ἀμυγδαλῆ. κωλῆ.
Ἀμειψίας κοινῷ· ἐντεῦθεν Ἴδσαι μάλιστα ἱερωσαναναχωλεῖτο
πλευρὸν ἢ μικρᾶς ἀριστερᾶς. σησαμῆ. Ἀριστοφάνης· πλακόεσσα 7
ἕπεται, σησαμῆ συμπλάττεται. χαιρέτω ἄρα ἡ γῆ μονοσύλλαβος
οὖσα καὶ συνήθης τῇ νῦν χρήσει καὶ τῇ τῶν παλαιῶν πάντων.
εἰ δέ τις λέγει, καὶ ἡ ῥέα ῥῆ κέκληται ὑπὸ τοῦ Συρίου, ἴστω
ὅτι αὐτοῦ ἴδιος ἡ χρῆσις καὶ οὐ πᾶσιν ἴσως ἢ καὶ Ἀττικοῖς ἡ
γνῶσις ἐστί. τὸ δὲ πλῆ εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλω-
νιάτῃ ἀντὶ τοῦ πλέη θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις.
ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον ἐν Σαμίων ὅροις. τῇ δὲ νῇ τῶν
πυθογειτονέων τις τὸν φορτὸν ἐλάμβανε. καὶ παρὰ Ἀριστοφάνει
ἐν δινσίλλωνι· καὶ ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο. ἡ δὲ γῆ
κοινὴ συνήθης. ἔτρεψάν τε τὸ η εἰς α Δωριεῖς καὶ Αἰολεῖς καὶ
Βοιωτοὶ γᾶ λέγοντες, ὡς ἀσυναλήπτου αὐτοῦ ὑπάρχοντος. οὐκ
ἀγνοῶ δὲ ὅτι καὶ ἡ γᾶς εἴρηται καὶ γέα καὶ γαῖα καὶ αἶα.

Οὐρανός. τὰ εἰς νος λήγοντα ὀνόματα τρισύλλαβα ὀξυνό-
μενα, καὶ ἔχοντα τὸ α συνεσταλμένον πρὸ τέλους μὴ καθα-
ρεῦον, οὐδέποτε τὴν ἄρχουσαν ἔχει φύσει μακράν· οἷον ἱκανός·
καίτοιγε τὸ ῥῆμα ἐξέτεινε τὸ ι. πείθω, πιθανός. εἴδαται, ἰδανός·
τὰς σὰς ἰδανὰς χάριτας. ἀγανὸς τράγος. σφεδανός. ἑδανός. ὀρ-
φανός. πεδανός. ῥοδανός. σημειῶδες ἄρα τὸ οὐρανὸς, ὅτι ἤρξατο
ἀπὸ φύσει μακρᾶς. Ἀλκαῖος δὲ εἰς ω ἀποφαίνεται τὸ ὄνομα,
καὶ ὠρανὸς λέγων κατὰ τροπὴν τῆς ου διφθόγγου εἰς τὸ ω,
καὶ ἄνευ τοῦ υ ὀρανὸς, ὥστε τὸ ἐπιζητούμενον παρ' αὐτῷ λε-
λύσθαι. καὶ Σαπφώ· ψαύειν δὲ οὐ δοκεῖ μοι ὠρανῶ δυσπαχέα.
προσέθηκα μὴ καθαρεῦον, ἵνα μὴ ζητῶμεν περὶ τοῦ αἰανοῦ ἀπτο-
μέναις, καὶ ἑανοῦ κασσιτέροιο.

Ἀθηνᾶ. οὐδὲν εἰς να λῆγον ὑπὲρ μίαν συλλαβὴν θηλυκὸν
περισπᾶται, ἀλλὰ μόνον τὸ Ἀθηνᾶ, οὕτως ἔσθ' ὅτε ὑπὸ τῶν
Ἀττικῶν λεγόμενον, καὶ ὑπό τινος συνήθους λέξεως. εἰ δέ τις
λέγοι, καὶ ἡ Δανᾶ οὕτως εἴρηται παρ' Ἑκαταίῳ· τῇ Δανᾷ μίσγε- 8
ται Ζεύς, ἴστω ὅτι τοῦτο παρ' Ἑκαταίῳ ἐστὶ, καὶ ἐν τῇ χρήσει
τῶν Φοινίκων, ὡς αὐτός φησι, οὐκ ἔτι μέντοι Ἀττικοῖς καὶ τῇ
συνηθείᾳ γνωστόν. οὐκ ἀγνοῶ δὲ τὴν θεὸν ποικίλως λεγομένην
κατὰ τὴν εὐθεῖαν. προσέθηκα δὲ ὑπὲρ μίαν συλλαβὴν, ἵνα ἐκφύ-

ἄγωμεν τὸ σύνηθες τὸ μνᾶ Ἀττικοῖς τε καὶ τῇ νῦν χρήσει, καὶ ἀπεξενωμένον τὸ χνᾶ· οὕτω γὰρ πρότερον ἡ Φοινίκη ἐκαλεῖτο.

Μοῖρα. οὐδὲν εἰς ρα λῆγον συνεσταλμένον θηλυκὸν δισύλλαβον τῇ οι διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ μοῖρα ἀπηνέγκατο τήνδε παράληξιν. τὸ γὰρ χοίρα ἐκτείνεται κατὰ τὸ ἐπώνυμον, ὥσπερ καὶ παρὰ Δεινίᾳ· λέγεται δὲ, τοὺς Λακεδαιμονίους, καθ' ὃν ἐν τῇ γαίᾳ χρόνον ἦσαν αἰχμάλωτοι, δεδεμένους ἐργάζεσθαι διὰ τοῦ πεδίου τὸν λαχᾶν ποταμὸν, περιμήδας ἐν τῇ γέᾳ δυναστευούσης, ἣν οἱ πλεῖστοι καλοῦσι χοίραν.

Ἄρτεμις. οὐδὲν εἰς μις λῆγον θηλυκὸν ὑπὲρ δύο συλλαβὰς βαρυνόμενον τῷ ε θέλει παραλήγεσθαι. μονάζει ἄρα τὸ Ἄρτεμις κατὰ τὴν πρὸ τέλους συλλαβήν. εἰ δέ τις λέγοι, ὅτι τὸ Χρυσόθεμις πρὸ τέλους ἔχει τὸ ε, εἴσεται ὡς ἐξ ἁπλοῦ τοῦ θέμις συντεθημένον ἐστὶ, τὸ δὲ Ἄρτεμις οὐχ οὕτως ἔχει. μήποτε οὖν Δωριεῖς διὰ τὸ α προφερόμενοι αὐτὸ κατά τι κατορθοῦσιν. Ἄρταμις γὰρ λέγουσιν, ὡς τὸ δύναμις καὶ Σεμίραμις.

Παρθένος. τὰ εἰς νος λήγοντα ὀνόματα ἐπ' εὐθείας πτώσεως τῷ ε παραληγόμενα ὑπὲρ δύο συλλαβὰς, ἤτοι τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ἢ ἐπὶ τέλους. καὶ τῶν μὲν ἐχόντων τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, παράδειγμά ἐστι ταῦτα· ὄρμενος, ἔμενος, ἔλενος, τήμενος, ὤλενος, ἰάλμενος· τῶν δὲ ἐπὶ τέλους ταῦτα· τισαμενὸς, δεξαμενὸς, ἀκεσαμενὸς, κλαυσαμενός· καλεῖται δὲ ἐν μαλακοῖς. ἀγχομενός· γενναῖα βοιώτιος ἐν ἀγχομενοῦ· Ἀριστοφάνης Ταγηνισταῖς. φαμενὸς Σοφοκλῆς· μάντεσσι ξουθὸς φαμενὸς τειρεσίου παῖς. τὸ τοίνυν παρθένος ἀκοινώνητον καθέστηκε τῷ
9 χαρακτῆρι, μόνον παροξυνόμενον ἐπ' εὐθείας, καὶ ὄνομα ὑπάρχον.

Ποσειδῶν. οὐδὲν εἰς δων λῆγον ὀξυνόμενον ὑπὲρ δύο συλλαβὰς φυλάττει τὸ ω κατὰ τὴν γενικὴν, χωρὶς εἰ μὴ παραλήγοιτο τῷ υ, ὡς τὸ κλυδὼν, ἀμυδών. τὰ δὲ ἄλλα τρέπει τὸ ω εἰς ο, οἷον χελιδὼν χελιδόνος, εἴτε τὸ ὄρνεον, εἴτε ὁ περὶ τελευτῶντος γράψας. σαρπηδὼν σαρπηδόνος, εἴτε ὁ ἥρως, εἴτε ἡ πέτρα, εἴτε ἡ ἀκτὴ, εἴτε ἡ νῆσος· ὡς παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλωτῇσιν εἴρηται σαρπηδὼν ἀκτή. ἐν Τυμπανισταῖς, ἡμεῖς δὲ ἐν ἄστροις, ἔνθα σαρπηδὼν πέτρα, καὶ ἡ νῆσος ἰδίως ἐν ὠκεανῷ Γοργόνων οἰκητήριον οὖσα, ὡς ὁ τὰ Κύπρια φησὶ, τῷ δ' ὑποκυσσαμένη τέκε γοργόνας δεινὰ πέλωρα, καὶ σαρπηδόνα ναῖον ἐπ' ὠκεανῷ βαθυδίνῃ, ἢ νῆσον πετρήεσσαν. τεθρηδὼν πρόθος πατήρ. φαρκιδών. ἀσπιδών. μυρμηδών. ἀσσιδών. ἀσπληδών. μα-

κεδών. καὶ καθόλου τὰ διὰ τοῦ ηδων καὶ εδων, εἴτε ἀρσενικὰ **9** εἴτε θηλυκά, διὰ τοῦ ο τὴν κλίσιν ποιεῖ. τὰ γὰρ παρὰ τῷ Κυρηναίῳ, τὰ δὲ νῦν πολλὴν τυφεδῶνα λεσχαίνεις, ἕνεκα μέτρου τὸ ω ἐφύλαξεν. εἴπως οὖν τὸ ποσειδὼν ὀξύνεται, ὀφείλει διὰ τοῦ ο κλίνεσθαι. οὐδέν τε τῶν εἰς λων ὀξυτόνων διὰ τοῦ εων καὶ αων λέγεται· τὸ μέντοι προκείμενον εἴρηται καὶ ποσειδέων καὶ ποσειδάων. ἴσως περισπᾶται· ἀλλ' οὐδὲν εἰς ων λῆγον περισπώμενον ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραλήγεται. ἀντιφῶν. ξενοφῶν. εὐρυφῶν, ὁμήρου υἱός. νικοφῶν, ὁ κωμικός. ἀριστοφῶν. ἀγλαοφῶν κατά τινας. βελοροφῶν· καὶ ἄλλα πολλὰ τοιαῦτα. χαρναβῶν Σοφοκλῆς Τριπτολέμῳ· καὶ χαρναβῶντος ὅτι τῶν ὅς γε ἄρχει τὰ νῦν. εὐρυπῶν ἀλκμοῖς ἧδε ῥυπῶν. συλοσῶν. δεξικρῶν ἑρμονίδης. ἑρμοκρῶν παιδοτρίβης τις ἱστορεῖ. χαλλικῶν δηΐκῶν **10** ἡρακλέους, ὅπερ ἰλιάδος γράψας ὀδυσσείας. ἀθηνακῶν ὁ τὰ σαμοθράκια γράψας. λαοκῶν. ἄλλο πλῆθος ἐστὶ τοιοῦτον ὀνομάτων περισπωμένων μὴ ἐχόντων πρὸ τέλους φύσει μακρὰν, πάντα τε τὰ προειρημένα διὰ τοῦ ντ κλίνεται· τὸ δὲ ποσειδῶν οὐχ οὕτως ἐκλίθη. τὰ περισπώμενα, εἰ λέγοιτο ἐν πλείοσι συλλαβαῖς, διὰ τοῦ ο λέγεται. δημοφόων Καλλίμαχος, νυμφίε δημοφόων, ἄδικε ξένε. χαλλικόων. Εὐφορίων, κακώτερε χαλλικόωντος. ἱπποθόων. εὐμόλοπος, δόλιχός τε καὶ ἱπποθόων μεγάθυμος. τὸ μέντοι ποσειδῶν ἢ ποσειδέων ἢ ποσειδάων λέγεται. οὐδὲν περισπώμενον ὑπὲρ δύο συλλαβὰς τρέπει τὸ εω εἰς α παρ' Αἰολεῦσιν ἢ Δωριεῦσι, τὸ δέ γε ποσειδῶν ἐτράπη· ποσειδὰν γὰρ λέγεται. οὐδὲν περισπώμενον ἐπὶ κλητικῆς εἰς ον περατοῦται· πῶς οὖν πόσειδον λέγεται ἡ κλητική; οὐδὲν περισπώμενον ἀποκόπτεται κατὰ αἰτιατικὴν πτῶσιν· ἐξεκόπη παρὰ Ἀριστίᾳ ἐν Ἀνταίῳ, ἔνθα φησὶν Ἀνταῖος, αἰγαίου ποσειδῶ παῖς, πατὴρ δ' ἐμός. οὐδὲν περισπώμενον εἰς δων λήγει, τὸ δὲ ποσειδῶν ἔχει δ πρὸ τοῦ ω. δῆλον οὖν ὅτι κατὰ ταῦτα πάντα μονῆρές ἐστι τὸ ὄνομα, οὔτε τοῖς ὀξυνομένοις αὐτὴν ἀκολουθίαν σῶζον, οὔτε τοῖς περισπωμένοις. τὴν δὲ τούτων λύσιν ἐν τῇ κλίσει τῶν ὀνομάτων δηλοῦμεν. εἴρηται δὲ ὁ δαίμων παρ' Ἀλκαίῳ διὰ τοῦ α, μένοντος τοῦ ν, ποσειδᾶν· οὐδέπω ποσειδᾶν ἁλμυρὸν ἐστυφέλιξε πόντον. παρὰ δὲ Δωριεῦσι τρέπομεν οὐ τὸ σ εἰς τ ποσειδὰν κατ' ὀξύαν τάσιν· ἔνθεν γενικὴ παρ' Ἐπιχάρμῳ δευτέρῳ, τοῦ ποσειδάνος δὲ χρηστὸν υἱὸν ἱππόκαμπτον. εἴρηται δὲ καὶ ποτείδας ὡς κερκίδας· ἔνθεν αἰτιατικὴ ἐν κύκλωπι· αἰνετὸν ποτίδαν, κοιλότερος ὀλμοῦ πολὺ Σώφρων τε. τὴν κλητικὴν ἔφη ποτίδα δραστοχαῖτα. ὁ δὲ

10 τοὺς εἰλώτας τὴν γενικήν φησι, τεμενοποτιδᾶ ποντίῳ. ἴσως δὲ
11 ἐστί τι καὶ ποτιδίης· ἔνθεν, ως τὸ ἡράκλειον παρὰ τὸ ἡρακλίης, οὕτω ποσείδειον, καὶ ποσειδήϊον ἀγλαὸν ἄλσος. ὁμοίως δὲ καὶ ἀρσενικῶς κτητικῶς ποσείδιος, ὡς ἡράκλιος ἆθλος. Σοφοκλῆς ποιμέσι τυχῶν, καὶ δὴ τοὺς ποσειδίους θρίγκους ἀποσεισαμένη. ποσειδέων δὲ παροξυτόνως παρ' Ἴωσι λέγεται ὁ θεός. ὀξυτονηθὲν τὸ ὄνομα μῆνα δηλοῖ. παρὰ δὲ τῷ ποιητῇ διηνεκῶς, μένοντος τοῦ σ, καὶ πρὸ τοῦ τέλους τοῦ α ὑπάρχοντος. παρὰ μέντοι Βοιωτοῖς ποτειδάων, τραπέντος τοῦ σ εἰς τ. Κόριννα· βοιωτοὶ τοῦδε μάκαρ κρονίδη· τοῦ ποτειδάωνος ἄναξ βοίωτε. ὅτι πολλοὺς ἐποίησε σχηματισμούς, καὶ ἐν ἑτέροις εἴρηται.

Νῆσος. τὰ εἰς σος λήγοντα δισύλλαβα τῷ η παραληγόμενα φιλεῖ ἀρσενικὰ εἶναι. κτῆσος. θῆσος. δρῆσος. ῥῆσος. μνῆσος. πεπλάνηται ἄρα ἡ νῆσος παρὰ τὸ γένος.

Κάλλος. τὰ εἰς ος λήγοντα δισύλλαβα βαρύτονα ἔχοντα διστὸν τὸ λ οὐ θέλει εἶναι οὐδέτερα. ὕλλος τὸ κύριον, οὗ μέμνηται καὶ Ἀριστοφάνης καὶ Κρατῖνος ἐν Μαλθακοῖς. σκῦλλος σκύλλου πατήρ. ψάλλος ἀγροιῶτας ἀπὸ λιβυκῶν· ἀνδρωθέντα δὲ τὸν ἀμφιθέμιν πλησιάσαι ταῖς νύμφαις, καὶ γεννῆσαι παῖδα μυρμαδάναρ· αὐδακήνας· βυγάνμα· καλομάκαν ψῦλλον, ἀφ' οὗ ψῦλλοι τὸ ἔθνος. τέλλος ὁ ἀθηναῖος· Ἡρόδοτος α. φέλλος τὸ κύριον· Ἡσίοδος, φέλλον ἐϋμελίην τέκε τῇ μελιβοίᾳ. φίλλος· παρὰ Ἀνακρέοντι τὸ ὄνομα. σίλλος. γρύλλος· καθάρας τοὺς διοσκούρους, ὡς φίλος στέφανος. κόλλος· Δημόγνητος ἐν τῷ περὶ κνιδίου καὶ κοκκυνα τὸν τελέστερον, καὶ κόλλον τὸ σκίρου, καὶ λωγάων, τὸν αὐτὸν ὁμοῦ καὶ κτῆσιν τὸν μνησιθέου. γάλλος, ὁ ποταμὸς καὶ τὸ ἔθνος. ἄλλος. πάλλος· Ἡρόδοτος γ. ἔστι δὲ καὶ ἄλλα πολλὰ τούτοις ἐμφερῆ, ἅπερ παραιτεῖται τὸ οὐδέτερον γένος. δῆλον οὖν ὡς τὸ κάλλος πεπλάνηται ἢ περὶ ποσότητα τοῦ λ, ἢ περὶ τὸ γένος. ὅσα γὰρ
12 οὐδέτερά ἐστι εἰς λος λήγοντα, ταῦτα παραιτεῖται ἔχειν ἕτερον λ, ὡς τὸ ἕλος, μέλος, βέλος, θάλος, φάλος.

Ἀπόλλων. τὰ εἰς λων λήγοντα ὀνόματα, εἰ διπλασιάζοι τὸ λ, οὐ θέλει ὑπὲρ δύο συλλαβὰς εἶναι. ὡς ἔχει τὸ χέλλων. Καλλίμαχος δὲ μέλθα χελλῶνας. τρέλλων· παρὰ Σώφρονι τὸ ὄνομα. θάλλων ὄνομα κύριον κυνὸς παρὰ Ξενοφῶντι. σίλλων. Ἐπίχαρμος Χορευταῖς. χάλλων, ὁ ἀθλητὴς καθ' ὑποκορισμόν. σημειῶδες δὲ τὸ ἀπόλλων, ὡς περὶ δευτέραν τὴν ποσότητα τῶν συλλαβῶν. οὐ μάχεται δὲ τὸ ἀτιτάλλων κατὰ τὴν συνήθειαν ἐν ἀγνοίᾳ ὂν καὶ τῇ χρήσει τῶν παλαιῶν, ἀλλ' ὥστε καὶ τῶν μετοχῶν ἐφύ-

λαξε τὴν κλίσιν, ὡς ἀτιτάλλοντος. ὁ γὰρ τοῦτος χαρακτὴρ με- 12 τοχῶν ἐστι· ἰάλλων, ἰνδάλλων, ἀτασθάλλων, ἀγάλλων. ἐχρῆν οὖν καὶ τὸ ἀπόλλων, εἰ μὲν ὄνομά ἐστι, δισυλλαβεῖν· εἰ δὲ ὑπὲρ δύο συλλαβάς ἐστι, μετοχὴν εἶναι, καὶ τὰ παρεπόμενα τῇ μετοχῇ ἔχει καὶ τὴν κίνησιν.

Πῦρ. οὐδὲν εἰς ῡρ λῆγον οὐδέτερον μονοσύλλαβον, ἀλλὰ μόνον τὸ πῦρ. ὁ Σιμωνίδης καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο· τοῦτο γὰρ μάλιστα φηρὲς ἐς τύγε πύϊρ. τὸ δὲ σῦρ οὐ σύνηθες παρὰ Ἕλλησιν, ἀλλ' ἱστορίας ἐχόμενον, ἄλλως τε οὐδ' ἄντικρυς οὐδέτερον· οὕτω γὰρ ἐκαλεῖτο τὸ πρότερον ἡ Φοινίκη.

Μοῦσα. τὰ εἰς ᾱ λήγοντα θηλυκὰ ὀνόματα τῇ ου διφθόγγῳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς ὁρᾶται· σχηματίζεται δὲ κατὰ τὸ πλεῖστον ἢ μετατίθεται ἀπὸ μετοχῶν. αἴθουσα· ὅπερ ἔχει δισσὸν μὲν τὸ σ̄ ἐπὶ τοῦ προσηγορικοῦ, ἐπὶ δὲ τοῦ κυρίου κατά τινας ἕν· λέγω ὅτε σημαίνει θυγατέρα ποσειδῶνος γενομένην καὶ ἀλκυόνης γενομένης. φέρουσα· καὶ τοῦτο ἐπὶ μιᾶς τῶν νηρηΐδων, φέρουσά τε δυναμένη τε. θυγάτηρ τε ἰλίου ὀνομάζεται φαέθουσα. ἴωνος δὲ τοῦ ξούθου ἀναγράφεται μήτηρ χρέουσα. ὁμωνύμως δὲ 13 ταύτῃ καὶ αἰνείου γυνή. μέδουσα μία τῶν γοργόνων· σθένω τ' εὐρυάλη τε μέδουσά τε λυγρὰ παθοῦσα. ἀρέθουσα κρήνη κυρίως· ἀλλὰ καὶ πᾶσαι κρῆναι κατ' ἐπιθετικὴν ἔννοιαν οὕτω καλοῦνται, ἀπὸ τοῦ ἄρδην ἴσως σχηματισθεῖσαι. ὃ γ' οὖν χοίριλος ἐν ᾱ περσικῶν, παρὰ δὲ κρήνας ἀρεθούσας μυρία φιλεδονεῖτο, πολύσμηνος μελίσσαις. οὐδὲν δ' ὅτι οὖν ὤφθη δισύλλαβον εἰς ᾱ λῆγον τῇ ου διφθόγγῳ παραληγόμενον οὕτως ἐν χρήσει τῇ τῶν παλαιῶν καὶ τῇ κοινῇ συνηθείᾳ, εἰ μὴ μόνον τὸ μοῦσα. τὸ γὰρ δοῦσα κύριον καθ' ἱστορίαν ἐστὶ λεγόμενον, ἥ τε χοῦσα πόλις αἰγυπτίων.

Ἄρουρα. οὐδὲν εἰς ρᾱ λῆγον θηλυκὸν συνεσταλμένον ἁπλοῦν προσηγορικὸν ὑπὲρ δύο συλλαβὰς τῇ ου διφθόγγῳ παραληγόμενον, ἀλλὰ μόνως ἄρουρα. πρόσκειται δὲ προσηγορικόν, ἵνα ἐκφύγωμεν τὰ κύρια, ὡς ἔχει τὸ κόλουρα. ἔστι δὲ πόλεως ὄνομα ὡς Ἑκαταίῳ· δοκέω δὲ μάλιστα παρὰ κολοῦραν, ἵνα πρηνῆς ἕζοντο. ἄγουρα πόλις εὐβοίας· μέμνηται Δημοσθένης λέγων· ἐξ ἀγούρας τῆς εὐβοίας. ἴουρα· μέμνηται Μνασέας. ὄλουρα· μέμνηται Ἐρατοσθένης. τό τε κυνὸς οὐρὰ ἐπὶ τῇ λακωνικῇ φυλακῇ, ἀλλὰ καὶ ἄκρα μαραθῶνος οὕτως καλεῖται, καὶ κόριον καὶ σύνθετόν ἐστιν. ἀλλὰ καὶ ἐπὶ τῆς ἄρκτου, οἱ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσιν. ἐφυλάξατο δὲ ταῦτα πάντα ὁ κανών·

13 Κάνωβος. οὐδὲν εἰς βος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ω παραλήγεται, ἀλλὰ μόνον ὁ κάνωβος. τὸ γὰρ παρὰ τοῦ ἰώβῃ κείμενον βαρβαρικὸν ὄνομα ναβωμὸς διὰ τοῦ μ γράφεται.

14 Δίκη. τὰ εἰς κη λήγοντα θηλυκὰ δισύλλαβα μονογενῆ βαρύτονα, ὅτε ἔχει πρὸ τέλους τὸ ι, ἤτοι συνεσταλμένον ἔχει αὐτὸ, ἢ ἐκτεταμένον. καὶ τότε μὲν συνεσταλμένον, ὁπότε σύμφωνον ὁρᾶται πρὸ τοῦ κ καταλῆγον· τότε δὲ ἐκτεταμένον, ὁπότε οὐχ οὕτως ἔχει. οἷον κίρκη, δίρκη, τρίκκη. συνέσταλται δὲ τούτων τὸ ι, ἐπεὶ σύμφωνον ἦν πρὸ τοῦ κ· τοῦ δὲ ἑτέρου, νίκη, φρίκη. ἡ τοίνυν δίκη σημειῶδες. λείπει γὰρ ἢ χρόνῳ ἢ συμφώνῳ.

Νεῖλος. οὐδεὶς εἰς ος λῆγον δισύλλαβον βαρύτονον τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ νεῖλος. νόϊλος τε γὰρ λέγεται κατὰ διάλεκτον. τὸ δὲ πίλος, σπίλος, ἦϊλος, ἔτι φορτικόν. τὰ ἀπὸ τοῦ τ ἀρχόμενα διὰ τοῦ ι γράφεται.

Χαρίεις. οὐδὲν εἰς εις λῆγον ὄνομα ὑπὲρ μίαν συλλαβὴν ἀρσενικὸν τῷ ι παραλήγεται, ἀλλ' ἢ τῷ α, ὡς ἔχει τὸ ἀντάεις, αὐλάεις· ἢ τῷ η, ὡς φωνήεις, αὐδήεις, παχνήεις· ἢ κατὰ συστολὴν ποιητικὴν τὸ ε, ἠχέεις, βρομέεις· ἢ τὸ ο, ὡς ἀστερόεις, ἁρματόεις· ἢ τὸ ω, ὡς εὐώεις, κητώεις. τὸ τοίνυν χαρίεις σημειῶδες τῷ ι χρησάμενον πρὸ τέλους. ὁ μέντοι Ἀνακρέων καὶ χαριτόεις εἶπεν, ἀποδοὺς τὸ ἐντελὲς τῇ λέξει.

Οὖς. τὰ εἰς ους λήγοντα ὀνόματα μονοσύλλαβα ἀρσενικὰ πέφυκεν εἶναι· ἔσθ' ὅτε δὲ καὶ κοινωνεῖ θηλυκῷ γένει. φλοῦς φησι, χλοῦς, γλοῦς ὁ λῃστὴς, χνοῦς παρὰ Σοφοκλεῖ, βοῦς, ῥοῦς, θροῦς, νοῦς, σοῦς, πολὺ παρὰ τοῖς Ἴωσι χροῦς. δῆλον ὅτι πεπλάνηται περὶ τὸ γένος τὸ οὖς οὐδέτερον ὑπάρχον. ἄντιφον δ' οἱ παρὰ οὖς ἐφύλαξε ξίφει. οὐκ ἀγνοῶ δὲ τὸ πάθος τῆς λέξεως, καθότι ποικίλως λέγεται. οὖας γὰρ, καὶ ἡ γενικὴ οὔατος· καὶ ὄας, ἔνθεν ὄατος· καὶ ἠώας, ἔνθεν ἠώατος· καὶ ὠτὸς καὶ ὀὸς, οὐκ εἰρημένον μὲν, συνεσχηματισμένον δὲ, παρὰ Θεοκρίτῳ ἄμφω. ἔστω μέντοι οὖς. ζητέον τὴν κλίσιν.

Πούς. τὰ εἰς ους λήγοντα ὀνόματα μονοσύλλαβα περισπᾶ-
15ται, χνοῦς, κνοῦς, χροῦς, γλοῦς, θροῦς, φλοῦς, πλοῦς, ῥοῦς· σημειωτέον τὸ πούς ὀξυνόμενον· μετοχῆς γὰρ ἐδέξατο τόνον. ποδός. τὰ εἰς δος λήγοντα δισύλλαβα τῷ ο παραληγόμενα εὐθεῖαν ὑπισχνεῖται πτῶσιν, ὁδὸς, σποδός· οὐ δόκιμος ἄρα οὐδὲ ἡ γενικὴ ποδός.

Φρήν. οὐδὲν εἰς ην λῆγον ὄνομα μονοσύλλαβον μόνως θηλυκόν· ἀλλ' εἰ ἐπιδέχοιτο καὶ τὸ θηλυκὸν γένος, ἐν κοινότητι

ἐπιδέχεται. ὁποῖον ἐστὶ τὸ χήν· θηλυκὸν γὰρ αὐτὸ οἶδεν ὁ ποιη- **15** τής· ὡς ὅδε χὴν ἥρπαξε τιταλλομένην ἐνὶ οἴκῳ. καί, οἴελος ἀργὴν χῆνα φέρων. ἀρσενικὸν δὲ οὕτως· χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσι ἐξ ὕδατος· εἶτα ἐπιφέρει· ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης πᾶσι κατ' αὐχέν' ἔηξεν, καὶ ἔκτανεν, οἶδε κέχυντο. καὶ τοῦτο μὲν ἐν κοινότητι. ᾧ ὅμοιον δύναιτο ἂν εἶναι καὶ τὸ ῥήν, εἴ τις βούλοιτο. ἐπὶ δὲ τῆς αἰτιατικῆς Νίκανδρος· αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν. ἐν ἀντιθέσει πολύῤῥην παρὰ τῷ τὰ ναυπακτικὰ ποιήσαντι· ἀλλ' ὁ μὲν οὖν ἐπινευσὶ θαλάσσης εὐρυπόροιο οἰκίαν ναιετάασκε πολύῤῥην, πολυβοώτης. τούτου καὶ πληθυντικὸν παρὰ τῷ ποιητῇ· ἐν δὴ ἄνδρες ναιετάουσι πολύῤῥηνες, πολυβοῶται. ὁπότε δὲ λέγει ὁ ποιητὴς **16** θῆλυν ὑπόῤῥηνον, ἀπ' εὐθείας τῆς ὑπόῤῥηνος κλίνει, ἥτις ἀπὸ γενικῆς ἀπεδέξατο τὴν σύνθεσιν. ὡς παρὰ τὴν μηνὸς τὸ δίμηνος ἢ τρίμηνος, οὕτως ῥηνὸς ὑπόῤῥηνος. ἀναδράμωμεν ἐπὶ τὰ παραδείγματα· ζῆν, μῆν, σπλῆν, σφῆν, ψῆν. Ἀριστοφάνης, ἤτοι κνῆπες καὶ ψῆνες ἀεὶ τὰς σίκας οὐ κατέδονται. ὅπερ οὖν ἀληθές ἐστι τὸ μηδὲ εἰς ην λῆγον μονοσύλλαβον θηλυκὸν γένος σημαίνειν, δῆλον ὅτι πεπλάνηται τὸ φρὴν περὶ τὸ γένος. διὸ καὶ ἐξηλλάγη αὐτοῦ ἡ κλίσις ὡς πρὸς τὰ ἄλλα μονοσύλλαβα. φρενὸς γάρ, τῶν ἄλλων φυλασσόντων τὸ η. οὐκ ἀντιθήσει τὶς ἡμῖν τὸ παρὰ τῷ ἐμησιάνακτι ἐν λεοντίου ά· δερκόμενος πρὸς κῦμα, μόνη δέ οἱ ἐφλέγετο γλήν. οὐ γὰρ ἐντελές, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη.

Σειρήν. οὐδὲν εἰς ην λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξυνόμενον θηλυκόν· μόνον δὲ τὸ σειρὴν, ποτὲ δὲ καὶ μελίσσης εἶδος σίας ἀρσενικῶς, ἁπλῶς λεγόμενον, οὐ κεκοινώνηκε. διὸ καὶ οἱ ἀδένες ἀρσενικῶς λεγόμενοι παρ' Ἱπποκράτει ἀναλόγως λέγονται.

Γαστήρ. τὰ εἰς τηρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν θηλυκὰ ὄντα βαρύνεσθαι θέλει, μήτηρ, θυγάτηρ, εἰνάτηρ, δημήτηρ· οὐδὲν δὲ θέλει ὀξύνεσθαι. σημειώδης ἡ γαστὴρ ὀξυνομένη. καὶ γὰρ ἄλλως τὰ εἰς τηρ ὀξυνόμενα ἀρσενικά, ὁπότε μὴ κατὰ μεταβολὴν γένους εἴη· ἀστὴρ, πρηστὴρ, καυστὴρ, πληκτὴρ, ἀλκτήρ. προσέθηκα δὲ, ὁπότε μὴ κατὰ μεταβολὴν γένους, διὰ τὸ, ῥαιστῆρα κρατερὴν ὕλης τε γαστῆρα. τοιαῦτα γάρ ἐστι ὁποῖον ἡ αἰτὴρ, ἡ ἀήρ.

Σκηνή. τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ τὸ η παραληγόμενα βαρύνεται· ῥήνη. κρήνη. φήνη, φήνῃ ἐειδομένη. γλήνη. σμήνη. σημειώδης ἄρα ἡ σκηνή.

Δοθιήν. οὐδὲν εἰς ην λῆγον ὄνομα ὀξυνόμενον καθαρεύει **17**

17 κατὰ χρῆσιν Ἑλλήνων, ἀλλ' ἀεὶ πρὸ τοῦ η σύμφωνον ἔχει ἢ σύμφωνα· οἷον σωλήν. λειχήν. κηφήν. αὐχήν. πηρὴν καθ' Ἡσιόδου πατὴρ υἱός. αἰζὴν ταντάλου παῖς. στελήν. σειρήν. βαλλήν, οὗτος ὁ βασιλεύς. ἐσπὴν ὁ οἰκιστής, μυρμυδόνων ἐσσῆνα Καλλίμαχος. πυθμήν. λιμήν. ἀτμήν. χαμασὴν ἰχθύς τις λέγεται. ἀραφὴν, εἷς τῶν ἑκατὸν ἡρώων. ἠλακατὴν, καὶ τοῦτο ὄνομα ἰχθύος κητώδους, ἀλλὰ καὶ τὸ κύριον. δῆλον ὅτι σημειώδης ὁ δοθιὴν παρ' Ἀττικοῖς λεγόμενος καὶ μὴ ἔχων πρὸ τοῦ η σύμφωνον. Τηλεκλείδης, ὅδ' ἀπ' αἰγιώνης οὐ χωρεῖ δοθιῆνος ἔχων τὸ πρόσωπον. καὶ Ἕρμιππος ἐν θεοῖς· φήμης ἱερᾶς ἐξοιγνυμένης ὥσπερ πέπονθε δοθιῆνος. εἰ δέ τις λέγοι, ὅτι καὶ τὸ ζάην καθαρεύει, καὶ αἰτιατικὴ παρὰ τῷ ποιητῇ κατ' ἔκθλιψιν τοῦ α, ὦρσε δ' ἐπὶ ζάην ἄνεμον, πρῶτον μὲν ἕπεται, ὡς οὐχ ὑγιῶς τὸ τοιοῦτο παραλήψεται πίστιν, ὀφείλει ἐξ ἄλλων πτώσεων παραθέσθαι. προείπομεν δὲ κατὰ χρῆσιν τῶν Ἑλλήνων, οὐχὶ καθ' ὑπόστασιν, λεγόμενον πάντα. φυλακτέον δὲ ὡς πολλοὶ ἐν τῇ συνηθείᾳ διὰ τοῦ ω λέγουσι τὸ δοθιὼν, συναποφερόμενοι τὸ κνακιὼν καὶ ἀσιὼν καὶ ἀνθεστηριὼν καὶ τοῖς τοιούτοις.

Πυρά. τὰ εἰς ρα λήγοντα θήλυκα μονογενῆ τῷ υ παραλήγόμενα, ἢ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὡς τὸ ἄγκυρα, ὄλυρα, κέρκυρα, κόρκυρα· ἢ παροξύνεται, ὡς τὸ ἐφύρα, πορφύρα, κολύρα, ζεφύρα, λύρα, θύρα· ἢ προπερισπᾶται, ὡς τὸ σφῦρα· οὐδ' ὅτι οὖν ἐστιν ὀξυνόμενον. σημειῶδες ἄρα τὸ πυρά. τὸ δὲ, πυρῇσι μὲν πρῶτα ποσειδάων ἐπέλασσε πέτρῃσι μεγάλῃσι, εἰ καὶ

18 ἰδίως λέγεται, ἀλλ' ὅμως ἔχει τάξιν ἐπιθετικήν. λέγεται δὲ καὶ περὶ τούτων μοι πάντων ἐν τοῖς περὶ καθολικῆς προσῳδίας.

Ἐρωδιός. τὰ διὰ τοῦ διος ὀνόματα πάντα προπαροξύνονται, χωρὶς εἰ μὴ τριβράχεα εἴη, ἢ ἐπὶ κυρίων, ὥσπερ ἔχει τὸ σχεδίος· σχεδίον δ' ἐλελήϊστος ἥρως. καὶ χάρης ὅστ' ἐρωδιός τε. προπαροξύνονται οὖν ταῦτα· αἴδιος, καψίδιος, φωρίδιος, ἐπιμαστίδιος, ῥηΐδιος, θνητάδιος, κρυπτάδιος, πασσυδίδιος, μουσάδιος, μεχθάδιος, ὑβράδιος, μολπάδιος, ὑσσάδιος, μινυνθάδιος, καὶ ἄλλο μυρίον πλῆθος. διὸ σημειωτέον ἐρωδιὸς ὀξυνόμενον, ὅπερ ἔχει πρὸς τὸ ω καὶ τὸ ι γραφόμενον. λέγεται δὲ ἔσθ' ὅτε καὶ τρισυλλάβως, ὥσπερ καὶ τὸ παρ' Ἱππώνακτι· ἐγὼ δὲ δεξιῷ παρὰ ῥητὴρ καιφέως ἐλθὼν ῥωδιῷ κατηυλίσθην. τὴν δὲ λύσιν τούτων ἐν τῷ πέμπτῳ περὶ καθολικῆς προσῳδίας ἐποιησάμην.

Μηχανή. τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο συλλαβὰς πάντα βαρύνεται, πτισάνη, δρεπάνη, σαργάνη,

βρυκάνη, τρυπάνη· ἀλλὰ μόνον τὸ μηχανὴ σημειοῦται ὀξυνόμενον. **18** προσέθηκα ὑπὲρ δύο συλλαβὰς διὰ τὸ φανὴ παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον· οἱ πρόσθε φανὴν ἔντοσθεν ἐκεύθοντο γὰρ παρὰ κορίννην βάνδου κοινόν. οὐδὲν εἰς νη λῆγον, ἀλλ' ἀΐδιον θέμεν βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή.

Εἷς. οὐδὲν ἀρσενικὸν εἰς εις λῆγον περισπᾶται, ἀλλὰ μόνον τὸ εἷς. ἀναλογώτερον ἄρα ἕνεκα τόνου τὸ ἕεις βαρυνόμενον· ὀφθαλμὸς δὲ ἕεις ἐν μέσῳ ἔκειτο μετώπῳ. προσέθηκα δὲ ἕνεκα τόνου, ἐπεὶ οὐχ ὑγιαίνει ἐν τῷ πρὸ τέλους συλλαβῇ. οὐδὲν γάρ ἐστιν ὅμοιον τῷ ἀχέεις καὶ βρωμέεις.

Τίς. οὐδὲν εἰς τις λῆγον συνεσταλμένον μονοσυλλαβεῖ, πάντα **19** δὲ ἐκτείνεται, ὡς τὸ λίς, κίς, ῥίς, ἴς, ἔνθεν καὶ ἡ ἰνὸς γενική. σημειῶδες ἄρα τὸ τὶς συστέλλον τὸ ι. τὸ τὶς ἐπὶ ποταμοῦ κείμενον παρ' Ἡροδότῳ ἐκτεινόμενον ἔχει τὸ ι. οὕτω καὶ Σκύμνος ἐν τῷ (τῆς ἀσίας περίπλῳ· εὑρέθη ἔχεται κέλενδε ῥὶς πόλις σαμίων, καὶ ἱερὸν παρὰ τῇ πόλει νήρης καὶ ἄλσος· ἴς ποταμὸς παρὰ θάλασσαν ἔξεισιν. ἔστιν ἴς τῆς ἰταλίας, ὡς πάρθαξ ἐν τῷ β' τῶν ἰταλικῶν, ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν ποσειδονίαν ὁ ἡρακλῆς· ἔστι δὲ ποταμὸς εἰς καλούμενος μέγας. εἰ δέ τινες συστέλλουσι τὸ ι εἰς ἀποφυγὴν τούτου, οὐ γὰρ ἐμοὶ ἴς ἴσχαι ἧ πάρος ἔσκεν, πταίουσι καὶ περὶ τὸν λόγον καὶ περὶ τὴν ἱστορίαν. τὰ πύσματα ὀνοματικὰ ὄντα εἰς ος θέλει καταλήγειν· ποῖος, πόσος, πηλίκος, ποδαπὸς, πόστος· τὸ δὲ τὶς οὐ παρεδέξατο τὴν εἰς ος κατάληξιν. ἀπαιτεῖ τὰ πύσματα τὴν εὐθεῖαν πτῶσιν· ἀλλὰ καὶ ἐν τοῖς ἐπιρρήμασιν ἡ αὐτὴ ἀρχή, πόσως, ποίως, ποδαπῶς, ποῦ, πῶς, πηλίκως, πῇ, πόθεν, πόσε, πόθι, πῆμος. μόνον δὲ τὸ τὶς ἀπὸ τοῦ τ ἤρξατο. πρόσκειται δὲ κατ' εὐθεῖαν πτῶσιν, ἵν' ἐκφύγωμεν τὸ κατὰ γενικὴν τὸ υ λεγόμενον ἢ τέο ἢ τευ.

Ὀλίγος. οὐδὲν εἰς ος ὑπὲρ δύο συλλαβὰς τῷ ι παραλήγεται καὶ παροξύνεται, ἀλλὰ μόνον τὸ ὀλίγος. μήτ' οὖν ταραντινοὶ χωρὶς τοῦ γ προφερόμενοι τὴν λέξιν ἀναλογώτερον ἀποφαίνονται, ὥσπερ Ῥίνθων ἐν δούλῳ μελεάγρῳ, λιοίοισιν ὑμῶν ἐμπέφυχ' εὐψυχία. καὶ εὐνιοβάται, χρήζω γὰρ ὄλιον μισθὸν αὐτὸς λαμβάνειν. πολλὰ γάρ ἐστι εἰς ος λήγοντα καθαρῷ τῷ ι παραληγόμενα καὶ παροξυνόμενα, ὡς τὸ πλησίος, ἀντίος, νυμφίος ἐπὶ διαφόρου σημαινομένου, μυρίος καὶ τοῦτο ὁμοίως. οἷ γε μὴν, ἐστὶ τὸ εἰς γος λῆγον παραληγόμενον τῷ ι ὑπὲρ δύο συλλαβὰς ὑπάρχον καὶ προπαροξυνόμενον. Πλάτων μέντοι ὁ κωμικὸς ἐν Ὑπερβόλῳ διέπαιξε **20** τὴν ἄνευ τοῦ γ χρῆσιν ὡς βάρβαρον, λέγων οὕτως· ὅδου γὰρ

20 ἥπτη κιζεῦν ὦ μοῖραι φίλαι· ἀλλ' ὁπότε μὲν χρείη δικιτώμην λέγειν, ἔφασκε δὴ τῷ μήν· ὁπότε δ' εἰπεῖν δέοι ὀλίγον, ἔλεγεν.

Καρκίνος. οὐδὲν εἰς νος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ι συνεσταλμένον παραληγόμενον παροξύνεται· ἀλλ' ἤτοι προπαροξύνεται, ὡς τὸ δρύϊνος, λίθινος, φήϊνος, καὶ ὅσα ἐστὶ τούτοις ἐμφερῆ· ἢ ὀξύνεται, ὡς τὸ ἐαρινὸς, θερινὸς, πυκινός· οὐδὲν δέ ἐστι παροξυνόμενον. διὸ ἐπιστατέον τὸ καρκίνος· καὶ μόνον γὰρ παροξύνεται. καὶ ὁ αὐτὸς τόνος καὶ ἐπὶ τοῦ ζῳδίου τοῦ ἐν οὐρανῷ, ὁμοίως καὶ τοῦ θαλασσίου καὶ τοῦ κυρίου ἐπιγείου, καὶ τοῦ ἐργαλείου· οὐ γὰρ ὑγιῶς τινες τοῦτο προπαροξύνουσι. περὶ δὲ τούτου ἐντελῶς εἴρηται ἐν τοῖς περὶ καθολικῆς προσῳδίας.

Πηλίκος. τὰ εἰς κος λήγοντα καθαρὰ ὑπὲρ δύο συλλαβὰς, ὁπότε τῷ ι παραλήγει συνεσταλμένῳ, ἤτοι προπαροξύνεται, ἀνθέρικος, κύζικος· τὸ ᾠδικὸς, ἀσφοδελικὸς ὀξύνεται, ὡς τὸ πελωπικὸς, τρωϊκός· οὐδὲν δὲ ὁτιοῦν παροξυνόμενόν ἐστι. ἐπιστατέον τῷ πηλίκος παροξυνομένῳ. τούτῳ δὲ ἀκόλουθον καὶ τὸ ἡλίκος, τηλίκος, πηλίκος παρὰ Δωριεῦσι καὶ ὁπηλίκος· μία γὰρ αὐτῶν ἡ συζυγία ἐστὶ, καὶ ὁ αὐτὸς τόνος τοῖς πυσματικοῖς καὶ τοῖς ἀνταποδοτικοῖς τοῖς ὑπὲρ μίαν συλλαβήν. τὰ εἰς κος λήγοντα ὑπὲρ δύο συλλαβὰς, εἰ παραλήγοιτο τῷ ι καὶ παροξύνοιτο, πρὸ τοῦ κ τὸ σ ἔχει. ἀστερίσκος, ὀβελίσκος, μανίσκος, κωρακίσκος. ἐχρῆν οὖν τὸ πηλίκος, εἰ παροξύνοιτο, πρὸ τοῦ κ τὸ σ ἔχειν, ὡς τὸ ἀστερίσκος, ἢ μὴ παροξύνεσθαι. πάντων δὲ λύσεις δίδωμι ἐν τῷ περὶ καθολικῆς προσῳδίας.

Κοῖλος. οὐδὲν εἰς λος λῆγον δισύλλαβον βαρύτονον τῇ οι
21 διφθόγγῳ παραληγόμενον, ὅτι μὴ μόνον τὸ κοῖλος. ἀνάλογον οὖν ἐστι τρισυλλαβοῦν καὶ λεγόμενον κόϊλος. μέμνηται γὰρ τὸ αἰγιαλὸς, μυττιλὸς, πυτιλὸς, νυκτιλός.

Ἑταῖρος. οὐδὲν εἰς ρος λῆγον ὑπὲρ δύο συλλαβὰς ἁπλοῦν προπερισπᾶται ἔχον πρὸ τέλους τὴν αι δίφθογγον, ἀλλὰ μόνον τὸ ἑταῖρος. ὅσως οὖν ἀναλογώτερον τὸ ἑτάρος τε, χωρὶς τοῦ ι λεγόμενον. πολλὰ γάρ ἐστι τοιαῦτα, μάρμαρος, βάρβαρος, τάλαρος, κόλλαρος, φλύαρος· τούτου δέ τινες ἐκτείνουσι τὸ α, καὶ μάλιστα παρ' Ἀττικοῖς. ἔστι μέντοι τινὰ προπαροξυνόμενα ἔχοντα τὴν αι δίφθογγον ἀπέραντά ἐστιν, ἄκαιρος, εὔκαιρος, εὐπάλαιρος· ἔστι δὲ χωρίον τῆς ἀκαρίας. μέμνηται καὶ Ἐπίχαρμος, ὡς ἐν ἐλπίδι πλούτῳ οὔτουν παλαιρὸς, οὔτε βοιαυτοῦ.

Ὕστερος. τὰ εἰς τερος συγκριτικὰ, εἰ ἔχει πρὸ τῆς τερος παραγωγῆς τὸ υ, οὔτε τρισυλλαβεῖν θέλει, οὔτε ἔχειν προηγού-

μενον τοῦ τ τὸ σ· ἀπὸ γὰρ τῶν εἰς υς τὸ ὄνομα θέλει παρά- **21** γεσθαι· ταχύτερος, πλατύτερος, βραχύτερος, ἡδύτερος. σημειῶδες ἄρα τὸ ὕστερος, μήποτε ἀπὸ τῶν εἰς υς ληγόντων παραχθὲν, τρισύλλαβόν τε ὑπάρχον, καὶ ἔχον τὸ υ προηγούμενον τοῦ τερος. ἀλλ' ἴσως αἴτιον τὸ πάθος, ὡς δείκνυται ἐν ἑτέροις, ἔνθα καὶ περὶ τοῦ, κύντερον ἄλλο γυναικός. οὐκ ἔστι συγκριτικὸν, τό τε ἰθύντερος ὑπὲρ τρεῖς ἐστι συλλαβὰς, ῥήματι παρακείμενον τῷ ἰθύνω. τὸ δὲ ἐπασσύτερον, ὡς τότ' ἐπασσύτερα δαναῶν, οὐκ ἔχει φυσικὸν τὸ υ, ἐκ δὲ τοῦ ἀσσοτέρου ἐτράπη· ἀσσοτέρω καθίσασα παραὶ πυρί.

Ἀνήρ. οὐδὲν τῶν εἰς ηρ λῆγον ὀξυνόμενον ἔχει τὸ ν πρὸ τοῦ η, ἀλλὰ μόνον τὸ ἀνήρ· τὸ δ' αἴτιον πρόδηλον. προσέθηκα δὲ ὀξυνόμενον διὰ τὸ σύνηθες βαρυνόμενον κύριον καὶ δηλοῦν ποταμὸν ἐν σικελίᾳ.

Ὀδούς. τὰ εἰς δους λήγοντα ὀνόματα ἁπλᾶ περισπᾶται, υἱδοῦς, θυγατριδοῦς, τηθαλλαδοῦς· ἀλλὰ μόνον τὸ ὀδοὺς ὀξυνό-μενον ὁμοίως ταῖς μετοχαῖς καὶ κλίσιν μετοχῶν ἀνεδέξατο· τὸ **22** ὀδόντος γὰρ ὡς διδόντος. λέγεται δὲ καὶ ὀδῶν πρὸς Ἰώνων.

Ὕψος. οὐδεμία λέξις ἀρχομένη ἀπὸ τοῦ υ ἔχει ἐπιφερόμενον διπλοῦν· ἀλλὰ μόνον τὸ ὕψος καὶ τὰ παρ αὐτοῦ γεγονότα· αἴτιον δὲ τὸ πάθος. Αἰολεῖς δίψος λέγουσιν αὐτὸ οἰκειότερον. ἔστι γὰρ εὑρέσθαι τὸ ι πρὸ διπλοῦ, ἴζω, ἰξὸς, μετὰ δ' ἴψαο λαὸν ἀχαιόν.

Περὶ μονήρους λέξεως τοῖς ἐν ῥήμασι καὶ ἐπιῤῥήμασι.

Ἄγω. οὐδὲν εἰς γω ὁριστικὸν καθαρὸν δισύλλαβον βαρύνεται, καὶ πρὸ τέλους ἔχει δίχρονον συνεσταλμένον κατὰ χρῆσιν Ἑλλήνων, τὰ δὲ ὄντα περισπᾶται, τραγῶ, στυγῶ, σφριγῶ. σημειῶδες ἄρα τὸ ἄγω βαρυνόμενον οὐχ ὑγιῶς· ἔστι γὰρ καὶ περισπώμενον ἐπὶ δευτέρας συζυγίας· εὖτ' ἂν τῇδ' ἄγε χρέος ἄνδρας. πρόσκειται καθαρὸν, διὰ τὸ μίσγω· συστελλόμενον δίχρονον, διὰ τὸ πνίγω· κατὰ χρῆσιν δὲ λεγόμενον Ἑλλήνων, διὰ τὸ θίγω. τοῦ γὰρ θίξω ἔσται τὸ θέμα τοῦτο ἄλλου. λέγεται δὲ ὑποτακτικῶς κατὰ τὸν ὁριστικὸν χρόνον ἐὰν θίγω· διὸ προσεθήκαμεν ὁριστικὸν ἔχον πρὸ τοῦ ω ἕν τι τῶν μέσων κατ' ἐπιπλοκὴν ἔχει τὸ σ· ὁ δὲ λόγος ἐπὶ τῆς ἡμετέρας διαλέκτου· φέρβω, τρίβω,

22 λείβω, ἥδω, ἕδω, τέγγω, στέργω. μονῆρες ἄρα τὸ μίσγω κατ' ἐπιπλοκὴν ἔχον τὸ σ.

Ἐλαύνω. οὐδὲν εἰς νω λῆγον ῥῆμα ὁριστικὸν βαρύτονον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐλαύνω βαρύτονον παρ' ἐνίοις, καὶ παρ' ἄλλοις περισπᾶται.

Παίζω. οὐδὲν εἰς ζω λῆγον ῥῆμα ἔχει πρὸ τέλους τὴν αι δίφθογγον ἐκφωνουμένην, ἀλλὰ μόνον τὸ παίζω.

Κράζω. τὰ εἰς ζω λήγοντα ῥήματα ὁριστικά, εἰ ἔχοι πρὸ
23 τέλους μόνον τὸ α, ἔχει αὐτὸ συνεσταλμένον, ὑπεσταλμένης τῆς αἰολίδος διαλέκτου· οἷον σφάζω, στάζω, λάζω, χάζω, εὐάζω, ἐκκλησιάζω, σκεπάζω, ἀνιάζω, ἀγοράζω· τοῦτο ἐπὶ ἑτέρου σημαινομένου θέλουσιν ἐπιτείνειν, ὥσπερ καὶ τὸ πλάζω. ἀλλ' οὖν γε ταῦτα τὰ ἀττικά ἐστιν. σημειῶδες οὖν ἀσύνηθες πᾶσι τὸ κράζω ἔχον ἐκτεινόμενον τὸ α, εἰ μὴ ἄρα τὸ κράζω ἰσοχρονῆσαι ἠθέλησαν αὐτό. πρόσκειται μόνον τὸ α ἐπὶ τὸ σφαδαίζω, τεραίζω, ματαίζω, πρὸς τὸ α τὸ ι γραφόμενον ἔχοντα. παραστησόμεθα δὲ αἰολίδα διάλεκτον διὰ τὸ πτάζω ἔπταζον· ὡς τό, ὄρνιθες ὠκὺν αἰετὸν ἐξαπτήνας φανέντα· ἐκ δὲ τοῦ κοινοῦ ἦν τό, ἔπτησαν δὲ αὐτό, ἐπὶ τοῦ πλάζω· τὸν δὲ ἐπιπλάζοντες ἂν ἐμοὶ φέροιεν καὶ μελεδῶναι, ἀντὶ τοῦ ἐπιπλήσσοντες.

Δίδωμι. οὐδὲν τῶν εἰς μι ληγόντων ῥημάτων τῆς τρίτης συζυγίας κατὰ χρῆσιν ἐστὶν Ἑλλήνων ἐπὶ ἐνεστῶτος χρόνου, ἀλλὰ μόνον τὸ δίδωμι. νῦν γὰρ τοὺς Αἰολεῖς παραιτούμεθα.

Εἰμί. οὐδὲν εἰς μι λῆγον ὁριστικὸν ῥῆμα κατὰ τὴν ἡμετέραν διάλεκτον διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ εἰμί, ὃ σημαίνει τὸ ὑπάρχω. οὐκ ἀγνοῶ δέ, ὅτι καὶ τὸ βαρυνόμενον ἡ παράδοσις διὰ τῆς ει διφθόγγου γράφει· οὐχ ὑγιῶς μέντοι οὔτε κατὰ τὸ κίνημα αὐτοῦ, οὔτε κατὰ τὴν αἰολίδα διάλεκτον, ὡς δέδεικταί μοι ἐν τοῖς περὶ ὀρθογραφίας. πρόσκειται δὲ κατὰ τὴν ἡμετέραν διάλεκτον, ἐπεὶ Αἰολεῖς πάλαιμι καὶ γέλαιμι φασὶ καὶ πλάναιμι, Βοιωτοὶ δὲ τάρβειμι καὶ ποίειμι καὶ φίλειμι.

Ἐστί. οὐδέποτε ῥῆμα γ' προσώπῳ εἰς τι λήγει. λέγω δὲ πρὸ τοῦ τ ἔχον τὸ σ, οὔτε κατὰ τὰς ἄλλας διαλέκτους, οὔτε κατὰ τὴν συνήθειαν, ἀλλὰ μόνον τὸ ἐστί.

Ἐσμέν. τὰ εἰς μεν λήγοντα πληθυντικὰ ἀεὶ θέλει καθαρὸν ἔχειν τὸ μ. δίδομεν, τίθεμεν, λέγομεν, νοοῦμεν. εἰ μέντοι σύμφωνον εὑρεθείη, συγκοπὴ πρὸ αὐτοῦ ὁρᾶται γινομένη· ἴσαμεν
24 ἴσμεν, ἴδομεν ἴδμεν, ἐοίκαμεν ἔοιγμεν, δέδεγμεν, ἐπέπιθμεν. τὸ

μέντοι ἐσμὲν οὕτως ἔχει. οὐκ ἀγνοῶ δὲ, ὅτι καὶ ἔσμεν λέγεται· 24 γρῆες ἔμεν καὶ ἡμῖν· ἡμεῖς δειμέντοιο.

Οἶδα. οὐδεὶς παρακείμενος δισύλλαβος κατὰ τὴν συνήθειαν καὶ τὴν παλαιὰν χρῆσιν ἀπὸ τῆς οι διφθόγγου ἄρχεται, ἀλλὰ μόνος ὁ οἶδα. οἱ γὰρ περὶ Ἀλκαῖον ὄιδα λέγουσι τρισυλλάβως, προσέθηκα δὲ κατὰ τὴν παλαιὰν χρῆσιν, ἐπεὶ παρ' Ἀττικοῖς ἐστί· ἔσθ' ὅτε ᾠδα λέγομεν δισυλλάβως.

Ἔπεσον. οὐδεὶς δεύτερος ἀόριστος εἰς ον λήγων πρὸ τοῦ ο ἔχει τὸ σ, ἀλλὰ μόνον τὸ ἔπεσον. ὁ γὰρ κατέχεσον παρ' Ἀλκαίῳ τῷ κωμικῷ ἐν Γανυμέδει εἰρημένος οὔτε τῆς τῶν ἄλλων Ἑλλήνων χρήσεώς ἐστι, οὔτε κατά τινα ἀναλογίαν ἐξενηνεγμένος, ἤτοι κωμικῶς πεποιημένος.

Αἰνῶ. τὰ διὰ τοῦ αινω δισύλλαβα βαρύτονά ἐστι· βαίνω, δραίνω, ῥαίνω, καίνω, κταίνω, σαίνω, χραίνω. αἴνω τὸ δασυνόμενον καὶ βαρυνόμενον τὸ παρὰ τοῖς Ἀττικοῖς. Φερεχράτης, αἴνειν πτήσσειν. σεσημείωται τὸ αἰνῶ περισπώμενον. οὐκ ἀγνοῶ δὲ, ὅτι καὶ ὄνομα αὐτοῦ προκατῆρξε· διὸ περιεσπάσθη.

Δός. τὰ εἰς σ λήγοντα προστακτικὰ μονοσύλλαβά τε ἐστὶ καὶ τὸ ε ἔχει· ἕς, ἔνθεν τὸ ἄφες, πρόες· θές· φρές· σπές. ἔνθα ταθεὶς φρές μ' ὡς τὸ μειρακύλλιον. σημειῶδες τὸ δὸς μόνον τὸ ος ἔχον· αἰτία δὲ ἡ συζυγία.

Δοῦναι. οὐδὲν εἰς ναι λῆγον ἀπαρέμφατον τῇ ου διφθόγγῳ παραλήγεται· ἀλλ' εἰ παραλήγοιτο διφθόγγῳ, τῇ ει παραλήγεται, εἶναι, εἴτε δασυνόμενον ἀορίστου χρόνου. σημειῶδες ἄρα τοῦ δοῦναι. ὅτι γὰρ οὐδέν ἐστι τὸ λέγειν δῶναι, ὡς γνῶναι, βιῶναι, δῆλον μὲν ἐκ τῆς χρήσεως τῆς ὁμηρικῆς, κέλεε δέ με τήνδ' ἀποδοῦναι. δῆλον δὲ ἔσται ἐκ κατ' ἀναλογίαν κινήματος ἐν ἑτέροις. τὰ τῇ ου διφθόγγῳ παραληγόμενα ἀπαρέμφατα πρὸ τῆς αι δι- 25 φθόγγου τὸ σ ἔχει, ἀκοῦσαι, ὁροῦσαι, λοῦσαι. πῶς οὖν τὸ δοῦναι ἔχει τὸ ν; τοῦτο γὰρ ὦ τέκος, ἢ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα δοῦναι, ποιητικόν. τινὲς δὲ αὐτὸ καὶ διὰ τοῦ ω ἔγραφον.

Περὶ ἐπιρρημάτων. 5

Ἅπαξ. τὰ εἰς αξ λήγοντα ἐπιρρήματα ὀξύνεσθαι θέλει, ὀκλὰξ, ὀδὰξ, ἐναλλὰξ, εὐθρὰξ, αὐτοδὰξ, ἐπιδάξ· ἀλλὰ μόνον τὸ ἅπαξ βαρύνεται. ὅπερ ἐν συντάξει τοῦ πάντως ἢ τοῦ ἁπλῶς ἐκ-

25 κλίνει τὸν τόνον, ὡσεὶ ὀξύνοιτο τὸ ἅπαξ· ἅπαντες γὰρ λέγομεν τὸ ἀπαξαπλῶς ἐν τῇ ἀναχεῖρα ὁμιλίᾳ.

Ὧδε. οὐδὲν εἰς δε λῆγον ἐπίῤῥημα δισύλλαβόν ἐστι τῷ ω παραληγόμενον, ἀλλὰ μόνον τὸ ὧδε.

Ἔνδον. οὐδὲν εἰς δον λῆγον ἐπίῤῥημα βαρύνεσθαι θέλει, πάντα δὲ ὀξύνεται, ὡς ἔχει τὸ σχεδὸν, ταυρηδὸν, ἑλκηδὸν, πασταδὸν, παρακλιδὸν, ῥυδὸν, ὀμφαδόν, ἀφνειοῖο ἄφθονος ἀκόλουθα ἡ παράθεσίς ἐστι τῶν ὀξυνομένων· ἀλλὰ μόνον τὸ ἔνδον βαρύνεται. τῆς διαλλαγῆς ἐν ἑτέροις δίδοται ἡ αἰτία.

Πάρεξ. οὐδὲν εἰς εξ ἐπίῤῥημα βαρυνόμενον ἐκ δύο προθέσεων συνεστηκὸς, ὅπερ καὶ γενικῇ θέλει συντάττεσθαι, ἀλλὰ μόνον τὸ πάρεξ. καὶ γὰρ ἡ συνήθεια οὕτως ἔσθ' ὅτε φησὶ, πάρεξ ἀπολλωνίου· ὃν τρόπον καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ ἔφη, πάρεξ τοῦ τε σκυθίου ἔθνεος. παρὰ μέντοι τῷ ποιητῇ ἕτερόν ἐστι τὸ ὀξυνόμενον· ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε· παρὲξ περιμήκεα δῶρα. εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ ὁμηρικῇ προσῳδίᾳ.

Ὥς, τώς. οὐδὲν εἰς ως λῆγον ἐπίῤῥημα ὀξυνόμενον, ὑπεσταλμένης δωρίδος διαλέκτου, ἀλλὰ μόνον τὸ ὥς, καὶ τὼς ἀνταπο-
26 δοτικὸν αὐτοῦ ὑπάρχον. οὐκ ἀγνοῶ μέντοι, ὅτι ἐν διαφόρῳ σημαινομένῳ καὶ διαφόρῳ συντάξει, ἔσθ' ὅτε περισπᾶται.

Ὀψέ. οὐδὲν εἰς ψε λῆγον ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ὀψὲ, ὅπερ ἐν συνθέσει φιλεῖ τρέπειν τὸ ε εἰς τὸ ι, ὥσπερ ἐπὶ τοῦ ὀψιμαθὴς, ὀψίτυχος, ὀψιτέλεστον, ἔκ τε ὀψὲ τελεῖ ὀψίγονος. διὸ καὶ τὸ, δείελος ὀψὲ δύνων, καὶ παρὰ τῷ ποιητῇ τό τε, ὅτε ὀψὲ δύνοντα βοώτην, παρὰ τῷ ποιητῇ καὶ Ἀράτῳ, οὐ σύνηθες· ἐπεὶ κἂν ἔτρεπε τὸ ε εἰς ι. ἤδη μέντοι Αἰολεῖς καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ι αὐτὸ ἀποφαίνονται· ὀψὶ γὰρ ἀρξάτω· ἴσως ἀναλογώτερον, ὡς δείκνυται ἐν τῷ περὶ ἐπιῤῥημάτων.

Μᾶλλον. οὐδὲν ὅμοιον τῳ μᾶλλον κατὰ χρόνον. τὸ γὰρ εἰ ἔχοι ἐν ἐπιφορᾷ διπλασιαζόμενον τὸ λλ ἐν μιᾷ λέξει, συστέλλεσθαι φιλεῖ τρέπειν, χωρὶς εἰ μὴ τροπή τις εἴη τοῦ η εἰς α παρὰ διαλέκτῳ. τὸ παράδειγμα πῶς ἔχει; ἄλλος, γάλλος, θάλλος, θάλλω, πάλλω, ἅλλομαι, ἀγάλλομαι, καὶ ἄλλο πλῆθος λέξεων τοιούτων ἀδιάπτωτον. σημειωτέον ἄρα περὶ χρόνον τὸ μᾶλλον. τὸ γὰρ ὀρτάλλις συνεσταλμένον ἔχει τὸ α. ἐφυλαξάμην δὲ διαλέκτους διὰ τόδ', ἀλλ' ἄν μοι μεγαλύνεο δακτυλίῳ πέρι καὶ
τι*)
ἄλλαν μὴ χαμεστέραν φρένα καὶ ἄβρα· δεῦτε πάγχης πάλαι

*) Hoc τι recentior manus superscripsit.

ἀλλόμαν· ἀντὶ τοῦ ἠλλόμην. 26

Ἀθροῦν. οὐδὲν εἰς ουν λήγει ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ἀθροῦν· ὅπερ καὶ ἐπεκτάσεσι ποιητικαῖς κέχρηται καὶ παραθέσει ἄρθρου ἑνικοῦ καὶ πληθυντικοῦ. παραιτοῦμαι δὲ τὸ αἰσχοῦν, ὃ εἴρηται παρὰ τῷ τοὺς εἴλω τασαίμην· ἀλλὰ μισχοῦν καθήμενοι· ἐπεὶ ὀνοματικά ἐστι.

Δεῦρο. οὐδὲν εἰς ο λήγει ἐπίῤῥημα ὑπὲρ μίαν συλλαβὴν ἀλλὰ μόνον τὸ δεῦρο. ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ κατ' ἐπέκτασιν εἰς ω ἐν τῷ, ἢ δεύρω μὲν ἕποντο· παραιτοῦμαι γὰρ τὴν διάφορον ἀνάγνωσιν. παρὰ δὲ τοῖς Αἰολεῦσι καὶ δεῦρα, καὶ δευρὺ διὰ τοῦ υ· παρὰ δὲ τοῖς Ἀττικοῖς ἔσθ' ὅτε καὶ δευρὶ λέ- 27
γεται διὰ τοῦ ι. τετόλμηται δὲ αὐτοῦ καὶ θέμα τις θεῖναι πληθυντικὸν τὸ δεῦτε. ὅτι δέ ἐστι ἐπίῤῥημα, ἐν τῷ περὶ ἐπιῤῥημάτων λέγεται.

Ἐκεῖθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίῤῥημα τοπικὸν τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐκεῖθεν. αἴτιον δὲ τὸ πάθος. ὁ γοῦν Ἀλκαῖος κείνοθεν ἐστὶν ὅπου ἀπεφήνατο τὸ αὐτό· αἰ γὰρ κ' ἀλλόθεν ἔλθη δὲ φοικήνοθεν ἔμμεναι. τὸ δὲ αἶθε ἐπέκτασις καὶ οὐ τοπικόν.

Χαμαί. οὐδὲν εἰς αι λῆγον ἐπίῤῥημα ὑπὲρ μίαν συλλαβὴν ὀξύνεται· λέγω δὴ τὸ χαμαί· τὰ δὲ τοιαῦτα περισπᾶται, ἀτταταῖ, αἰαῖ, παπαῖ· τὸ δὲ πάλαι βαρύνεται. λέγεται τὸ αἴτιον ἐν τῷ περὶ ἐπιῤῥημάτων.

Αὐτάρκης ἡ παράθεσις τῆς μονήρους λέξεως ἐν τούτῳ βιβλίῳ· ὅπως καὶ ἐν τῷ δευτέρῳ σχεδὸν ἴσην παράθεσιν ποιησόμεθα. εἰ δέ τις ἐπιζητοίη, διὰ τί ἐξ ὀνομάτων καὶ ἐπιῤῥημάτων τὴν παράθεσιν ἐποιησάμεθα, ἴσεται μὲν ἐκ τοῦ προοιμίου· ἀλλὰ καὶ νῦν δηλώσω, ὡς ἀντωνυμιῶν μὲν οὐκ ἐμνήσθην, ἐπεὶ σχεδὸν μονήρεις εἰσὶ πᾶσαι, καὶ μάλιστα αἱ πρωτότυποι· ἀλλ' οὐδὲ μετοχῶν, ἐπεὶ ἀεὶ δεύτεραί εἰσι, καὶ ἐπιζητοῦσι τὸ κινοῦν αὐτὰς ῥῆμα. εἰ δὲ καὶ περὶ μίαν καὶ δευτέραν ἐγένετό τις ζήτησις, τοῦτο οὐ μονήρους ἐστὶ λέξεως ἰδίωμα. οὔτε μὴν ἄρθρων οὔτε προθέσεων ἐμνήσθην, ἀλλ' οὐδὲ συνδέσμων. ἐπὶ τούτων τῶν μερῶν τοῦ λόγου ἐξηριθμημέναι ὧν εἰσιν αἱ φωναί· τῶν δὲ προειρημένων μερῶν λόγου, λέγω δὲ ὀνόματός τε καὶ ῥήματος καὶ ἐπιῤῥήματος, πολλὴ μὲν χρῆσις φωνῶν, παραγωγή τε αὐτοῖς ποικίλη πρόσεστι καὶ σχεδὸν ἴση. ὄνομα μὲν γὰρ εἰς ὄνομα παράγεται, ὡς λεπτὸς λεπτίνης, ἄριστος ἀριστεύς. παράγεται δὲ καὶ εἰς ῥῆμα, ὡς παρὰ τὴν μάστιγος γενικὴν τὸ μαστιγῶ, καὶ παρὰ

27 τὴν εὐδαίμονος εὐδαιμονῶ. παράγεται δὲ καὶ εἰς ἐπίῤῥημα, ὡς
35 παρὰ τὸ ἀκόντος ἀκοντὶ, ἀθεώριτος ἀθεωρετὶ, λεσβόθεν τε καὶ
28 οὐρανόθεν. τὸ αὐτὸ ἀποτελεῖ καὶ τὸ ῥῆμα· ἤτοι γὰρ αὐτὸ καὶ εἰς ἑαυτὸ παράγεται, ὡς παρὰ τὸ ἀθλῶ τὸ ἀθλεύω, ἵζω ἱζάνω· ἢ εἰς ὄνομα, ὡς παρὰ ποιητὴς ποίημα· ἢ εἰς ἐπίῤῥημα, ὡς ἀπὸ τοῦ ὄπτω ὄβδην, ὃ καὶ Καλλίμαχος φησὶν, ἦλθον εἰς ὄβδην· πλέκω πλέγδην, μέσφα περιπλέγδην· ἄρδω ἄρδην. ὁμοίως δὲ καὶ τὸ ἐπίῤῥημα τὴν αὐτὴν ποσότητα ἔχει τῆς παραγωγῆς. ἢ γὰρ πάλιν εἰς ἑαυτὸ παράγεται, ὡς παρὰ τὸ ἐγγὺς ἐγγύθεν· ἢ ὡς ὄνομα, ὡς τὸ ἐγγύτερον, ἀνώτερον· ἢ εἰς ῥῆμα, ὡς παρὰ τὸ ὀψὲ ὀψίζω. σχεδὸν οὖν ταῦτα τὰ μέρη τοῦ λόγου ἀλλήλοις προσπέπονθε· διὸ καὶ ἐξ αὐτῶν πεποίημαι τοὺς κανόνας. εἰ δέ τις λέγοι, ὡς καὶ ἡ ἀντωνυμία ποικίλην παραγωγὴν ἔχει· εἴς τε γὰρ ἑαυτὴν παρῆκται καὶ εἰς ἐπίῤῥημα· ἴστω ὅτι ἐνέλειψαν τοῖς κυριωτάτοις, λέγω δὲ ῥήματι καὶ ὀνόματι· τὸ γὰρ ἡμετέροισι καὶ τὸ σφετεριζόμενος τῶν παραγώγων. ἤτοι πρόθεσις παρῆκται μὲν εἰς ὄνομα καὶ ἐπίῤῥημα, οὔτε γε μὴν εἰς αὐτὴν, οὐδὲ εἰς ῥῆμα. τά τε προκείμενα μόρια, λέγω δὲ ὄνομα καὶ ῥῆμα, οὐκ ἀπέδωκεν ἀφ' ἑαυτῶν παραγωγὴν, οὔτε εἰς ἀντωνυμίαν, οὔτε εἰς πρόθεσιν, ἐπειδήπερ δὲ θεματικώτερα ὑπῆρχεν. ἡ μέντοι μετοχὴ, εἰ καὶ μέρος λόγου ἐστὶν, ἐκεῖνό γε ἔχει ἐξαίρετον, τὸ μήποτε πρωτότυπον εἶναι. διὸ δὴ οὐδὲ αὐτὴ τὰ αἴτια ἀνατίθεμεν, ὅτι μὴ καὶ τά τε σπανίως, ἐφ' ὧν καὶ ζητοῦμεν, εἰ καὶ μετοχαὶ ὑπάρχουσιν· ὥσπερ καὶ ἐπὶ τῆς ἄσμενος καὶ τὸ χρέων καὶ ἀκέων καὶ κτημένος. τοσαῦτα ἔχομεν εἰπεῖν ἐν τῷ πρώτῳ βιβλίῳ περὶ μονήρους λέξεως.

29

ΒΙΒΛΙΟΝ Β.

Ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ, ἄριστε φιλολόγε, περὶ μονήρους λέξεως ἥτις ἐστὶν ἐν τῇ χρήσει τῶν παλαιῶν ἑωρᾶτο καὶ τῇ νυνὶ συνηθείᾳ· νυνὶ δὲ στρέφομαι καὶ ἐπὶ τὰς γνωριζομένας μὲν ὁμοίως καὶ τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ καὶ τῇ παλαιῶν χρήσει, πειρά-

σομαι δὲ καὶ ἄλλας παραθέσθαι λέξεις, αἵτινες οὐκ εἰσὶν ἐν τῇ **29** νυνὶ συνηθείᾳ, καὶ παρὰ μέντοι τοῖς παλαιοῖς. ἔστω δέ μοι ἡ παράθεσις ὁμοίως ἐξ ὀνομάτων καὶ ῥημάτων. ἐπειδή τινες ἐπεζήτησαν, εἰ δύναται τὸ τοιοῦτο εἶδος καὶ ἐν προθέσεσιν ὀφθῆναι, κατὰ τοῦτο ἐπειράθην ὀλίγας προθέσεις ἐλέγξαι ἐν εἴδει τινὶ μονήρεις ὑπαρχούσας.

Ὄνομα. οὐδὲν εἰς μα λῆγον οὐδέτερον ἁπλοῦν ἐν τοῖς πρὸ τέλους δύο συλλαβαῖς δισσὸν ἔχει ο, ὡς δῆλον ἐκ τῶν τοιούτων· ποίημα, νόημα, δόνημα, φίλημα, ἀνάθερμα, φώνημα, στεφάνωμα, χρύσωμα, κώλυμα, σόλυμα, ἔρυμα, καὶ ἄλλο μυρίον πλῆθος τοιούτων τῶν ὀνομάτων, ἀδιάπτωτον ποιεῖ τὸν κανόνα. δῆλον ὡς τὸ ὄνομα μονῆρες ἐστί· καὶ γὰρ ἥ τε τρίτη ἀπὸ τέλους τὸ ο ἔχει καὶ ἡ πρὸ τέλους. Αἰολεῖς δὲ ὄνυμα λέγοντες αὐτὸ ἀπολύουσι τοῦ προκειμένου ἐλέγχου. πρόσκειται τῷ κανόνι ἁπλοῦν, ἵνα μή τις ταῦτα σύνθετα ὄντα ὡς ἀντιπίπτοντα παραλλάξῃ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα· λέγω δὲ τὸ πρόδομα, ἢ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται.

Δέμας. τὰ εἰς μα λήγοντα οὐδέτερα ἐναντία ἐστὶ τοῖς εἰς ας λήγουσι. τὰ μὲν γὰρ εἰς ας λήγοντα παραιτεῖται τὸ μ ἔχειν πρὸ τοῦ α, ὡς ἔχει τὸ σέβας, οὖδας, κνέφας, ψέφας, κέρας, **30** τέρας, γῆρας, γέρας, βρέτας, δέπας, σκέπας· καὶ ἄλλα μυρία ἐστὶ τοιαῦτα μὴ ἔχοντα τὸ μ πρὸ τοῦ α. τὰ δὲ ἔχοντα τὸ μ πρὸ τοῦ α παραιτεῖται τὴν εἰς σ κατάληξιν, ὡς ἔχει τὸ δόμα, θέμα, στάμα, χύμα, λύμα, δῶμα, πτῶμα. πῶς οὖν τὸ δέμας καὶ τὸ μ ἔχει πρὸ τοῦ α, καὶ τὴν εἰς σ κατάληξιν; ὡς ἐστι οὕτως ὁρίσασθαι· οὐδὲν εἰς μας λῆγον οὐδέτερον· μονῆρες ἄρα τὸ δέμας. στήτην ἐγγὺς ἴοντο, δέμας δ' ἄνδρεσσιν ἐΐκτην.

Πεῖραρ. οὐδὲν εἰς αρ λῆγον οὐδέτερον πρὸ τοῦ α ἔχει ρ, ἀλλ' ἤτοι καθαρεύει ἢ ἄλλο τι σύμφωνον ἔχει, ὡς δῆλον ἐκ τῶν τοιούτων· ἔαρ, κέαρ, οὖθαρ, εἶδαρ, μάκαρ, ἧπαρ, νέκταρ. μονῆρες ἄρα τὸ πεῖραρ ἐπαλλάξαντες. οὐδέτερον δὲ προσέθηκα, ἐπεὶ ἄραρ τις λέγεται ποταμὸς, ὡς παρατιθέναι καὶ ἐπίγραμμα ἔχον οὕτως· μισγόμεθ' ἀλλήλων, ὡς ἄραρος ῥοδανός.

Κρέας. οὐδὲν οὐδέτερον εἰς ας λῆγον καθαρὸν τῷ ε παραλήγει κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἀλλὰ μόνον τὸ κρέας. τὰ δὲ ἔχοντα καθαρὸν τὸ α, καὶ τὰ ἔχοντα πρὸ τοῦ ε, εἰς ρ θέλει καταλήγειν, ἔαρ, στέαρ, κέαρ, φρέαρ. τὸ τοίνυν κρέας ἢ εἰς ρ ὤφειλε καταλήγειν, ἢ εἴπερ εἰς σ καταλήγοι, ὀφείλει μεταξὺ τοῦ σύμφωνον ἔχειν, ὥσπερ τὸ λέπας, σκέπας,

30 κνέφας, βρέτας. προσέθηκα δὲ κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἐπεὶ παρὰ Ἑκαταίῳ ἐστὶ τὰ δέατα περιτετημένα· ἀλλ' οὐ σύνηθές ἐστι λέγειν δέας. ὅ τε Σοφοκλῆς ἐν κηδεμόνι σατυρικῷ φησὶ, καὶ δῆτι καὶ παρεῖκα τῷ ἀρτυμάτῳ ὑπὸ τοῦ δέατος, ἀντὶ τοῦ δέους· ἀλλ' οὐ λέγεται ἡ εὐθεῖα δέας. ὅ τε Ξενοφάνης φησὶ, καὶ μὴν ἐνὶ σπεάτεσι τεοῖς καταλείβεται ὕδωρ· ἀλλ' οὐ γὰρ λέγεται σπέας. ἡ γὰρ ἀναλογία ὡς ἀπὸ τοιούτων
31 εὐθειῶν τὰς κλίσεις λαμβάνει, οὐκ οὔσας μέντοι ἐν χρήσει Ἑλλήνων. τὸ δὲ παρὰ τῷ ποιητῇ κτεάτεσσιν· ἀνέρος, ἐν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε· μετὰ πελάμου ἔχεται ἐκ τῆς κτεάτοις δοτικῆς.

Ἰχθῦς. οὐδὲν εἰς υς λῆγον ἀρσενικὸν ὑπὲρ μίαν συλλαβὴν, μὴ ἔχον ὑποκοριστικὴν ἔννοιαν, περισπᾶσθαι θέλει. σημειῶδες ἄρα ὁ ἰχθῦς. προσέθηκα δὲ μὴ ὑποκοριστικὴν ἔννοιαν διὰ τὸ ἀπφῦς· δοκεῖ γὰρ παρὰ τὸ ἀπφὰς παρωνομάσθαι. ἔστι δὲ καὶ τὸ διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον, παρηγμένον ἐπὶ τὸν διόνυσον. ὧν οὐδὲ αἱ γενικαὶ παρόμοιαι τῷ προκειμένῳ· ἰχθύος γὰρ λέγεται· οὐ μεμελέτηκε δὲ ἀπφύος λέγεσθαι. μόνον δὲ διὰ δύο δασέων ἐκφέρεται ὁ ἰχθῦς, τῶν δὲ ἄλλων εἰς υς ληγόντων οὐχ οὕτως ἐχόντων. πρόσκειται δὲ τῷ κανόνι ἀρσενικὸν διὰ τὸ ὀφρῦς περισπώμενον θηλυκόν· ἔτι δὲ καὶ τὸ ὀσφῦς. ὥστε, εἰ περισπᾶται τὸ ἰχθῦς, ἔστω θηλυκόν. εἰ δὲ ἀρσενικόν ἐστι, ὀφείλει ὅμοιον εἶναι τῷ στάχυς, βότρυς.

Μᾶζα. τὰ εἰς ζα λήγοντα θηλυκὰ, εἰ ἔχοι πρὸ τέλους δίχρονον, συνεσταλμένον αὐτὸ ἔχει, ὡς τὸ ῥίζα, σχίζα, σπίζα· ἔστι δὲ εἶδος ὀρνέου. Σοφοκλῆς ἐν αὔπνῳ πυρκαεῖ, κάτω κρέμανται σπίζα τέως ἐν ἕρκεσι. δουρὶ λίμνην παρὰ τὸν λίζαν ποταμόν· Ἑκαταῖος περιηγήσει ἀσίας, τῇ δὲ λίμνῃ δούριζα ὄνομα. βόρυζα, πόλις περσικὴ, ὡς Ἑκαταῖος περιηγήσει εὐρώπης· μετὰ δὲ βόρυζα, πόλις περσέων· μετὰ δὲ θυνίας παρὰ βυζάντης καυκωνίδος πόλις. ἄζα, γάζα, χάλαζα. σημειῶδες ἄρα ἡ μᾶζα ἐκτείνουσα τὸ πρὸ τέλους α.

Ἀγαυός. οὐδὲν εἰς ος λῆγον καθαρὸν ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἀγαυός.

32 Χθών. τὰ εἰς ων μονοσύλλαβα φιλεῖ ἀρσενικὰ εἶναι, καὶ φυλάττει τὸ ω ἐν τῇ γενικῇ· πρὼν, χὼν τὸ ἐθνικὸν, κλὼν, θὼν, εἴτε θῶνος εἴτε θῶντος· ἀλλὰ μόνον τὸ χθὼν θηλυκόν ἐστι, καὶ διήλλαξε κατὰ τὴν κλίσιν.

Δαμήν. τὰ εἰς μην λήγοντα ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν ἐπὶ γενικῇ τὸ η εἰς ε τρέπει, ποιμένος, λιμένος, πυθμένος· ἀλλὰ

μόνον τὸ δαμὴν ἐφύλαξε τὸ η· δαμῆνος γὰρ ἐπιγράφεται ἀργολικαῖς. ἴσως δὲ, ἐπεὶ κύριόν ἐστι, παραλλαγὴν ἐποιήσατο. τὸ δὲ ἀλλαμὴν παραιτοῦμαι· οὐ γὰρ γνήσιον ὄνομα ὑπὸ διαφόρου παρατεθειμένον.

Ἰχώρ. οὐδὲν εἰς ωρ λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι θέλει, ἀλλὰ πάντα βαρύνεσθαι. ῥήτωρ, κλήτωρ, ἵστωρ, ἕκτωρ, πέλωρ, κέλωρ, ἄκτωρ, σπέρχωρ, ἀνίχωρ, ἄχωρ, ἀναύζωρ. ἡ δὲ ἱστορία τῶν ὀνομάτων εἴρηταί μοι ἐν δευτέρῳ περὶ καθολικῆς προσῳδίας. σημειῶδες ἄρα τὸ ἰχὼρ μόνον ὀξυνόμενον. τὸ δὲ αἴτιον εἴρηται ἐν τῷ περὶ καθολικῆς προσῳδίας.

Τέκμωρ. οὐδὲν εἰς ωρ λῆγον οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἔχει συμπλοκὴν δύο συμφώνων πρὸ τοῦ ω· πριαμίδη, μή με ἔλωρ δαναοῖσιν ἐάσῃς· νίκωρ παρ' ἀσώτῳ μιμογράφῳ· ὕδωρ· ἔλδωρ, οὐ γὰρ συμπλοκὴ ἐνθάδε, ἀλλὰ διάστασις. ὁ δὲ Ἴβυκος ἔσθ' ὅτε καὶ θηλυκῶς προφέρεται, οὔτι κατὰ σφετέραν ἐέλδωρ· καὶ ἐσθλὸν προδεδεγμένον ἐέλδωρ. σημειῶδες οὖν τὸ τέκμωρ, ἔχον ἐπιπλοκὴν δύο συμφώνων· ἢ ἴσως ἀναλογώτερον ἐκδεκτέον τὸ τέκμωρ· ἴσον γὰρ ἐγένετο τῷ νέκταρ καὶ ἴχθαρ· τοῦ δὲ σημειοῦσθαι τὸ τέκμωρ αἴτιον ὁ πλεονασμὸς τοῦ μ.

Πολύς. τὰ εἰς υς λήγοντα καθαρὸν ἔχοντα τὸ υ συνεσταλμένον βαρύνεσθαι θέλει· θῆλυς· φόλυς, φάλυες κύνες παρὰ τῷ Ἀντιμάχῳ· ἔπηλυς· νέηλυς· ὄλολυς τὸ προσηγορικόν, εἴτε τὸ κύριον· ζῆλυς ὁ ποταμός· ἔγχελυς· μόλυς. σημειῶδες ἄρα τὸ 33 πολὺς ὀξυνόμενον. πρόσκειται δὲ καθαρὸν διὰ τὸ ἀμβλύς, συνεσταλμένον δὲ τὸ υ διὰ τὸ ἰλύς.

Ἔρημος. οὐδὲν εἰς μος λῆγον ὑπὲρ δύο συλλαβὰς προπαροξυνόμενον τῷ η παραλήγεται, ἀλλὰ μόνον ἔρημος· ὡς ἴδε χῶρον ἔρημον. Ἀττικοὶ μέντοι προπαροξύνουσι τὴν λέξιν.

Ἑτοῖμος. οὐδὲν εἰς μος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ οι διφθόγγῳ παραληγόμενον προπερισπᾶται, ἀλλὰ μόνον τὸ ἑτοῖμος. καὶ τοῦτο δὲ παρ' Ἀττικοῖς τοῖς νεωτέροις φασὶ προπαροξύνεσθαι.

Πλυνός. τὰ εἰς νος λήγοντα δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ ν σύμφωνον κατ' ἐπιπλοκήν, παραληγόμενα δὲ τῷ υ, πάντως ἐκτεταμένῳ παραλήγεσθαι θέλει· φρυνός, θυνός, γρυνός· σημαίνει δέ, ὡς καὶ Ἀπολλώνιος φησί, τὰς τῶν ξύλων ξηρὰς καὶ παχείας ῥίζας. σημειῶδες ἄρα τὸ πλυνὸς κατὰ χρόνον· καί τοι γε τὸ πλύνω ἐκτεινόμενον τὸ υ.

Αἰνότης. τὰ εἰς της λήγοντα θηλυκὰ οὐδέποτε ἀπὸ τῆς νος καταλήξεως παρήχθη. σημειῶδες ἄρα τὸ αἰνότης ὄνομα.

33 Ανδρότης. τὰ εἰς της λήγοντα θηλυκὰ οὐδέποτε ἀπὸ τῶν εἰς ρ ληγόντων παράγεται. σημειῶδες ἄρα τὸ ἀνδρότης ὄνομα. ἢ γὰρ ἀπὸ τῶν εἰς ος, ὡς κοῦφος κουφότης· ἢ ἀπὸ τῶν εἰς υς, ὡς ταχὺς ταχύτης· ἢ καὶ ἀπὸ ῥημάτων, ὡς παρὰ τὸ ἵεμαι ἰότης· οὐδέποτε μέντοι ἀπὸ τῶν εἰς ρ ληγόντων. δεῖ δὲ καὶ τὸ αἰνότης· παρὰ γὰρ τὴν εἰς ος εὐθεῖαν οὔ τινος. ἢ εἰς υς.

Φερνή. τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ θηλυκὰ ἔχοντα πρὸ τοῦ ν ρ βαρύνεσθαι θέλει· πέρνη, πτέρνη, πτάρνη πόλις, κέρνη ὁμοίως, ἄρνη· ἀλλὰ μόνον τὸ φερνὴ ὀξύνεται. Αἰολεῖς δὲ φέρναν αὐτὴν λέγουσιν ὁμοίως τῇ ἀλέναν.

34 Ἀρνός. οὐδεμία γενικὴ εἰς νος λήγουσα πρὸ τοῦ ν ρ ἔχει, ἀλλὰ μόνον τὸ ἀρνός· αἴτιον δὲ τὸ πάθος. ἢ παρὰ Σοφοκλεῖ, ὁ σκέπαρνος οὐδὲ πρίονος πληγαί. ὅτι γὰρ καὶ ὁ τραγικὸς λέγει σκέπαρνος ἐπ' εὐθείας ἀρσενικῆς, ἐν ἑτέροις ἐδήλωσα.

Ἀνδρός. οὐδεμία γενικὴ εἰς ρος λήγουσα πρὸ τοῦ ρ ἔχει τὸ δ, ἀλλὰ μόνον τὸ ἀνδρός· αἴτιον δὲ τὸ πάθος. ἐν τοῖς περὶ καθολικωτέρας προσῳδίας εἴρηται.

Ἀνδριάς. τὰ εἰς ας λήγοντα καθαρὸν, ἐκτεταμένον ἔχοντα τὸ α, εἰ ἔχοι πρὸ τέλους φωνῆεν ἢ φωνήεντα, βαρύνεσθαι θέλει· δρακοντίας, ὀνοματίας, καππατίας, λοξίας, εὐρυξίας, βορέας, ἠρέας, θαρσέας, κρατέας, μηνύας, φλεγύας, ἀνδρέας. μυρίον ἐστὶ πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον. σημειῶδες ἄρα τὸ ἀνδριὰς ὀξυνόμενον. οὐκ ἀγνοῶ δὲ, ὅτι Ἡλιόδωρος ἐβούλετο αὐτὸ περισπᾶν· ὁμοίως δὲ καὶ τὸ ἡμάς. τὸ δ' αὐτὸ ἠξίου καὶ Δράκων ὁ Στρατονίκου, ἔτι δὲ καὶ τυρανίκων. οὐκ ἔχει δὲ οὕτω τὰ τῆς ἀναγνώσεως, ὡς ἐν ἑτέροις οὐκ ἐδήλωσα.

Γουνός. οὐδεμία γενικὴ εἰς νος λήγουσα τῇ ου διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνη γουνός· γοῦνι γουνὸς ἀμείβων. αἴτιον δὲ τὸ πάθος· οὐ γὰρ εὐθεῖά τις προκατάρχει μονοσύλλαβος ἤγουν, ὡς οἴονται οἱ πρὸ ἐμοῦ. τὰ δὲ εἰς νος λήγοντα ὀνόματα δισύλλαβα ὀξυνόμενα τῇ ου διφθόγγῳ παραληγόμενα ἐπ' εὐθείας ὁρᾶται· γουνός· ἔνθεν δοτικὴ ἡ, γουνῷ ἀλωῆς· βουνός· κρουνός. δῆλον οὖν ὅτι ἡ γουνὸς γενικὴ οὐχ ὑγιαίνει· εὐθείας γὰρ χαρακτῆρα ἀπεδέξατο. ἔστι δὲ καὶ ἐπὶ πασῶν τῶν ἠλογημένων γενικῶν τὸ τοιοῦτον ἐπιδεῖξαι, ὡς ὅτι παραβαίνουσι καὶ τοὺς χαρακτῆρας παθοῦσαι.

Δουρός. οὐδεμία γενικὴ εἰς ρος λήγουσα τῇ ου διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνη ἡ δουρός. αἴτιον δὲ πάλιν τὸ πάθος· συγκοπὴ γὰρ ἐκ τοῦ δόρατος· τόφρα δὲ τυδείδης μετὰ δούρατος

35 φχετ' ἐρωήν. οὐ γάρ, ὥσπερ οἴεται ὁ Τρύφων, εὐθεῖά τίς ἐστι δουρί, κωλυούσης καὶ τῆς ἀναλογίας καὶ τῆς χρήσεως τῶν Ἑλλήνων. ἄμειβον οὖν ἐκδέχεσθαι τὸ πάθος· καὶ γὰρ δορὸς καὶ δουρὸς εἴρηται, καὶ δούρατος καὶ δόρεος, ὡς ἐν ἑτέροις ἐδήλωσα.

Ῥάρος. οὐδέποτε τὸ ρ ἄρχον ψιλοῦται, ἀεὶ δὲ δασύνεται. σημειῶδες ἄρα τὸ ῥάρος· τὸ γὰρ ῥάριδος δηίους παρ' αὐτὸ γέγονε. σεσημείωται τὸ ῥάρος κατὰ χρόνον· τὰ γὰρ εἰς ρος δισύλλαβα τῷ α παραληγόμενα, ὀξυνόμενα μὲν ἔχει ἐκτεινόμενον τὸ α, ψαρός, λαρός· ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν ἰνάχῳ, καὶ σασχυτρίνων λαρὸς εὕτατ' ἐπὶ κῦμα ἐκροὰς ἐπώμοσα λαρὸς ἀνήρ· ἔνθεν τὸ οὐδέτερον, λαρὸν τετυχοίμεθα δόρπον. βαρυνόμενα δέ, εἰ καὶ ἀρσενικὰ ὑπάρχοι ἢ θηλυκά, συστέλλειν θέλει τὸ α· λάρῳ ὄρνιθι ἐοικώς. φάρος δὲ λέγω τὸ ἀρσενικὸν ἢ καὶ τὸ θηλυκόν. κλάρος Νίκανδρος, μνηστὺν ἔχοις, τὸ ἔθρεψε κλάρος νιφόεσσα πολίχνη. γάρος Αἰσχύλος πρωτεῖ σατυρικῷ, καὶ τὸν ἰχθύων γάρον. πάρνος, νῆσος· σπάρος· σκάρος. εἰ δέ τι βαρυνόμενον ἀρσενικὸν ἔχει τὸ α ἐκτεινόμενον, πάντως ἔχει κανόνα διὰ τοῦ η, ὥσπερ τὸ κλάρος ἐκ τοῦ κλῆρος. τὸ δηράδος, εἰ μή ἐστι δώριον βαρυνόμενον, συστελλέσθω κατὰ τὴν παραλήγουσαν· εἰ δὲ ἐκτείνεται ὑγιῶς, ἡ παραλήγουσα ὀξυνέσθω, ἵνα μιμήσηται τὸ ψαρός, ναρός, λαρός. ἢ περὶ τόνον ἄρα σημειῶδες ἢ περὶ χρόνον· ἀλλὰ δῆλον ὅτι περὶ χρόνον· τὰ γὰρ ὀξυνόμενα ἐπιθετικὰ ὑπῆρχον, τοῦτο δὲ κύριον ὄνομα βαρύτονον. ἀλλ' οὖν γε ἔχομεν καὶ τὸ βάρος ὁμοίως Ἀττικὸν ὑπάρχον καὶ ἐκτεινόμενον τὸ α πρὸς ἀντέμφρασιν τοῦ οὐδετέρου.

Φάρος. τὰ εἰς ρος λήγοντα οὐδέτερα δισύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ α, συνεσταλμένον πάντως αὐτὸ ἔχει· εἰ μὴ κατὰ διάλεκτον εἴη, ὥσπερ τὸ πάρος· ἐπὶ γὰρ τὸ πάρος ὀνειαρὸν ἱκνεῖ- **36** ται, Ἀλκαῖος φησί. τοιοῦτο δέ ἐστι καὶ τὸ μάκος, δάνος, πράγος· τοιοῦτο δὴ καὶ τὸ ῥῆμα δοκεῖ ἔχειν μεταβολήν. ἔστω οὖν τῶν συστελλόντων τὸ α παραδείγματα πάθος, τάφος· ὅπερ καὶ ἀρσενικόν ἐστι, ὡς οἵγ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο· καὶ θηλυκὸν ἐπὶ τῆς νήσου. ὁπότε δὲ ἐπὶ τῆς ἐκπλήξεως παραλαμβάνεται, γένος ἐπιδέχεται τὸ οὐδέτερον· ἥνδανε δὴν ποτέ, τάφος δέ οἱ ἦτορ ἵκανε. ἀλλ' ἴσως τοῦτο ἀμφίβολον· ὁ μέντοι Ἴβυκος διέστειλε τὸ γένος ἐν τῷ πρώτῳ, σχεδὸν τὸν ὁμηρικὸν μεταβαλών· φησὶ γάρ, δαρὸν δάραοι χρόνον ἧστο τάφεις πεπηγώς· οὕτω γὰρ ἔκλινεν ὡς βέλει. ἀναδράμωμεν δὴ ἐπὶ τὰ παραδείγματα· κάλος, δάος, ψάος, πάγος, μάθος· Ἀλκαῖος, ἀππατέρων μάθος·

36 νάπος, τάνος, σάκος, τάχος, βάρος. σημειῶδες ἄρα τὸ φάρος
ἐκτεινόμενον τὸ α· φᾶρος μέν οἱ πρῶτον ἔπλυνεν ἠδὲ χιτῶνα. οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος τὸ α καὶ συστέλλουσι, ὡς παρ' Αἰσχύλῳ ἐν σαλαμίναις, εἴ μοι γένοιτο φᾶρος ἶσον ἐν οὐρανῷ. ἀλλὰ κατὰ στολὴν ἐν παρὰ Σοφοκλεῖ· ἐντείνει σπεύδουσαν αὐτήν· ἐν δὲ ποικίλῳ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι. παραφυλακτέον, ὅτι τὸ φάρος τυχὸν συστελλόμενον τὸ α ἀναδέχεται πάλιν ἐν διαφόρῳ σημαινομένῳ τὰ τρία γένη, ὥσπερ καὶ τὸ τάφος· ἔστι γὰρ ἀρσενικόν, οὕτω γὰρ ἐπὶ μενελάου ἐκαλεῖτο πρωρεύς, ἀλλὰ καὶ τὸ θηλυκὸν ἐπὶ τῆς νήσου ἀπ' αὐτοῦ τὸ ὄνομα λαβούσης, ὡς φησὶν Ἑκαταῖος. καὶ οὐδέτερον, ὁπότε σημαντικὸν τοῦ ἱματίου, ἢ καὶ τὸ ἀρότρου, ὡς
37 καὶ παρ' Ἀλκμᾶνι· ἀλλὰ καὶ παρ' Ἀντιμάχῳ, ἀεὶ φάρεος κατεύουσιν ἔχων· οὕτως ἐν τοῖς ἀντιγράφοις εἴρηται.

Θάσσων. τὰ εἰς ων λήγοντα συγκριτικὰ δισύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ α, συνεσταλμένον αὐτὸ ἔχει, βράσσων· ἀλλά τε οἱ βράσσων τε νόος. πάσσων· τὸ μέντοι ἀθηναίη θῆκε διὸς ἐκγεγαυῖα μείζονά τ' εἰσιδέειν καὶ πάσσονα. τοσοῦτον ὀνομάσῃ ἔτι μάσσων, μᾶσσον· ἔνθεν παρ' Ἐπιχάρμῳ τὸ βάσσον. σημειῶδες ἄρα τὸ θάσσων ἐκτεινόμενον τὸ α· θάσσονας ἰρήκων ἤμεναι καλλίτριχας ἵππους, πρόσκειται δὲ δισύλλαβα διὰ τὸ ἐλάσσων.

Λουτρόν. τὰ εἰς ρον λήγοντα οὐδέτερα μονογενῆ, ἔχοντα πρὸ τοῦ τέλους ρ σύμφωνον ἢ σύμφωνα, βαρύνεσθαι θέλει· σεῖστρον· δένδρον· δέρτρον, δέρτρον ἔσω δύντες· φέρτρον, κείμενον ἐν φέρτρῳ· πλῆκτρον· καὶ ἄλλο πλῆθος τῶν τοιούτων ὀνομάτων ἀδιάπτωτον. ἀλλὰ μόνον τὸ λουτρὸν ὀξύνεται· ὅπερ καὶ τρισύλλαβον λέγεται λοετρόν· εἰς ὅ κεν θερμὰ λοετρά· ἐπεὶ καὶ τὸ ῥῆμα δισσόν, λοέω καὶ λούω· ἀλλ' ὅτε δή μιν ἐγὼ λόεον.

Οἶμα. οὐδὲν εἰς μα λῆγον καθαρὸν δισύλλαβον οὐδέτερον πρὸ τέλους ἔχει τὴν οι δίφθογγον, ἀλλὰ μόνον τὸ οἶμα· τὸ γὰρ οἶδμα οὐ καθαρεῦον. δύναται γὰρ καὶ ἀπὸ συμφώνου ἄρχεσθαι τινὰ ἢ ἀπὸ συμφώνων, ἵνα μή τις λέγῃ, ὅτι ἄλλα οἶμα ἐπιζήτω· διὸ ἔθηκα πρὸ τέλους.

Ὀστέον. οὐδὲν εἰς ον λῆγον καθαρὸν οὐδέτερον μονογενὲς ὑπὲρ δύο συλλαβὰς τῷ ε παρεδρευόμενον παροξύνεται, ἀλλὰ μόνον τὸ ὀστέον. αἴτιος δὲ ὁ πλεονασμός. τὰ δὲ τοιαῦτα ἤτοι ὀξύ-
38 νεται, ὡς ἔχει τὸ κολεόν, στερεόν, ἐλαιόν, βάλλον δ' εἰν ἐλεοῖσιν. αἰτία δὲ τῆς ὀξείας ἡ πρὸ τέλους συλλαβή, ἔχουσα πρὸ τοῦ ο τὸ ε· ἢ προπαροξύνεται, ὁπότε μὴ τὸ λ πρὸ τοῦ ε ἐστὶ ὄρνεον,

κάνεον, ὄστρεον. δῆλον οὖν, ὡς καὶ ὄστρεον ἐχρῆν λέγειν· διὸ 38 μόνηρες κατὰ τὸν τόνον φαμὲν εἶναι αὐτό. οὐκ ἀγνοῶ δὲ, ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν πυτίνῃ· ἀλλ' οὐδὲ λάχανον οὐδὲ οὐδ' ὀστοῦν ἔστι ὁρῶ. τοῦτον τὸν τρόπον καὶ τὸ κάνεον κανοῦν.

Φηρά. τὰ εἰς ρα λήγοντα δισύλλαβα μονογενῆ θηλυκὰ, εἰ παραλήγοιτο τῷ η, βαρύνεσθαι θέλει, πεῖρα, γῆρα, θῆρα. σημειῶδες ἄρα τὸ φηρὰ ὀξυνόμενον.

Λεβυαφιγενής. ἡ διὰ τοῦ φ ἐπέκτασις οὐδέποτε θέλει κατ' ἀρχὴν συντίθεσθαι, μόνῳ δὲ παρηκολούθησεν ἐν ἐπιῤῥήματι τῷ φι τοσοῦτον, ἰφιγένεια, ἰφικλῆς, ἰφιάνασσα, καὶ ὅσα ἄλλα ἐστὶ τοιαῦτα. πεπλάνηται οὖν ἴβευκος εἰπὼν λεβυαφιγενής.

Πρῶτος. τὰ εἰς τος λήγοντα καθαρὰ δισύλλαβα, παραληγόμενα τῷ ω, τριγενῆ ὑπάρχοντα, ὀξύνεσθαι θέλει, γνωτὸς, τρωτὸς, πλωτὸς, πτωτός· ἀλλὰ καὶ ὁ πρῶτος τοῦ ἀριθμοῦ τὸ ὄνομα βαρύνεται. οὐκ ἀγνοῶ δὲ, ὅτι κανόνες κατέσχον τέσσαρες τὴν βαρεῖαν ταύτην.

Χρυσός. τὰ εἰς σος λήγοντα δισύλλαβα ὀξυνόμενα φύσει μακρὰ, εἰ παραλήγοιτο τῷ υ, ἢ κύρια θέλει εἶναι, ἢ ἐπίθετα, οὐ μὴν προσηγορικά. κύρια μὲν οὖν ἐστι τοιαῦτα· λισσὸς, πολίχνιον κρήτης· παρνὸς ὅς ῥ' ἐνὶ παίω οἰγνῶσσον τεῖχος· ῥωσός· καὶ ταῦτα ἐπὶ πόλεων. ἐπίθετα δὲ τοιαῦτα, τραυσὸς, ῥυσὸς, μυσός. τὸ τοίνυν χρυσὸς ὀξυνόμενον μονῆρές ἐστιν· οὔτε γὰρ κύριον, οὔτε ἐπιθετικόν ἐστι.

Μῦρον. τὰ εἰς ρον λήγοντα δισύλλαβα καθαρὰ προσηγορικὰ, εἰ παραλήγοιτο τῷ υ, ὀξύνεσθαι θέλει, ξυρὸν, σφυρὸν, πυρόν. σημειῶδες ἄρα τὸ μῦρον βαρυνόμενον. τὸ γὰρ ψύρον ἢ στύρον ἢ μῦρον, κύρια ὄντα, ὑγιῶς βαρύνεται.

Κεφαλή. τὰ διὰ τοῦ αλη ὑπὲρ δύο συλλαβὰς μονογενῆ 39 βαρύνεσθαι θέλει, χωρὶς εἰ μὴ συναλημμένα εἴη· μυκάλη, φιάλη, ξυάλη, μυρτάλη, πετάλη, ἀγκάλη, δαμάλη. σημειῶδες ἄρα τὸ κεφαλὴ ὀξυνόμενον ἐπὶ τοῦ μερικοῦ, εἴτε ἐπὶ τοῦ κυρίου. τὸ γὰρ ἀλαλὴ οὐ φύσει τρισύλλαβον· κλῦθ' ἀλαλὰ, πολέμου θυγάτηρ. τὸ δὲ μυγδαλῆ περισπᾶται, ἐπεὶ παρὰ τὸ ἄλδς συντέθειται συναλυμμένον καὶ περισπώμενον. κέχρηται δὲ τῷ ὀνόματι Κηφισόδωρος ἐν ὑπείνῳ· καὶ λέων καὶ μυγδαλῆ καὶ σκόρπιος.

Φυλή. τὰ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ τῷ υ παραληγόμενα βαρύνεσθαι θέλει· τύλη, ὅπερ σύνηθες Ἀττικοῖς κνέ-

39 φαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνει ἀμφιάρεῳ· καινὴ διὲκ τοῦ δωματίου γένων φέρε κνέφαλλον ἅμα καὶ προσκεφάλαιον ἐκ τῶν λινῶν. ὠνομάσθη δὲ ἀπὸ τοῦ κνέφον, ἥτις σημαίνει ἀκανθώδη ὕλην, ἣ περιπεταννῦντες τὰς ἐσθῆτας, ἐξέθλιβον τὸ πλεονάζον τοῦ περὶ τὰς ἐσθῆτας χνοῦ· οἷς καὶ πρὸς τὰς τύλας ἐχρῶντο, ὥσπερ καὶ νῦν. μέμνηται δὲ αὐτοῦ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν πεισάνδρῳ, ὥσπερ νεφάλλων ἢ πτιλῶν σεσαγμένος. ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ α εἰς ε· ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ γ γράφουσιν· ἔν τισιν ἐν μαλακροῖς κρατύνου περιεφύλαξε Σύμμαχος. ἀναδράμωμεν ἐπὶ τὸ προχείμενον, παραθέμενοι τὸ τύλη, ὅπερ οὐκ ἦν παρ' Ἀττικοῖς. ἀλλὰ μέμνηται Σαπφὼ ἐν δευτέρῳ· ἐγὼ δ' ἐπὶ μαλθακὰν τύλαν σπολέω μέλεα· κἂν μὲν τε τύλαγκας ἀσπόλεα· οὐ γὰρ ὁ τε σύνδεσμος. μύλη· πύλη· ὕλη ἐν σαμίων ὅροις, καὶ οὐδένα κατέδησεν τῶν τῆς ὕλης μετασχεῖν. μονῆρες ἄρα τὸ φυλὴ ὀξυνόμενον.

Σίνος. τὰ εἰς νος λήγοντα ἐπ' εὐθείας τῷ ι παραληγόμενα
40 συνεσταλμένῳ οὐ θέλει οὐδέτερα εἶναι· οἷον πίνος, λίνος, σπίνος· καὶ σπίνος ἐπινοήσω ἀσπίζων, καὶ ὄρνεα πάντα, παρ' αὐτῷ. πῶς οὖν τὸ σίνος οὐδετέρου γένους ἔχεται; τὸ γὰρ κρίνος ἐκ τοῦ κρίνον μεταπεποίηται.

Ἰότης. τῶν εἰς της ληγόντων θηλυκῶν ὀνομάτων ὑπὲρ δύο συλλαβὰς ὄντων γένεσις προκατάρχει ὀνοματική· ταχύτης, βραδύτης, ἰσότης, κουφότης, κακότης, δηϊότης. σημειῶδες τὸ ἰότης· μὴ δι ἐμὴν ἰότητα ποσειδάων ἐνοσίχθων. οὐ γὰρ πρόδηλον ἔχον ὄνομα, παρ' ὃ γέγονε ῥῆμα. τὸ μέντοι παρὰ Σοφοκλεῖ ἐν λακαίναις δανοτὴς εἰρημένον· ἐν ᾗ παύσετ' ἀμερίων μόχθων τε καὶ δανοτῆτος· ὑγιῶς ἂν ἔχοι, εἰ παρ' ὄνομα σχηματισθείη. τὸ δὲ παρὰ Κρατίᾳ ἐν ταῖς ὁμιλίαις ὀρσότης ἀντὶ τοῦ ὁρμὴ περάσιμον.

Κριτής. οὐδὲν εἰς της λῆγον δισύλλαβον ἀρσενικὸν ὀξύνεσθαι θέλει, ἀλλὰ μόνον τὸ κριτής. τὸ γὰρ ληϊστὴς τρισύλλαβόν ἐστι· διὸ ἔχει προχείμενον τὸ ι. τὸ δὲ ψαλτὴς Ἀττικόν ἐστι ὀξυνόμενον, ὡς ἱστορεῖ Ἀπολλόδωρος.

Κρείσσων. τὰ εἰς ων λήγοντα συγκριτικὰ οὐδέποτε πρὸ τέλους ἔχει τὴν ει δίφθογγον, ἀλλὰ μόνον τὸ κρείσσων. λέγεται δὲ καὶ κρέσσων, μὴ πλεονάζοντος τοῦ ι. κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος, καὶ ἦν θεός· ἢ κρέσσων δέ τι ὀνησόμεθα. — [ὁ κανών·

οὐδέποτε δὲ πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγος, πλὴν τοῦ κρείσσων, καὶ λεύσσω, καὶ γραύσσ τὸ φωτίζω.] *) 40

Ἥσσων. τὰ εἰς ων λήγοντα συγκριτικὰ οὐδέποτε πρὸ τέλους ἔχει τὸ η, ἀλλὰ μόνον τὸ ἥσσων.

Ἀμείνων. οὐδὲν εἰς ων λῆγον συγκριτικὸν πρὸ τοῦ ω τὸ ν ἔχει, ἀλλὰ μόνον τὸ ἀμείνων.

Χείρων. οὐδὲν εἰς ων λῆγον συγκριτικὸν πρὸ τοῦ ω τὸ ρ ἔχει, ἀλλὰ μόνον τὸ χείρων. αἴτιον δὲ τὸ πάθος καὶ ἐπὶ τοῦ προκειμένου. 41

Γλύσσων. οὐδὲν τῶν εἰς ων ληγόντων συγκριτικῶν ἔχει πρὸ τέλους τὸ υ. σημειῶδες ἄρα τὸ παρὰ Ξενοφῶντι γλύσσων· εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλῶν ἔφασκον γλύσσονα σῦκα πέλεσθαι.

Μείζων. οὐδὲν εἰς ζων λῆγον δισύλλαβον συγκριτικὸν, ἀλλὰ μόνον τὸ μείζων. δισύλλαβον δὲ προσέθηκα διὰ τὸ ὀλίζων.

Στυφνός. τὰ εἰς νος λήγοντα δισύλλαβα ὀξύτονα, ἔχοντα πρὸ τοῦ ν ἐν ἐπιπλοκῇ σύμφωνον, εἰ ἔχει δὲ πρὸ τέλους τὸ υ, συνεσταλμένον αὐτὸ ἔχει· γυμνὸς, πρυμνὸς, συχνὸς, πυκνὸς, στυγνός. σημειῶδες οὖν τὸ στρυφνὸς, ἐκτεῖνον τὸ υ. οὕτω γὰρ ἀνέγνωμεν παρ' Ἀριστοφάνει ἐν σφηξί· παύσοντα τούτου τὸ λίαν στρυφνόν.

Προΐξ. οὐδὲν εἰς οιξ λήγει ὄνομα, ἀλλὰ μόνη ἡ προΐξ.

Γλαῦξ. οὐδὲν ὄνομα εἰς αυξ λῆγον θηλυκὸν, ἀλλὰ μόνον τὸ γλαῦξ. προσέθηκα δὲ θηλυκὸν, ἵνα μή τις τὸ ταῦξ τιθῇ· ἱστορεῖται γὰρ οὗτος ποταμὸς περὶ σικελίαν.

Ἀσκός. οὐδένα τῶν εἰς κος ληγόντων δισύλλαβα ὀξύνεσθαι θέλει· κέσμος· φύσκος. Ἑκαταῖος, ἴων δὲ πρεσβύτερος λοκρὸς ἦν φόσκου παῖς· ζύσκος ποταμὸς μακεδονίας, ὡς Ἀντιγένης φησί· δίσκος· ἀλλὰ μόνον τὸ ἀσκὸς δισύλλαβον ὑπάρχον.

Θοός. τὰ εἰς ος καθαρὰ δισύλλαβα τῷ ο παραληγόμενα φιλεῖ βαρύνεσθαι· κόος, σόος, τόος, νόος, γόος, πλόος, ῥόος, θρόος. διὸ καὶ τὸ ζόος παρ' Ἐπιχάρμῳ οἱ πλείους ἐβάρυναν· τρὶς ἀπεδόθη ζόος· ὁμοίως καὶ τὸ ζωός. τὸ μέντοι θοὸς ἄντικρυς ὀξυνόμενον μονῆρες. τὰ δὲ αἴτια τούτων ἐν ἑτέροις δηλοῦμεν.

Βασιλεύτερος· οὐδὲν εἰς τερος λῆγον ὑπὲρ δύο συλλαβὰς τῇ ευ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ βασιλεύτερός εἰμι. 42

---

*) Haec, quae hic uncinis inclusa sunt, Cod. in margine habet.

42 Στρουθός. τὰ εἰς θος λήγοντα καθαρὰ μονογενῆ δισύλλαβα, παραληγόμενα φύσει μακρᾷ, βαρύνεσθαι θέλει. θῶκος· οὕτως ὁ κήβιος κωμικός· μῦθος· γῆθος· σῆθος, ποταμὸς σκυθίας, ὡς Φιλοστέφανος· ζοῦθος τὸ κύριον, δῶρος τε ζοῦθός τε. βοῦθος πύθια ἐνικησα, παροιμία· βοῦθος περιφοίτα, Κρατῖνος χείρωσι. τάττεται δὲ καὶ ἐπὶ τῶν εὐήθων καὶ παχυρίνων. νοῦθος κύριον· ψόφος ἐν οὔδει· Ἡσίοδος ἐν τρίτῳ, νοῦθος δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει. σημειῶδες ἄρα τὸ στρουθὸς ὀξυνόμενον· ἰσίχαρις δέ φησιν Ἀττικοὺς βαρύνειν τὸ ὄνομα, ὡς καὶ Τρύφων μέμνηται ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἴσως μέντοι παρήλλαξε τῶν προκειμένων, ἐπεὶ καὶ ἀρσενικῶς λέγεται, καλοὶ δὲ ἐσάγον ὠκέες στρουθοί· καὶ θηλυκῶς, αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν.

Ατη. τὰ εἰς τη λήγοντα δισύλλαβα μονογενῆ καθαρά, εἰ ἔχοι πρὸ τέλους τὸ α, συνεσταλμένον αὐτὸ ἔχει· πλάτη· μάτη· ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ, οὔτι τοι μέτρον μάτας· βάτη, δῆμος Ἀττικοῖς· ἀδιάφορα γὰρ τὰ τοῦ τόνου. σημειῶδες ἄρα τὸ ἄτη, ἐκτεῖνον τὸ α. λέγεται δὲ καὶ τρισυλλάβως ἐν συστολῇ τοῦ α, ὡς παρὰ τῷ Κυρηναίῳ· εἴτε μὶν ἀργείων χρῆ μὲν καλεῖν ἀάτην. τὸ δὲ αἴτιον τῆς ἐκτάσεως ἐν τῇ δισυλλάβῳ προφορᾷ ἐν ἑτέροις εἴπωμεν.

Βλαύτη. τὰ εἰς τη λήγοντα δισύλλαβα μονογενῆ, εἰ παραλήγοιτο διφθόγγῳ, πάντως τῇ διὰ τοῦ ι. βαίτη, δαίτη, λοίτη, δροίτη, κοίτη. σημειῶδες οὖν τὸ βλαύτη τῇ αυ διφθόγγῳ παραληγόμενον.

43 Αμῶ. οὐδέποτε τὸ α πρὸ τοῦ μ κατὰ τὴν κοινὴν διάλεκτον ἐκτεταμένον ἐστὶ ἐν ἀρχῇ, οἷον ἅμα, ἅμυδις, ἀμύσσω, ἄμεινον, ἅμιλλα, ἀμίς, ἀμύνω, ἄμαθος. τὸ τοίνυν ἀμῶ ῥῆμα σημειῶδες· εἰς ὥρας ἀμῷεν. ᾧ ἀκόλουθα ῥηματικά. οἱ δ' ὥστ' ἀμητέρες· καί, ὀλίγος δ' ἀμητὸς ἦεν. ὅσα γὰρ εἶχεν οὕτω τὸ α ἐκτεταμένον πρὸ τοῦ μ ἐν ἀρχῇ, ἐκ τροπῆ τοῦ η εἰς α ἦν, ὡς ἔχει τὸ ἅμερα, ἅμος, ἅμαρ.

Ἔρρω. οὐδὲν ῥῆμα λῆγον εἰς ρ δισύλλαβον κατὰ τὴν τῶν ποιητῶν χρῆσιν καὶ τῶν πεζῶν ἔχει τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν, ἀλλὰ μόνον τὸ ἔρρω· ὅτε τ' ἤλυθεν ἐνθάδε ἔρρων· καί, ἔρρε νήσου θᾶσσον ἐλέγχιστε ζωόντων. τὰ δὲ τοιαῦτα Αἰολικὰ ἦν, ἔχοντα κοινά, ἱμέρρω, γέρρω, οἰκτέρρω, ὀλοφύρρω. εἴπερ οὖν Αἰολικόν, ζητητέον τί αὐτοῦ ἦν κοινόν· οὐ γὰρ αὐτὸ τὸ φθείρω, ὡς οἴονταί τινες.

Δήω. οὐδὲν εἰς ω̄ λῆγον ῥῆμα βαρύτονον καθαρὸν δισύλ- **43**
λαβον τῷ η̄ παραλήγει, ἀλλὰ μόνον τὸ δήω, δήεις· δήεις τόν γε σύεσσι παρήμενον. τὸ γὰρ ἐκήρου πάντως ἐνεστῶτα τὸν κήω αἰτήσει, ὡς ἀπαιτεῖ Φιλόξενος· ἡ δὲ τοιαύτη παράληξις ἡ περισπωμένη ἐστί, ὡς πρὸς τὸ θηῶ, νηῶ. εἴπερ βαρυνόμενα, εἴη πάντως καὶ διαλέκτου, ὡς τὸ παίω πήω λεγόμενον παρὰ Βοιωτοῖς, παλήω· καὶ παρ' Αἰολεῦσιν ἐπὶ τῶν ὑπὲρ δύο συλλαβάς, ἀδικήω, ποθήω, τό τε κλήω ἐκ τοῦ κλαίω γενόμενον.

Ἐσθίω. τὰ εἰς ω̄ λήγοντα ῥήματα ὁριστικὰ ἐνεστῶτος χρόνου, εἰ λάβοι ἐπέκτασιν τοῦ ῑ, περισπᾶσθαι θέλει· χαίρω χαιριῶ, ἐρεύθω ἐρευθιῶ, φλέγω φλεγιῶ, κνήθω κνηθιῶ, κνίφω κνιφιῶ. ἀλλὰ μόνον τὸ ἐσθίω οὐχ, ὥς τινες οἴονται, ἀπαιτεῖ θέμα τὸ **44**
διδειῶ· εἰ δὲ καὶ ἀπαιτήσῃ, ἐκ παρακειμένου ἂν εἴη γενόμενον.

Πιέζω. τὰ εἰς ζω λήγοντα ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα οὐδέποτε τῷ ε̄ παραλήγεσθαι θέλει· ἑάζω, σχεδάζω, σκεπάζω, ἁρπάζω, λυρίζω, σαλπίζω, βαρύζω, ἀτυχίζω, κιθαρίζω, ἑρπύζω. σημειῶδες ἄρα παρ' Ἀττικοῖς καὶ τοῖς Ἴωσι λεγόμενον διὰ τοῦ ε̄ τὸ πιέζω, ὥσπερ παρὰ τῷ ποιητῇ. προσέθηκα δὲ καὶ τὰς διαλέκτους, ἐπεὶ παρ' Ἀλκαίῳ διχῶς λέγεται, παρὰ δὲ Ἀλκμᾶνι διὰ τοῦ ᾱ· τῷ δὲ σκομύνθεα κατ' αν χάρραν μάβως ἐπίαζε. καὶ δῆλον ὅτι πρὸς τὸν χαρακτῆρα ἀναλογωτέρα ἡ χρῆσις ἡ διὰ τοῦ ᾱ. πρόσκειται ὑπὲρ δύο συλλαβὰς τῷ κανόνι, ἐπεὶ δισύλλαβά ἐστι παραληγόμενα τῷ ε̄, ὡς τὸ ἕζω, χέζω, ῥέζω· βαρύτονα δὲ διὰ τὸ τραπεζῶ περισπώμενον δὲ παρ' Ἀττικοῖς.

Ἐσσί. οὐδὲν εἰς σι λῆγον ῥῆμα δεύτερον πρόσωπον, ἀλλὰ μόνον τὸ ἐσσί· ἔχθιστος δέ μοι ἐσσί. ἡ δὲ χρῆσις παρὰ τοῖς ποιηταῖς καὶ συρακουσίοις· διὸ καὶ Σώφρων φησί· ὁδαῖος γε ἐσσί.

Ἧς. οὐδὲν εἰς ης λῆγον δεύτερον πρόσωπον ὀξύνεται, ἀλλὰ μόνον τὸ ἧς· αἵματος ἧς ἀγαθοῖο. τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ῥημάτων ἐρῶ.

Ὑφήφασται. οὐδεὶς Ἀττικὸς παρακείμενος ἀπὸ τοῦ ῡ ἄρχεται, ἀλλὰ μόνος ὁ ὑφήσφασται.

Οἶσθα. ὅσα εἰς θα λήγει δεύτερα πρόσωπα ἐπεκτεταμένα, ταῦτα ἀποβολῇ τῆς θα συλλαβῆς καταλείπει ῥητὸν τὸ ῥῆμα, οἷον λέγῃσθα λέγῃς, βάλῃσθα βάλῃς, ἦσθα ἧς· μόνον δὲ τὸ οἶσθα τοιοῦτον οὐκ ἀνεδέξατο· αἴτιον δὲ τὸ πάθος.

Ἦν. οὐδὲν ῥῆμα ὁριστικὸν ἑνικὸν πρῶτον πρόσωπον κατὰ τὸν αὐτὸν χρόνον ὁρᾶται πρῶτον πρόσωπον ἑνικοῦ καὶ τρίτον ἑνικοῦ, καὶ πρῶτον καὶ τρίτον πληθυντικοῦ, ὅτι μὴ μόνον τὸ ἦν. **45**

45 ἦν γὰρ ἐγὼ, Ἀττικοὶ λέγουσι, καὶ, ἦν ἐκεῖνος· καὶ πληθυντικῶς Σιμωνίδης ἐπὶ πρώτου προσώπου, ὡς καὶ ἐν τοῖς ἐπιγράμμασιν· ἦν ἑκατὸν φιάλαι δίχα σφίσιν· ἀντὶ γὰρ τοῦ ἦμεν ἦν· τῆς δ' ἦν τρεῖς κεφαλαί καὶ κωφὸν δ' ἦν προπάροιθεν.* οὐκ ἀγνοῶ δὲ ὅτι ἄλλως ποικίλως λέγεται τὸ ῥῆμα.

Ἐδάμην. οὐδὲν εἰς μην λῆγον ῥῆμα, τρέψαν τὸ ν εἰς σ, δεύτερον πρόσωπον ἀποτελεῖ· ἀλλὰ μόνον τὸ ἐδάμην ἐποίησε τὸ ἐδάμης, καὶ ἀποβολῇ τοῦ σ τρίτον ἐδάμη. τὸ δὲ αἴτιον λέγεται ἐν τοῖς περὶ ῥημάτων.

Εἴξασι· οὐδεὶς παρακείμενος, τρίτον πρόσωπον εἰς σι, ἔχει τὴν πρὸ τοῦ τέλους συλλαβὴν διὰ τοῦ ξα, ἀλλὰ μόνον τὸ εἴξασι· τοῖς βιβλίοις εἴξασι.

Ἡγῶ. τὰ εἰς γω λήγοντα ῥήματα ὁριστικὰ δισύλλαβα, εἰ παραλήγοιτο τῷ η, θέλει βαρύνεσθαι· θήγω, λήγω, τμήγω· τὸ δὲ ἡγῶ περισπᾶται, ἔνθεν τὸ ἡγούμην· τὸ δὲ αἴτιον πρόδηλον.

Ἀμφί. οὐδεμία πρόθεσις διὰ δασέος συμφώνου ἐκφέρεται, ἀλλὰ μόνον τὸ ἀμφί. λέγεται δ' ἔσθ' ὅτε καὶ ἀμπὶ ἐν συνθέσει διὰ τοῦ π, καὶ ἴσως ἀναλογώτερον.

Διά. αἱ εἰς α λήγουσαι προθέσεις σύμφωνον ἔχουσι πρὸ τοῦ α· ἀλλὰ μόνη ἡ διὰ τὸ α καθαρεύει.

Ὑπέρ. οὐδεμία πρόθεσις δισύλλαβος εἰς σύμφωνον καταλήγει, ἀλλὰ μόνη ἡ ὑπέρ. τὸ γὰρ, ὑπέρτεροί εἰσι θεοὶ χρόνον ἀμφὶς ἐόντες, οὐ γνήσιον ἔχει τὸ τέλος· ἢ ἴσως ἐνήλλακται μέρος λόγου.

Πρό. οὐδεμία πρόθεσις μονοσύλλαβος εἰς φωνῆεν λήγει, ἀλλὰ μόνον ἡ πρό.

Ἐξ. οὐδεμία πρόθεσις εἰς διπλοῦν λήγει, ἀλλὰ μόνη ἡ ἐξ.

Πρίν. οὐδὲν εἰς ιν μονοσύλλαβον ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ

46 πρίν· τὰ δὲ εὑρεθέντα, ὑπὲρ μίαν συλλαβὴν εὑρέθη, ὡς τὸ πάλιν ἱεροῖσιν. παρ' Ἀττικοῖς αἰὲν, παρὰ Δωριεῦσιν αἰὶν, παρ' Αἰολεῦσι λέγεται ταῦτα ἄνευ τοῦ ν.

Πέριξ. τὰ εἰς ιξ λήγοντα ἐπιῤῥήματα φιλεῖ πῶς ὀξύνεσθαι· κουρὶξ, ἀπρὶξ, ἀναμὶξ· ἀλλὰ τὸ πέριξ μόνον βαρύνεται.

Βοτρυδόν. τὰ εἰς δον λήγοντα ἐπιῤῥήματα ὀξυνόμενα οὐ θέλει ἀπὸ τῶν εἰς υς ληγόντων ὀνομάτων παράγεσθαι, καὶ πρὸ τέλους ἔχειν τὸ υ. μονῆρες ἄρα τὸ βοτρυδόν· βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσι. ὁ μέντοι Εὐφορίων παρὰ τὸ εἰς υς παράγωγον ποιήσας ἐπίῤῥημα, οὐκ ἔδωκε πρὸ τέλους τὸ υ, ἀλλὰ τὸ η· πάντα δὲ οἱ νέκυνα ἐλεύκαινον τὰ πρόσωπα.

Αμφουδις. οὐδὲν εἰς δις λῆγον ἐπίῤῥημα τῇ ου διφθόγγῳ 46 παραλήγει, ἀλλὰ μόνον τὸ ἄμφουδις.

Ψό. οὐδὲν ἐπίῤῥημα μονοσύλλαβον εἰς ο λήγει, ἀλλὰ παρὰ Σοφοκλεῖ ἐν ποιμέσι εἴρηται τὸ ψό.

Χαμᾶζε. οὐδὲν εἰς ζε λῆγον ἐπίῤῥημα τῷ α παραληγόμενον προπερισπᾶται, μόνον τὸ χαμᾶζε δὲ τοὺς περισπῶντας τὸ θύραζε.

Μέταζε. οὐδὲν ἐπίῤῥημα διὰ τοῦ αζε ἐκφερόμενον ἐπὶ χρόνου τέθειται, ἀλλὰ μόνον τὸ μέταζε χατίζον.

Ἐγγύθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίῤῥημα τῷ υ παραλήγει, ἀλλὰ μόνον τὸ ἐγγύθεν.

Πάροιθεν. οὐδὲν εἰς θεν ἐπίῤῥημα λῆγον τῇ οι διφθόγγῳ παραλήγειν θέλει, ἀλλὰ μόνον τὸ πάροιθεν.

Νύκτωρ. οὐδὲν εἰς ωρ ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ νύκτωρ· δείκνεται γὰρ ἐπίῤῥημα.

Ἄτερ. οὐδὲν εἰς τερ ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ἄτερ. τὸ 47 γὰρ δάματερ κλητικὴ, ὡς τὸ ἧρακλες.

Ἐχθές καὶ χθές. οὐδὲν εἰς ες λῆγον ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ἐχθὲς καὶ χθές. τὸ γὰρ ἄληθες καὶ ἐπίτηδες καὶ ὅσα τοιαῦτα, ἀπὸ ὀνομάτων μετατεθειμένα. πρόσκειται δὲ μόνον κοινὰ διὰ τὸ θὲς δώριον.

Τοσαῦτα περὶ μονήρων λέξεων ὡς ἐπὶ τὸ πλεῖστον. ἐπειράθημεν δὲ ἐν τῷδε τῷ βιβλίῳ καὶ προθέσεων παράθεσιν ποιήσασθαι, ἐπεὶ καὶ αὐταὶ ὀλίγαι οὖσαι ὁμοιότητα ἔσχον.



ΕΚ ΤΩΝ

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΙΛΙΑΚΗΣ ΠΡΟΣΩΙΔΙΑΣ.

ΕΙΣ ΤΗΝ Α.

8. ξυνέηκε: δασύνεται τὸ ξυνέηκεν. Α.

19. ἱκέσθαι: μέσος ἀόριστος δεύτερος· διὸ παροξύνεται. Α. Cf. ad Ω, 551. Σ, 283.

40. Excidit nota de μηρία et μῆρα V. Β, 427 et Α, 464.

52. θαμειαί: Πάμφιλος λέγει θαμεῖαι ὡς ὀξεῖαι, Ἀρίσταρχος δὲ ὡς πυκιναί· ὁμοίως δὲ καὶ τὸ ταρφειαί. BL.

53. ἐννῆμαρ: ἐχρῆν τὸ ἐννῆμαρ προπαροξύνειν, ὡς παρ' οὐδέτερον συγκείμενον. ἀλλ' ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· οὐδὲν γὰρ τῶν εἰς $\overline{\alpha\rho}$ συνετέθη οὐδετέρων. Α.

56. ῥα: δασυντέον τὸ ῥα· πάσης γὰρ λέξεως τὸ $\overline{\rho}$ ἀρχόμενον δασύνεται πλὴν τοῦ Ῥᾶρος. BL. Cod. ῥᾶρος. Vid. μον. λ. 35.

63. μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον: μέχρι τοῦ ἐρείομεν διασταλτέον, εἶτα ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον, ἵνα γενικὸν μὲν ᾖ τὸ μάντιν, εἴδη δὲ τὰ ἐπιφερόμενα. οὕτως Ἡρωδιανός.

63. τὸ ἔστιν ἐγκλιτικόν ἐστιν, εἰ μὴ ἄρχεται ἢ μὴ προηγεῖται ἡ οὔ ἀπόφασις. BL.

65. εἴταρ: οὕτως ὀξεῖα εἰς τὸν εἴ· τὸ γὰρ τάρ ἐστιν ἐγκλιτικὸς σύνδεσμος ἐπιφερόμενος. καὶ οὐ δεῖ ἀπόστροφον βάλλειν εἰς τὸ $\overline{\tau}$. οὐ γάρ ἐστιν ὁ τέ σύνδεσμος· ἐπεφέρετο γὰρ ἂν ἕτερος σύνδεσμος. Α. (Scilicet legebat εἴταρ ὅγ' εὐχωλῆς ἐπιμέμφεται ἠδ' ἑκατόμβης v. quaest. ep. 132).

67. ἀπὸ λοιγὸν ἀμῦναι: τὸ ἑξῆς ἐστὶν ἀπαμῦναι· διὸ φυλάττει τὸν ἴδιον τόνον. ὅταν γὰρ πρόθεσις τὴν σύνταξιν ἔχῃ πρὸς τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει, ἅτε δὴ ἐπέχουσα τὴν τάξιν. Α.

77. ἠμέν μοι: ἐπὶ μὲν τοῦ προτέρου βαρεῖαν παραληπτέον κατὰ τὴν ἄρχουσαν· κεῖται γὰρ ἀντὶ τοῦ ἠμήν, ὅπερ ἐστὶν ὁρκικὸν ἐπίρρημα, ὅπερ ὁ ποιητὴς ἀεὶ διὰ τοῦ ε προφέρεται· „ἠμὲν τοὺς ἵππους τε καὶ ἅρματα“ „ἠμὲν ἐμοὶ δώσειν“ (Il. 14, 275) τὸ δὲ ἦ γὰρ ὀΐομαι (78) περισπωμένῃ τάσει ἀναγνωστέον· διαβεβαιωτικὸς γὰρ ὁ σύνδεσμος. A.

80. χέρηϊ: ὡς Ἄρηϊ. γέγονε δὲ οὕτως. ἔστι τι χερείονος γενική, καὶ αἰτιατικὴ „χερείονά περ καταπέφνων“ (Il. 17, 539). ὃν οὖν τρόπον τὴν χερείονα αἰτιατικὴν συγκόψας ἔφη „ἀλλὰ τὸν υἱὸν ἐγείνατο εἷο χέρεια“ (Il. 4, 400), πληθυντικῶς δὲ τὰ χερείονα χέρεια „χέρεια δὲ χείρονι δόσκεν“ (Il. 14. 382), τοῦτον τὸν τρόπον καὶ χερείονι χέρειι· καὶ ἐπεὶ κακόφωνόν ἐστι, τροπὴ ἐγένετο τῆς ει διφθόγγου εἰς τὸ η. οὕτως Ἡρωδιανός. A.

81. αὐτῆμαρ: ἐπίρρημα, ὡς τὸ ἐννῆμαρ καὶ ἑξῆμαρ. καὶ ἐχρῆν μὲν αὐτὸ ἀναπέμπειν τὸν τόνον ὡς βούκερως. ἀλλ' ἐπεὶ οὐδὲν τῶν εἰς αρ συντέθειται ἢ μόνον τὸ ἦμαρ, πρὸς τὴν παρηλλαγμένην σύνθεσιν ἦν παρηλλαγμένος καὶ ὁ τόνος. L. Cf. ad v. 53.

85. εἰπέ: τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα, ἐλθέ, εὑρέ, εἰπέ· ἰδίως δὲ καὶ μακρᾷ παραλήγοντα. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυπαραλήκτων ὀξύνουσι τὸ ἰδέ καὶ λαβέ. A.

93. οὔταρ: οὕτως ὀξεῖαν ἐπὶ τοῦ ου· ὁ γὰρ τάρ ἐστι σύνδεσμος ἐπιφερόμενος ἐγκλιτικῶς, ὡς καὶ ἐπὶ τοῦ „εἴ ταρ ὅγ' εὐχωλῆς“ (65). οὐ γάρ ἐστιν ὁ τέ συμπλεκτικός· εἰ γὰρ ἦν, ἐπεφέρετο ἂν πάλιν ὁ τέ μετὰ ἀποφάσεως, οὐθ' ἑκατόμβης. οὕτως γάρ ἐστιν εὑρέσθαι τὸν τέ σύνδεσμον μετὰ τῆς οὔ ἀποφάσεως· ἔνθα μὲν οὔ τε ἄναξ ἐπιδευὴς, οὔ τέ τι ποιμήν.“ (Od. 4, 87). A.

114. οὗ ἕθεν: οὕτως ὀξυτονητέον τὴν οὔ ἀπόφασιν, ἵν' εἰς ἁπλῆν μεταληφθῇ ἀντωνυμίαν· τοῦτο γὰρ καὶ Ἀρίσταρχος παρήγγειλεν· ἐὰν γὰρ ὀρθοτονήσωμεν, ἔσται τὸ ἑαυτῆς σύνθετον· οὕτως οὖν ὡς τὸ „οἵ ἕθεν ὀτρύνοντα“ (Il. 15, 199) καὶ „οὗς ἕθεν εἵνεκ' ἔπασχον“ (Il. 3, 120.) A. Inserui οὖν.

116. καὶ ὧς: τὸ ὡς, ὁπότε σημαντικόν ἐστι τοῦ ὅμως, περισπᾶται. A.

126. ταὖτ': τὸ δὲ ταυτ' Τυραννίων ὀξύνει, ἵν' ᾖ τὰ αὐτά.

129. δῷσι πόλιν Τροΐην: οὕτως Ἀρίσταρχος τρισυλ-

λάβως καὶ ἐνθάδε καὶ ἐν τῇ Λ τῆς Ὀδυσσείας (510) „ἤτοι ὅτ' ἀμφὶ πόλιν Τροΐην φράζεο." καὶ ἐπείσθη αὐτῷ ἡ παράδοσις. ἔστι δὲ καὶ τὸ τῆς χρήσεως τῆς Ὁμηρικῆς ἰδίωμα παραφυλάξαι οὕτως, ὡς ὅτι εἴ που λέγει τὸ Τροία δισυλλάβως, οὐδέποτε ἐπιφέρει τὸ πόλις, οἷον „εἰσόκε περ Τροίην διαπέρσομεν" (Il. 9, 46) καὶ „ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες." (Il. 16, 698) καὶ „Τροίῃ ἐν εὐρείῃ" (Il 24, 256) καὶ ἀλλαχοῦ. ἐπὶ μέντοι τούτων τῶν δύο ὁμοιοπτώτως ἐπήνεγκε τὸ πόλιν τῷ Τροΐην· „δῷσι πόλιν Τροΐην" καὶ τὸ „ἤτοι ἀμφὶ πόλιν Τροΐην" (Od. 11, 510). ταῦτα ὁ Ἡρωδιανός. Inserui τῷ ante Τροΐην.

δῷσι: Ζωΐλος ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι· τὸ γὰρ δῷσί φασι πληθυντικόν. ἀγνοοῦσι δέ· ἔστι γὰρ τὸ δῷ ἑνικὸν ἐκτεταμένον (potius ἐπεκτ —), ὡς τὸ λέγῃ λέγῃσι, φέρῃ φέρῃσι. τοιοῦτόν ἐστι καὶ τὸ ἐν Ὀδυσσείᾳ (1, 168) τὸ „φησὶν ἐλεύσεσθαι" καὶ τὸ „εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδῷσιν ἔεδνα". (Od. 8, 318). κἀνταῦθα γὰρ ἀποδῷ· διὸ καὶ τὸ ῑ ἔχει προσκείμενον. μέμνηται αὐτοῦ κἀν τῇ ὀρθογραφίᾳ Ἡρωδιανός. A. Cod. Ζώϊλος.

136. ἄρσαντες: Ἀρίσταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ καὶ τὸ ε̄, πρὸ τοῦ ρ̄ ὄντα, ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται. ABL.

147. ἧμιν: οὕτως ὀξυτόνως τὴν ἄρχουσαν τοῦ ἧμιν· ἁπλῆ γάρ ἐστιν. ἐκτατέον δὲ καὶ τὴν τελευταίαν· δεῖ γὰρ ῥωννύναι μᾶλλον τὸ μέτρον. A.

154. πώποτ': οὕτως ὑφ' ἕν, πώποτε, Ἀρίσταρχος. A.

156. ἐπεὶ ἦ: περισπαστέον τὸν η̄· ἔστι γὰρ βεβαιωτικός. A.

168. ἐπεί κε κάμω πολεμίζων: Ἀρίσταρχος γράφει ἐπεί κε κάμω, ἵνα μὴ ᾖ διπλασιασμὸς ἐν τῷ ῥήματι· καὶ οὕτως ἡ συνήθης ἀνάγνωσις. οὕτως δὲ καὶ Ἡρωδιανός, φάσκων ὅτι τὸ ἐπὴν ἔχει τὸν ἄν, καὶ τίς χρεία ἐν δευτέρῳ αὐτὸν κεῖσθαι; οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς ἐπήν κε γράφουσιν. A. Sic fere, opinor, Herodianus: Ἀρίσταρχος — ἀνάγνωσις. οὕτω δὲ καὶ

ἐγὼ συγκατατίθεμαι. οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς καὶ ἐπήν κε γράφουσι. τὸ δὲ ἐπήν ἔχει τὸν ἄν — κεῖσθαι;

173. ἔγωγε: οὕτως προπαροξυτονητέον τὸ ἔγωγε, ἵν' ᾖ ἕν. A.

174. πάρ' ἔμοιγε: τὴν παρά πρόθεσιν κατὰ τὴν ἄρχουσαν ὀξυτονητέον. καὶ καθόλου ὁπότε σημαντικαί εἰσι ῥημάτων αἱ προθέσεις, τοῦτον τὸν τόνον ἀναδέχονται· „ἐπεὶ οὔτοι ἔπι δέος" (515) καὶ „οὐ γὰρ ἔπ' ἀνὴρ οἷος 'Οδυσσεύς" (Od. 2, 58). τὴν δὲ ἔμοιγε προπαροξυτονητέον· ἔστι γὰρ 'Αττική, ὡς καὶ ἡ ἔγωγε. A.

175. μητίετα: οὕτως 'Αρίσταρχος τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις. καὶ ἴσως πλεονασμός ἐστι τοῦ ε. A.

190. ἦ — ἦε: τὸν μὲν πρότερον σύνδεσμον βαρυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις. καὶ οὕτως ἐν τῇ καθόλου. ABL.

212. ὧδε γὰρ ἐξερέω· τὸ δὲ καὶ τετελεσμένον ἔσται. τὸ δέ: δύο μέρη λόγου εἰσίν. A.

214. σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν: τὸ ἡμῖν ὀρθοτονεῖται· ἀντιδιέσταλται γάρ, ἀντὶ τοῦ ἡμῖν πείθου καὶ μὴ τῇ σῇ ὀργῇ· κακῶς οὖν 'Αρίσταρχος συστέλλει τὴν μιν. BL. (Fluxit certe ex Herodiano.)

228. τὸ δέ τοι κὴρ εἴδεται εἶναι. τὸ δέ: ἐν δύο μέρεσι λόγου, ἵνα ᾖ τοῦτο δέ σοι θάνατος νομίζεται. AL.

229. ἦ – : περισπαστέον τὸν ἦ· κατ' ἀρχὴν γὰρ κεῖται, ἰσοδυναμῶν τῷ δή. A.

232. ἦ — λωβήσαιο: τὸν ἦ περισπαστέον· βεβαιωτικὸν γάρ ἐστιν. A.

239. ὁ δέ τοι μέγας ἔσσεται ὅρκος. ὁ δέ: ἄμεινον δύο μέρη λόγου ποιεῖν· „ὁ δέ τοι νημερτὲς ἐνίψει" (Od. 11, 148). A.

240. 'Αχιλλῆος ποθή: τὸ ποθή ὀξυτόνως. A.

255. ἦ κεν γηθήσαι Πρίαμος: περισπαστέον τὸν ἦ· βεβαιωτικὸς γάρ. τὸ δὲ γηθήσαι παροξυτονητέον, ἐπειδὴ εὐκτικόν ἐστιν, ἡ δὲ αι ἐν τοῖς εὐκτικοῖς μακρά ἐστιν. A.

258. οἳ περὶ μὲν βουλήν: ἡ δὲ περί ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ· τὸν ἴδιον οὖν τόνον φυλάξει· πρόθεσις γὰρ ἀντὶ

ἑτέρας προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει. οὕτως ἔχει καὶ τὸ „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων" (287). εἴτε τοῖς ἑξῆς συνάπτεται, ἀντὶ τοῦ περίεστε, πάλιν φυλάξει τὸν ἴδιον τόνον· πάλιν γὰρ πᾶσα πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει, ὡς τὸ „νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον. (Od. 1, 8). A.

264. Ἐξάδιον: παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε̅ τὸ ὄνομα ἤρξατο, παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ε̅ εὑρέθη, ὡς καὶ Ὀϊλεὺς μὲν παρὰ τῷ ποιητῇ καὶ παρ' Ἡσιόδῳ. εἰ δὲ χρὴ πρὸς τὸν χαρακτῆρά τι λέγειν, ἐκεῖνο ἔχομεν εἰπεῖν, ὡς ὅτι ἐχρῆν δασύνεσθαι αὐτό· τὸ γὰρ ε̅ πρὸ τοῦ ξ̅, ὑποστελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθαι, ἕξις, ἑξῆς, ἕξω. χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι. A.

269. μεθ': οὕτως Ἀρίσταρχος τὴν μετὰ φυλάσσων τὸν τόνον. A. Cod. φυλάσσειν.

271. κατ' ἔμ' αὐτὸν: οὕτως κατὰ παράθεσιν ἐν δύο τόνοις, ἐμὲ αὐτόν· σύνθετος γὰρ ἀντωνυμία παρὰ τῷ ποιητῇ οὐκ ἔστιν. A.

276. ἔα: ἐκτατέον τὸ ἄλφα. A.

278. Πηλείδη θέλ': Ἀρίσταρχος ἀποφαίνεται ὡς κατὰ τὴν Ὁμηρικὴν συνήθειαν τὸ ῥῆμα κατὰ τὸν ἐνεστῶτα ἀπὸ τοῦ ε̅ ἄρχεται. ἀλλὰ μὴν καὶ ἡ κίνησις ἡ τοῦ παρατατικοῦ· „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει" (287)· „ἤθελε Μηριόνης" (Il. 10, 229). καὶ ἐνθάδε οὖν ἄμεινον τῇ συνηθεστέρᾳ ἀναγνώσει προσέχοντας ἐπὶ τὴν δη̅ συλλαβὴν ὀξεῖαν παραλαμβάνειν, ἵνα κρᾶσις ᾖ τοῦ ἔθελε τρισυλλάβου γενομένου, ὡς καὶ σύνηθές ἐστι τῷ ποιητῇ. τὸ μέντοι ῥῆμα τῶν παραλόγων κατὰ τόνον ἐστὶ τρισύλλαβον ὄν, ὡς δείκνυται ἐν τοῖς περὶ ῥημάτων. A. Cf. Θ, 229. — ἔστι τῷ ποιητῇ scripsi pro ἐστιν ὁ ποιητής.

280. χαρτερός: τὰ εἰς τερος τρισύλλαβα βαρύνεται, οἷον σφέτερος, πρότερος, κόντερος. πῶς οὐχὶ κάρτερος κατὰ βαρεῖαν λέγομεν; ὅτι τοῦτο οὐκ ἦν εἰς τερος ἀλλ' εἰς ερος· τὸ γὰρ τ̅ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν· ἦν γὰρ ἀπὸ τοῦ κράτος. ὡς ἀπὸ τοῦ βλάβος βλαβερὸς οὐ διὰ τοῦ βερος ἡ παραγωγὴ (ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β̅), οὕτως καὶ ἀπὸ τοῦ κράτος κρατερὸς διὰ τοῦ ερος ἡ παραγωγή, οὐ διὰ τοῦ τερος. A.

ΕΙΣ ΤΗΝ Α.

8. ξυνέηκε: δασύνεται τὸ ξυνέηκεν. A.

19. ἱκέσθαι: μέσος ἀόριστος δεύτερος· διὸ παροξύνεται. A. Cf. ad Ω, 551. Σ, 283.

40. Excidit nota de μηρία et μῆρα V. B, 427 et A, 464.

52. θαμειαί: Πάμφιλος λέγει θαμεῖαι ὡς ὀξεῖαι, Ἀρίσταρχος δὲ ὡς πυκιναί· ὁμοίως δὲ καὶ τὸ ταρφειαί. BL.

53. ἐννῆμαρ: ἐχρῆν τὸ ἐννῆμαρ προπαροξύνειν, ὡς παρ' οὐδέτερον συγκείμενον. ἀλλ' ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· οὐδὲν γὰρ τῶν εἰς $\overline{\text{αρ}}$ συνετέθη οὐδετέρων. A.

56. ῥα: δασυντέον τὸ ῥα· πάσης γὰρ λέξεως τὸ $\overline{\text{ρ}}$ ἀρχόμενον δασύνεται πλὴν τοῦ Ῥᾶρος. BL. Cod. ῥᾶρος. Vid. μον. λ. 35.

63. μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον: μέχρι τοῦ ἐρείομεν διασταλτέον, εἶτα ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον, ἵνα γενικὸν μὲν ᾖ τὸ μάντιν, εἴδη δὲ τὰ ἐπιφερόμενα. οὕτως Ἡρωδιανός.

63. τὸ ἔστιν ἐγκλιτικόν ἐστιν, εἰ μὴ ἄρχεται ἢ μὴ προηγεῖται ἡ οὐ ἀπόφασις. BL.

65. εἴταρ: οὕτως ὀξεῖα εἰς τὸν αι· τὸ γὰρ τάρ ἐστιν ἐγκλιτικὸς σύνδεσμος ἐπιφερόμενος. καὶ οὐ δεῖ ἀπόστροφον βάλλειν εἰς τὸ $\overline{\text{τ}}$. οὐ γάρ ἐστιν ὁ τέ σύνδεσμος· ἐπεφέρετο γὰρ ἂν ἕτερος σύνδεσμος. A. (Scilicet legebat εἴταρ ὅγ' εὐχωλῆς ἐπιμέμφεται ἠδ' ἑκατόμβης v. quaest. ep. 132).

67. ἀπὸ λοιγὸν ἀμῦναι: τὸ ἑξῆς ἐστὶν ἀπαμῦναι· διὸ φυλάττει τὸν ἴδιον τόνον. ὅταν γὰρ πρόθεσις τὴν σύνταξιν ἔχῃ πρὸς τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει, ἅτε δὴ ἐπέχουσα τὴν τάξιν. A.

77. ἠ μ έ ν μ ο ι: ἐπὶ μὲν τοῦ προτέρου βαρεῖαν παραληπτέον κατὰ τὴν ἄρχουσαν· κεῖται γὰρ ἀντὶ τοῦ ἠμήν, ὅπερ ἐστὶν ὁρκικὸν ἐπίῤῥημα, ὅπερ ὁ ποιητὴς ἀεὶ διὰ τοῦ ε προφέρεται· „ἠμὲν τοὺς ἵππους τε καὶ ἅρματα“ „ἠμὲν ἐμοὶ δώσειν“ (Il. 14, 275) τὸ δὲ ἦ γὰρ ὀΐομαι (78) περισπωμένῃ τάσει ἀναγνωστέον· διαβεβαιωτικὸς γὰρ ὁ σύνδεσμος. A.

80. χ έ ρ η ϊ: ὡς Ἄρηϊ. γέγονε δὲ οὕτως. ἔστι τι χερείονος γενική, καὶ αἰτιατικὴ „χερείονά περ καταπέφνων“ (Il. 17, 539). ὃν οὖν τρόπον τὴν χερείονα αἰτιατικὴν συγκόψας ἔφη „ἀλλὰ τὸν υἱὸν ἐγείνατο εἷο χέρεια“ (Il. 4, 400), πληθυντικῶς δὲ τὰ χερείονα χέρεια „χέρεια δὲ χείρονι δόσκεν“ (Il. 14. 382), τοῦτον τὸν τρόπον καὶ χερείονι χέρει· καὶ ἐπεὶ κακόφωνόν ἐστι, τροπὴ ἐγένετο τῆς ει διφθόγγου εἰς τὸ η. οὕτως Ἡρωδιανός. A.

81. α ὐ τ ῆ μ α ρ: ἐπίῤῥημα, ὡς τὸ ἐννῆμαρ καὶ ἐξῆμαρ. καὶ ἐχρῆν μὲν αὐτὸ ἀναπέμπειν τὸν τόνον ὡς βούκερως. ἀλλ' ἐπεὶ οὐδὲν τῶν εἰς αρ συντέθειται ἢ μόνον τὸ ἦμαρ, πρὸς τὴν παρηλλαγμένην σύνθεσιν ἦν παρηλλαγμένος καὶ ὁ τόνος. L. Cf. ad v. 53.

85. ε ἰ π έ: τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα, ἐλθέ, εὑρέ, εἰπέ· ἰδίως δὲ καὶ μακρᾷ παραλήγοντα. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυπαραλήκτων ὀξύνουσι τὸ ἰδέ καὶ λαβέ. A.

93. ο ὔ τ α ρ: οὕτως ὀξεῖαν ἐπὶ τοῦ ου· ὁ γὰρ τάρ ἐστι σύνδεσμος ἐπιφερόμενος ἐγκλιτικῶς, ὡς καὶ ἐπὶ τοῦ „εἴ ταρ δὴ εὐχωλῆς“ (65). οὐ γάρ ἐστιν ὁ τέ συμπλεκτικός· εἰ γὰρ ἦν, ἐπεφέρετο ἂν πάλιν ὁ τέ μετὰ ἀποφάσεως, οὐθ' ἑκατόμβης. οὕτως γάρ ἐστιν εὑρέσθαι τὸν τέ σύνδεσμον μετὰ τῆς οὐ ἀποφάσεως· ἔνθα μὲν οὔ τε ἄναξ ἐπιδευὴς, οὔ τέ τι ποιμήν.“ (Od. 4, 87). A.

114. ο ὔ ἑ θ ε ν: οὕτως ὀξυτονητέον τὴν οὐ ἀπόφασιν, ἵν' εἰς ἁπλῆν μεταληφθῇ ἀντωνυμίαν· τοῦτο γὰρ καὶ Ἀρίσταρχος παρήγγειλεν· ἐὰν γὰρ ὀρθοτονήσωμεν, ἔσται τὸ ἑαυτῆς σύνθετον· οὕτως οὖν ὡς τὸ „οἵ ἕθεν ὀτρύνοντα“ (Il. 15, 199) καὶ „οὕς ἕθεν εἵνεκ' ἔπασχον“ (Il. 3, 120.) A. Inserui οὖν.

116. κ α ὶ ὥ ς: τὸ ὥς, ὁπότε σημαντικόν ἐστι τοῦ ὅμως, περισπᾶται. A.

126. τ α ῦ τ': τὸ δὲ ταυτ' Τυραννίων ὀξύνει, ἵν' ᾖ τὰ αὐτά.

129. δ ῷ σ ι π ό λ ι ν Τ ρ ο ΐ η ν: οὕτως Ἀρίσταρχος τρισυλ-

λάβως καὶ ἐνθάδε καὶ ἐν τῇ Λ τῆς Ὀδυσσείας (510) „ἤτοι ὅτ' ἀμφὶ πόλιν Τροΐην φράζεο." καὶ ἐπείσθη αὐτῷ ἡ παράδοσις. ἔστι δὲ καὶ τὸ τῆς χρήσεως τῆς Ὁμηρικῆς ἰδίωμα παραφυλάξαι οὕτως, ὡς ὅτι εἴ που λέγει τὸ Τροία δισυλλάβως, οὐδέποτε ἐπιφέρει τὸ πόλις, οἷον „εἰσόκε περ Τροίην διαπέρσομεν" (Il. 9, 46) καὶ „ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες." (Il. 16, 698) καὶ „Τροίῃ ἐν εὐρείῃ" (Il 24, 256) καὶ ἀλλαχοῦ. ἐπὶ μέντοι τούτων τῶν δύο ὁμοιοπτώτως ἐπήνεγκε τὸ πόλιν τῷ Τροΐην· „δῷσι πόλιν Τροΐην" καὶ τὸ „ἤτοι ἀμφὶ πόλιν Τροΐην" (Od. 11, 510). ταῦτα ὁ Ἡρωδιανός. Inserui τῷ ante Τροΐην.

δῷσι: Ζωΐλος ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι· τὸ γὰρ δῷσί φασι πληθυντικόν. ἀγνοοῦσι δέ· ἔστι γὰρ τὸ δῷ ἑνικὸν ἐκτεταμένον (potius ἐπεκτ —), ὡς τὸ λέγῃ λέγῃσι, φέρῃ φέρῃσι. τοιοῦτόν ἐστι καὶ τὸ ἐν Ὀδυσσείᾳ (1, 168) τὸ „φησὶν ἐλεύσεσθαι" καὶ τὸ „εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδῷσιν ἕεδνα". (Od. 8, 318). κἀνταῦθα γὰρ ἀποδῷ· διὸ καὶ τὸ ῑ ἔχει προσκείμενον. μέμνηται αὐτοῦ κἀν τῇ ὀρθογραφίᾳ Ἡρωδιανός. A. Cod. Ζώϊλος.

136. ἄρσαντες: Ἀρίσταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ καὶ τὸ ε̄, πρὸ τοῦ ρ̄ ὄντα, ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται. ABL.

147. ἧμιν: οὕτως ὀξυτόνως τὴν ἄρχουσαν τοῦ ἧμιν· ἁπλῆ γάρ ἐστιν. ἐκτατέον δὲ καὶ τὴν τελευταίαν· δεῖ γὰρ ῥωννύναι μᾶλλον τὸ μέτρον. A.

154. πώποτ': οὕτως ὑφ' ἕν, πώποτε, Ἀρίσταρχος. A.

156. ἐπεὶ ἦ: περισπαστέον τὸν η̄· ἔστι γὰρ βεβαιωτικός. A.

168. ἐπεί κε κάμω πολεμίζων: Ἀρίσταρχος γράφει ἐπεί κε κάμω, ἵνα μὴ ᾖ διπλασιασμὸς ἐν τῷ ῥήματι· καὶ οὕτως ἡ συνήθης ἀνάγνωσις. οὕτως δὲ καὶ Ἡρωδιανός, φάσκων ὅτι τὸ ἐπὴν ἔχει τὸν ἄν, καὶ τίς χρεία ἐν δευτέρῳ αὐτὸν κεῖσθαι; οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς ἐπήν κε γράφουσιν. A. Sic fere, opinor, Herodianus: Ἀρίσταρχος — ἀνάγνωσις. οὕτω δὲ καὶ

ἐγὼ συγκατατίθεμαι. οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς καὶ ἐπήν κε γράφουσι. τὸ δὲ ἐπήν ἔχει τὸν ἄν — κεῖσθαι;

173. ἔγωγε: οὕτως προπαροξυτονητέον τὸ ἔγωγε, ἵν' ᾖ ἕν. A.

174. πάρ' ἔμοιγε: τὴν παρά πρόθεσιν κατὰ τὴν ἄρχουσαν ὀξυτονητέον. καὶ καθόλου ὁπότε σημαντικαί εἰσι ῥημάτων αἱ προθέσεις, τοῦτον τὸν τόνον ἀναδέχονται· „ἐπεὶ οὔτοι ἔπι δέος“ (515) καὶ „οὐ γὰρ ἔπ' ἀνὴρ οἷος Ὀδυσσεύς“ (Od. 2, 58). τὴν δὲ ἔμοιγε προπαροξυτονητέον· ἔστι γὰρ Ἀττική, ὡς καὶ ἡ ἔγωγε. A.

175. μητίετα: οὕτως Ἀρίσταρχος τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις. καὶ ἴσως πλεονασμός ἐστι τοῦ ε. A.

190. ἦ — ἦε: τὸν μὲν πρότερον σύνδεσμον βαρυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις. καὶ οὕτως ἐν τῇ καθόλου. ABL.

212. ὧδε γὰρ ἐξερέω· τὸ δὲ καὶ τετελεσμένον ἔσται. τὸ δέ: δύο μέρη λόγου εἰσίν. A.

214. σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν: τὸ ἡμῖν ὀρθοτονεῖται· ἀντιδιέσταλται γάρ, ἀντὶ τοῦ ἡμῖν πείθου καὶ μὴ τῇ σῇ ὀργῇ· κακῶς οὖν Ἀρίσταρχος συστέλλει τὴν μιν. BL. (Fluxit certe ex Herodiano.)

228. τὸ δέ τοι κὴρ εἴδεται εἶναι. τὸ δέ: ἐν δύο μέρεσι λόγου, ἵνα ᾖ τοῦτο δέ σοι θάνατος νομίζεται. AL.

229. ἦ — : περισπαστέον τὸν ἦ· κατ' ἀρχὴν γὰρ κεῖται, ἰσοδυναμῶν τῷ δή. A.

232. ἦ — λωβήσαιο: τὸν ἦ περισπαστέον· βεβαιωτικὸν γάρ ἐστιν. A.

239. ὁ δέ τοι μέγας ἔσσεται ὅρκος. ὁ δέ: ἄμεινον δύο μέρη λόγου ποιεῖν· „ὁ δέ τοι νημερτὲς ἐνίψει“ (Od. 11, 148). A.

240. Ἀχιλλῆος ποθή: τὸ ποθή ὀξυτόνως. A.

255. ἦ κεν γηθήσαι Πρίαμος: περισπαστέον τὸν ἦ· βεβαιωτικὸς γάρ. τὸ δὲ γηθήσαι παροξυτονητέον, ἐπειδὴ εὐκτικόν ἐστιν, ἡ δὲ αι ἐν τοῖς εὐκτικοῖς μακρά ἐστιν. A.

258. οἳ περὶ μὲν βουλήν: ἡ δὲ περί ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ· τὸν ἴδιον οὖν τόνον φυλάξει· πρόθεσις γὰρ ἀντὶ

ἑτέρας προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει. οὕτως ἔχει καὶ τὸ „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων“ (287). εἴτε τοῖς ἑξῆς συνάπτεται, ἀντὶ τοῦ περίεστε, πάλιν φυλάξει τὸν ἴδιον τόνον· πάλιν γὰρ πᾶσα πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει, ὡς τὸ „νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον. (Od. 1, 8). A.

264. Ἐξάδιον: παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε̄ τὸ ὄνομα ἤρξατο, παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ε̄ εὑρέθη, ὡς καὶ Ὀϊλεὺς μὲν παρὰ τῷ ποιητῇ καὶ παρ' Ἡσιόδῳ. εἰ δὲ χρὴ πρὸς τὸν χαρακτῆρά τι λέγειν, ἐκεῖνο ἔχομεν εἰπεῖν, ὡς ὅτι ἐχρῆν δασύνεσθαι αὐτό· τὸ γὰρ ε̄ πρὸ τοῦ ξ̄, ὑποστελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθαι, ἕξις, ἑξῆς, ἕξω. χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι. A.

269. μεθ': οὕτως Ἀρίσταρχος τὴν μετὰ φυλάσσων τὸν τόνον. A. Cod. φυλάσσειν.

271. κατ' ἔμ' αὐτόν: οὕτως κατὰ παράθεσιν ἐν δύο τόνοις, ἐμὲ αὐτόν· σύνθετος γὰρ ἀντωνυμία παρὰ τῷ ποιητῇ οὐκ ἔστιν. A.

276. ἔα: ἐκτατέον τὸ ἄλφα. A.

278. Πηλείδη θέλ': Ἀρίσταρχος ἀποφαίνεται ὡς κατὰ τὴν Ὁμηρικὴν συνήθειαν τὸ ῥῆμα κατὰ τὸν ἐνεστῶτα ἀπὸ τοῦ ε̄ ἄρχεται. ἀλλὰ μὴν καὶ ἡ κίνησις ἡ τοῦ παρατατικοῦ· „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει“ (287)· „ἤθελε Μηριόνης“ (Il. 10, 229). καὶ ἐνθάδε οὖν ἄμεινον τῇ συνηθεστέρᾳ ἀναγνώσει προςέχοντας ἐπὶ τὴν δη συλλαβὴν ὀξεῖαν παραλαμβάνειν, ἵνα κρᾶσις ᾖ τοῦ ἔθελε τρισυλλάβου γενομένου, ὡς καὶ σύνηθές ἐστι τῷ ποιητῇ. τὸ μέντοι ῥῆμα τῶν παραλόγων κατὰ τόνον ἐστὶ τρισύλλαβον ὄν, ὡς δείκνυται ἐν τοῖς περὶ ῥημάτων. A. Cf. Θ, 229. — ἐστι τῷ ποιητῇ scripsi pro ἐστιν ὁ ποιητής.

280. καρτερός: τὰ εἰς τερος τρισύλλαβα βαρύνεται, οἷον σφέτερος, πρότερος, κόντερος. πῶς οὐχὶ κάρτερος κατὰ βαρεῖαν λέγομεν; ὅτι τοῦτο οὐκ ἦν εἰς τερος ἀλλ' εἰς ερος· τὸ γὰρ τ̄ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν· ἦν γὰρ ἀπὸ τοῦ κράτος. ὡς ἀπὸ τοῦ βλάβος βλαβερός οὐ διὰ τοῦ βερος ἡ παραγωγὴ (ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β̄), οὕτως καὶ ἀπὸ τοῦ κράτος κρατερός διὰ τοῦ ερος ἡ παραγωγή, οὐ διὰ τοῦ τερος. A.

293. οὐτιδανός: ὡς πευκεδανός, ληθεδανός. οἱ δὲ οὔτις οὐτίδανος, ὡς οὐδάμινος. A.

294. εἰ δή σοί: οὕτως ὀρθοτονητέον τὴν ἀντωνυμίαν· ἀντιδιασταλτικὴ γάρ ἐστιν. διδάσκει καὶ ἡ γραφὴ διὰ τοῦ σ οὖσα· εἰ γὰρ ἦν ἐγκλιτική, ὁμοίως ἂν ἐγράφετο τῷ „εἰ δή τοι σοῦ πατρός“ (Od. 2, 271) καὶ τῷ „καί τοι ἐγὼ συνέριθος“ (Od. 6, 32). περὶ δὲ ταύτης τῆς ἀναγνώσεως ἐντελέστερον διαληψόμεθα ἐν τῇ Γ τῆς Ὀδυσσείας (50) ὅταν περὶ τῆς Ζηνοδοτείου γραφῆς ἐπιζητῶμεν, πότερον τοῦ ἕνεκα σοὶ προτέρῳ ἢ „τοῦ ἕνεκά τοι.“ A. Ζηνοδοτείου scripsi pro Ὀδυσσείου.

301. ἀέκοντος: δασυντέον τὸ ἀέκοντος· κατὰ στέρησιν γάρ ἐστι τὸ α. BL. (Cf. E, 164).

302. εἰ δ' ἄγε μὴν πείρησαι: προπαροξυτονητέον τὸ πείρησαι, ἵνα ᾖ προστακτικόν, ὡς τὸ „σὺ δὲ φράσαι“ (83), καίτοι πολλάκις τῶν τοιούτων τὸν τόνον ἐχόντων τῶν ἀπαρεμφάτων, λέγω δὲ τῶν εἰς αι ληγόντων· „ἀλλά με κακκεῖαι σὺν τεύχεσι“ (λ, 74) „τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοιο τανύσσαι“ (Od. 5, 346.) οὐ μέντοι τὸ τοιοῦτο διηνεκές· ἔστι γὰρ ἃ καὶ ἐφύλαξαν τὸν ἴδιον τόνον· „ἀλλὰ σὺ μὲν κατάλεξαι“ (Od. 19, 44) καὶ „νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι“ (Il. 22, 285). καὶ τὸ τοιοῦτο διδάξαι ἄν, ὅτι ἐπὶ τινῶν μὲν ἤλλαξαν τοὺς τόνους, ἐπὶ τινῶν δ' οὔ. ἐνθάδε μέντοι κατὰ λόγον δοκεῖ ἡ προστακτικὴ ἀνάγνωσις κεῖσθαι· εἰ γὰρ πρόκειται τὸ ἄγε παρακελευστικὸν ἐπίῤῥημα, ὅπερ σημεῖόν ἐστι προστακτικῆς ἐγκλίσεως, οἰκείως καὶ τὰ τῆς ἀναγνώσεως ἐνεγένετο, ἄγε πείρησαι, ὡς καὶ ἐν ἑτέροις „δεῦρ' ἄγε καὶ σὺ ξεῖνε πείρησαι ἀέθλων“ (Od. 8, 145) A. διδάξαι scripsi pro δόξει.

335. ὔμμες: οὕτως ψιλωτέον τὸ υ τοῦ ὔμμες· ἡ γὰρ λέξις Αἰολική. ἐπιμαρτυρεῖ καὶ ἡ συναλοιφὴ „αἴχ' ὔμμιν ὑπερσχῇ χεῖρα Κρονίων.“ (Il. 4, 249) ABL.

363. εἴδομεν: προπαροξύνεται τὸ εἴδομεν, ἀπὸ βαρυτόνου τοῦ εἴδω. οὐ θαῦμα δέ, εἰ τὸ αὐτὸ καὶ ὡς βαρύτονον καὶ ὡς περισπώμενον κλίνει. ἢ ὅτι ἀνθ' ὑποτακτικοῦ ἐστί, καὶ ἡ συστολὴ ἀνέδωκε τὸν τόνον· οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον. A.

364. στενάχων: ὁ Σιδώνιος περισπᾷ, ὁ δὲ Ἀρίσταρχος

βαρύνει. τὰ πολλὰ γάρ, φησί, κινήματα ὡς ἀπὸ βαρυτόνου γέγονεν· „βαρὺ δὲ στενάχοντος ἄκουσα (Od. 8, 95)· „ἐπεστενάχοντο δ' ἑταῖροι". (Il. 4, 154). BL.

368. δάσσαντο μετὰ σφίσιν: τοῦ σφίσι τὴν πρώτην ὀξυτονητέον, ἐπειδήπερ εἰς σύνθετον ἡ μετάληψις, εἰ καὶ οὐκέτι διηνεκὴς ὁ λόγος· ἔστι γάρ τινα ἐναντιούμενα· „τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ" (Od. 17, 441). καὶ ὅτι μετὰ προθέσεώς ἐστιν. ὅταν γὰρ πρόθεσις ᾖ μετὰ ἀντωνυμίας, ὀρθοτονεῖται ἡ ἀντωνυμία· „σὺν σοὶ δῖα θεά" (Il. 10, 290)· „προτὶ οἷ δ' ἔλαβ' ἔντεα" (Il. 20, 418)· „κατὰ σφέας γὰρ μαχέοντο" (Il. 2, 365)· „ἀπὸ ἕο χάββαλεν" (Il. 5, 343)· „ἀμφὶ ἓ παπτήνας" (Il. 4, 497), τοῦ „ἀλτ' ἔπι οι μεμαώς" (Il. 21, 174) ζήτησιν ἔχοντος. A. qu. ep. 119.

396. πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα: Ἀρίσταρχος ἐγκλιτικὴν παρέλαβε τὴν ἀντωνυμίαν σέο, λέγων τὸ δηλούμενον εἶναι τοιοῦτο, πολλάκις γάρ σου ἐν τοῖς τοῦ πατρός μου δόμου ἤκουσα καυχωμένης. ἐὰν γάρ, φησί, κατ' ὀρθὸν τόνον ἀναγνῶμεν, ἔσται ἐν τοῖς τοῦ Νηρέως οἴκοις ὁ Ἀχιλλεὺς αὐτὴν ἀκηκοώς· ταύτην δὲ τὴν ἱστορίαν οὐκ οἶδεν Ὅμηρος. τοσαῦτα ὁ Ἀρίσταρχος καὶ οἱ ἀπ' αὐτοῦ. Πτολεμαῖος δὲ συγκατατίθεται μὲν τῇ ἐγκλιτικῇ ἀναγνώσει, οὐ μὴν τῇ προκειμένῃ αἰτίᾳ, εἴγε ἤδη καὶ αὐτὸς ὁ Ἀρίσταρχος τὸ τοιοῦτο, φησί, παρεφύλασσεν, ὡς ὅτι ταῖς μὲν πρωτοτύποις οὕτως χρῆται κατὰ γενικήν, ἐμέο, ἐμεῖο, ἐμεῦ, ἐμέθεν, ὁμοίως καὶ ἐπὶ δευτέρου καὶ τρίτου, ταῖς δὲ κτητικαῖς ἤτοι ἐμοῦ ἢ ἐμοῖο, σοῦ σοῖο. ἐγίνετο οὖν, εἴπερ ἦν κτητική, σοῖο, ὥστε κἂν ὀρθοτονήσωμεν τὴν σέο, οὐ δύναται ἀμφίβολος καθίστασθαι· ἡ γὰρ γραφὴ διελέγχει ὅτι πρωτότυπός ἐστιν. ἐγένετο οὖν ἐγκλιτικὴ ἡ ἀνάγνωσις, ἐπειδήπερ ἁπλῆ ἐστι καὶ οὐκ ἔχει ἀντιδιαστολήν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις. A.

420. εἶμ': προπερισπᾶται, ὅτε ἐπὶ τοῦ πορέομαι· ὅτε δὲ ἐπὶ τοῦ ὑπάρχω, ὀξύνεται. A.

421. νῦν: τὸ νῦν ἀντὶ τοῦ δή· διὸ καὶ Τυραννίων ἠξίου ὀξύνειν αὐτό, οὐκ εὖ. ABL.

443. παῖδά τε σοὶ ἀγέμεν: τὸ σοὶ ὡς ἀντιδιαστελλόμενον τῷ Φοίβῳ δεῖ ὀρθοτονεῖν, καὶ διὰ τὸν τέ. BL.

464. μῆρ' ἐκάη: Πτολεμαῖος τὸ ε τελευταῖον λαμβάνει τοῦ μῆρε, ἵνα ἰακώτερον ἐκδέξηται τὸ κάη. καὶ Ἀρίσταρχος δὲ οὕτως. δύναται δὲ καὶ ἐκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τοῦ α, ὥςπερ καὶ ἐπὶ τοῦ ἐντελεστέρου αὐτοῦ ὁρῶμεν „ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (40)· τὸ δὲ τοιοῦτο πολὺ παρὰ τῷ ποιητῇ, λέγω δὲ τὸ καὶ τὸν χρόνον τὸν ἔξωθεν φυλάσσειν τὸ ῥῆμα καὶ συνάρχεσθαι τῷ ἐνεστῶτι. ἀπεφηνάμην („dixi") δὲ ἐντελέστερον τὸ μηρίον τοῦ μήρου ὄν· ἐκ γὰρ συγκοπῆς αὐτοῦ ἐγεγόνει· ἐπείτοι εὐθύνεται ὁ τόνος· τὰ γὰρ εἰς ος λήγοντα, μεταπλασσόμενα εἰς οὐδέτερον γένος τὸ εἰς ον λῆγον, τὸν αὐτὸν τόνον φυλάσσει· ὁ ζυγός τὸ ζυγόν — τὰ ζυγά, δίφρος δίφρον, δίφρα. ὅθεν εἰ καὶ μηρός, καὶ μηρόν καὶ μηρά. [εἰ δὲ μῆρα καὶ μήρους]. εἰ δὲ δοίημεν, ὅτι κυρίως τὰ ἁγιαζόμενα θεοῖς μῆρα καλεῖται, τὸ περὶ τοῦ σημαινομένου καὶ τοῦ περὶ τὸν τόνον ἁμαρτήματος τὴν λέξιν ἀπολύει. **Transiit in E. M. Scripsit Herodianus fortasse** τὸ τοῦ σημαινομένου; **quamquam non necessario.**

465. μίστυλλον τ' ἄρα τἆλλα: τὸ τἆλλα κατὰ συναλοιφήν ἐστιν, ὡς τἄργα. ὁ δὲ Ἡρωδιανὸς τὸν τέ πληρωματικὸν ἀποδέχεται· καὶ λείπει τὸ ἄρθρον Ὁμηρικῷ ἔθει. **BL.** (v. Α, 636. N, 510.)

469. πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο: τὸ μὲν ἔρον ὡς Αἰολικὸν ψιλωτέον, ἢ καθὸ τὸ ε καὶ α πρὸ τοῦ ρ φωνήεντος ἐπιφερομένου ψιλοῦται. τὸ δὲ ἕντο δασυντέον. **ABL.**

486. ἕρματα: τὸ ἕρματα, εἰ καὶ ἐκ τοῦ ἐρείσματα, οὐ ψιλοῦται, ὥς τινες, ἐπεὶ τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα εἰς ρ ἐπιφερομένου τοῦ μ δασύνεται, ὅρμος ἅρμα Ἑρμῆς ὅρμαθος. ἔνθεν ἡ πλείων χρῆσις τὸ ἁρμοῖ δασύνει. τὸ μέντοι ἄρμενον καὶ ὅρμενον ψιλὸν πνεῦμα ἀνεδέξατο. **A.**

493. ὅτε δή ῥ' ἐκ τοῖο: Ἀρίσταρχος ὁτεδή ὡς δηλαδή παραλόγως ἀνεγίνωσκε. Πάμφιλος δὲ τὸ ὅτε κατ' ἰδίαν ἀναφορὰν ἀναλόγως· διαφέρει γὰρ τὸ ὅτε ὀξυνόμενον κατὰ τὴν πρώτην τοῦ ὁτέ ἀορίστου. ὥςτε ἐὰν θελήσῃ ὁ Ἀρίσταρχος ἀναγινώσκειν ὁτεδή ὡς δηλαδή, πρῶτον τὴν μὴ οὖσαν χρῆσιν παρὰ τῷ ποιητῇ παραλήψεται, δεύτερον τὸ σημαινόμενον παραφθερεῖ. τὸ δὲ τοῖο προπερισπαστέον· τὸ γὰρ τοῦ Θεσσαλικῶς παραυξηθὲν

ἐγένετο τοῖο ὡς καλοῦ καλοῖο. ἀποφήνασθαι δεῖ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προςῳδίᾳ (Ε, 266) διαλαμβάνων περὶ τοῦ „ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο“ λέγει, ὅτι τοῦ ὁτέ ὀξυτόνου ἀορίστου οὐκ ἔστιν ἡ χρῆσις παρὰ τῷ ποιητῇ· ἐν μέντοι τῷ ἐννεακαιδεκάτῳ τῆς καθόλου τὸ „ὡς Ἕκτωρ ὁτὲ μὲν μετὰ πρώτοισι φάνεσκεν“ (Il. 11, 64) ὀξυτόνως δεῖν φησιν ἀναγινώσκεσθαι. A. Scripsi ἀναφορὰν pro ἀναφορικὸν.

508. μητίετα: ἐχρῆν αὐτὸ παροξύνειν, εἴγε τὰ εἰς της λήγοντα βαρύτονα βραχείᾳ παραληγόμενα, ἀπρόςληπτα τοῦ σ ἐπὶ γενικῆς, καὶ ἐπὶ κλητικῆς παροξύνεται, οἰκέτα, φυλέτα, εὐνέτα. παραλόγως ἄρα ἡ εὐρύοπα, δέσποτα καὶ τὸ μητίετα. ἔστι δὲ εἰπεῖν ὅτι ἀπὸ τοῦ μητῖτα κατὰ πλεονασμὸν τοῦ ε καὶ συστολῇ τοῦ ι, ἀπὸ εὐθείας τῆς μητίτης, κλητικὴ γέγονε μητίετα· καὶ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε μετὰ τὸν πλεονασμόν. A. Inserui ἐπὶ ante κλητικῆς.

513. ὡς ἔχετ' ἐμπεφυυῖα καὶ εἴρετο δεύτερον αὖτις. εἴρετο: Δημήτριος ὁ Ἰξίων προπερισπᾷ, παραλαμβάνων τὸ τό ἄρθρον. A.

518. ἦ: περισπαστέον τὸν ἦ· ἔστι γὰρ βεβαιωτικὸς ἐν ἀρχῇ κείμενος, ὁμοίως τῷ „ἦ δὴ ἀλιτρός ἐστι“ (Od. 5, 182). A.

519. ὅταν: τὸ τέλειον ὅτε ἄν ἐστί, καὶ κατὰ συναλοιφὴν ὅτ' ἄν· ἐν δὲ τῇ συντάξει κεκοίμισται ἡ ὀξεῖα τοῦ ἄν, ὡς τὸ „οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων“ (Il. 8, 455)· „οὐκ ἂν δὴ μείνειαν“ (Il. 3, 52). ἀεὶ οὖν οὕτως ὀφείλομεν ἀναγινώσκειν ἐπὶ τὴν ἄρχουσαν ὀξεῖαν ποιοῦντες· „ὡς δ' ὅταν ὠδίνουσαν“ (Il. 11, 209). καὶ τοτὲ μὲν ἐν σημαινομένῳ ὀφείλομεν παραλαμβάνειν τὸ ἄν, ὅταν ὑποτακτικὸν ἐπιφέρῃ ἢ εὐκτικόν, τοτὲ δὲ παρέλκοντα, ὅταν μὴ οὕτως ἔχῃ. πρόδηλον δὲ ἐκ τοῦ χαρακτῆρος, ὅτι οὐ δύναται ἓν εἶναι, εἴ γε τὰ εἰς αν ἐπιῤῥήματα οὐδέποτε συστέλλει τὸ α· τὸ γὰρ πάμπαν οὐ φύσει ἐπίῤῥημα. ἀλλὰ μὴν οὐδὲ σύνθετον δύναται εἶναι· οὐδέποτε γὰρ τὰ ἀναφορικὰ τῶν ἐπιῤῥημάτων κατ' ἀρχὴν συντίθεται. A.

532. ἄλτο: ψιλωτέον. καὶ τάχα μὲν ἀπέλαβε τὸ προοφειλόμενον πνεῦμα· ἠλόγητο γὰρ τὸ ἅλλομαι δασυνόμενον, εἴγε τὸ α πρὸ δύο λ ἐψιλοῦτο, ἄλλος ἀλλότριος. τάχα δ', ὅπερ καὶ μᾶλλον, ἐπεὶ τὸ α καταλῆγον εἰς λ, ἐπιφερομένου στοιχείου ἑνὸς

τῶν τῆς τρίτης συζυγίας ψιλοῦται. „Ἄλτεω ὃς Λελέγεσσι" (Il. 21, 86)· „λητοῦ ἀλδήσκοντος" (Il. 23, 599)· „ἄλθετο χείρ" (Il. 5, 417). ἔνθεν τινὲς καὶ τὸ „ὃς τοῦτον τὸν ἄναλτον" (Od. 18, 113) ψιλῶς προφέρονται. A.

535. ἔσταν: ψιλωτέον τὸ ἔσταν, ἐπεὶ γίνεται „στὰν δὲ μεταστοιχεί" (Il. 23, 358)· τὸ γὰρ αἰρόμενον ἐκ τοῦ ῥήματος ε ἐν ψιλῷ πνεύματι· οἷον ἕστηκα δασύνεται, ἐπεὶ οὐκ ἀποβάλλει τὸ ε· ὁ δὲ ἔστησα ψιλοῦται, ἐπεὶ γίνεται „στῆσα δ' ἐν Ἀμνισῷ ποταμῷ." (Od. 19, 188.) A. Inserui οἷον ἕστηκα et scripsi δασύνεται pro οὐ δασύνεται. Praeterea peccat Cod. Ἀμνησῷ.

540. δολομῆτα: προπερισπαστέον τὸ δολομῆτα ὁμοίως τῷ „σχέτλιε ποικιλομῆτα (Od. 13, 293). καὶ καθόλου τὰ εἰς της λήγοντα βαρύτονα, ὅτε ἐπὶ κλητικῆς εἰς α λήγει, προπερισπᾶται, ἀλῆτα, πλανῆτα, νικῆτα, κεδῆτα, αἰσυμνῆτα. ἔνθεν οὖν σημειωτέον τὸ ἀκάκητα. ABL. ?

542. οὐδὲ τί πώ μοι: τὸ δὲ πω ὀξύνεται διὰ τὴν μοὶ ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐστιν. A.

554. εὔκηλον: τὸ εὔκηλον ψιλοῦται κατὰ δύο λόγους, καὶ ὅτι τὸ υ ἐπεντιθέμενον ψιλοῖ τὰ δασυνόμενα φωνήεντα, ὅρος οὖρος, ὅλος οὖλος, καὶ ὅτι ἡ ευ δίφθογγος ἐπιφερομένου συμφώνου ψιλοῦται, εὐνή, εὐχή, εὖρος. ἐναντιοῦται τὸ εὕδω καὶ εὑρίσκω· τὸ γὰρ εὗσεν δασυνόμενον ἀπὸ θέματος τοῦ εὕω. B.

565. κάθησο: προπαροξυτόνως. τὰ γὰρ σύνθετα προστακτικὰ βραχυκατάληκτα ὡς ἐπὶ τὸ πλεῖστον ἀναπέμπει τὸν ἑαυτῶν τόνον, τὰ δὲ μακροκατάληκτα τὸν αὐτὸν τοῖς ἁπλοῖς φυλάττει τόνον. βραχυκατάληκτα μὲν λέγε κατάλεγε, σπεῖρε κατάσπειρε· οὕτως οὖν καὶ ἧσο κάθησο. μακροκατάληκτα δὲ νοοῦ διανοοῦ, ποίει περιποίει. A. Scripsi ἁπλοῖς pro αὐτοῖς.

567. ἀάπτους: οὕτως ψιλῶς προενεκτέον· οὕτως δὲ καὶ Ἀρίσταρχος· ἤκουε δὲ τὰς δεινὰς καὶ ἀπτοήτους. ὁ δὲ Ζηνόδοτος καὶ αὐτὸς ὁμοίως τῷ πνεύματι, εἰς τὰς ἰσχυρὰς δὲ μετελάμβανεν. ἐν δὲ ταῖς Ἀριστοφάνους γλώτταις διὰ τοῦ ε ἐγέγραπτο ἀέπτους. εἰσὶ δὲ οἳ ἀπροσπελάστους ἀποδιδόασιν, ἀπὸ τοῦ ἅψασθαι, ὧν οὐδεὶς ἂν ἅψαιτο δι' ἰσχύν. ἐμοὶ δὲ δοκεῖ παρὰ τὸ ἰάπτω γεγενῆσθαι, ὃ σημαίνει τὸ διαφθείρω καὶ βλάπτω· ἔνθεν τὸ „πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν"

καὶ μέσον αὐτοῦ κατ' ἔλλειψιν τοῦ α „μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν" (454). ἔνθεν καὶ τὸ ἴψ· ἔστι δὲ θηρίον διατρῶγον τὰ ξύλα. ἀπὸ δὴ τούτου τοῦ ἰάπτω τὸ ἀϊάπτους ἦν καὶ κατ' ἔλλειψιν τοῦ ι ἀάπτους ἤτοι τὰς μὴ δυναμένας διαφθαρῆναι καὶ βλαβῆναι, ἢ κατ' ἐπίτασιν τὰς ἄγαν δυναμένας βλάψαι καὶ διαφθεῖραι. A. Brevem huius notae summam BLV ita incipiunt: Ἡρωδιανὸς παρὰ τὸ ἰάπτω — Eustath. h. l. et Etym. referentes Herodianum ἰάπτω duxisse ab ἴψ fidem non invenient.

573. Deest nota de accentu in ἀνακτός, ut patet ex Θ, 355.

574. σφώ: οὐ πρωτόθετον αὐτήν φησιν Ἡρωδιανός, δυικὸν ἀπὸ τῆς σφῶϊ· διὸ ὀξύνεται· τὸ γὰρ ω τῶν δυϊκῶν ἀπέστραπται τὴν περισπωμένην. BL. οὐ πρωτόθετον dedimus pro πρωτόθετον, et δυικὸν pro οὐκ. Cf. Io. Al. p. 23.

576. ἧδος: ψιλωτέον ὡς τροχαϊκὸν τῶν εἰς ος ληγόντων. κατὰ μετασχηματισμόν ἐστι τὸ ἧδος τοῦ ἡδονή· δασυνόμενον γὰρ μετασχηματίζεται εἰς τὸ ἦδος ψιλούμενον, ὡς τὸ ἡμέρα μετασχηματίζεται εἰς τὸ ἦμαρ ψιλούμενον καὶ τὸ ἅμα εἰς τὸ ἄμυδις. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ. A. Citatur cum indice Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ Et. M. 420 s. ἦδος. Ubi recte scriptum κατὰ μετασχηματισμόν, quod hic induximus, pro eo quod erat κατὰ σχηματισμόν. Caeterum cf. Herod. infra I, 6. Quae Et. hic addit ejusdem sententiae, item Eustathius, ex Symposio Herodiani videntur hoc loco scholiorum adjecta invenisse. — Praeterea τοῦ ἡδονὴ scripsimus pro τὸ ἡδονή.

579. ἧμιν: πιθανώτερον ὀξύνειν τὴν πρώτην τοῦ ἡμιν καὶ ἐκτείνειν τὴν τελευταίαν. A.

600. Ἥφαιστον: δασύνεται διὰ τὴν ἐτυμολογίαν· παρὰ γὰρ τὸ ἅπτω ἐγένετο. A.

611. ἔνθα καθεῦδ' ἀναβάς: τὸ δὲ καθεῦδε προπερισπᾶται ὅτι τὰ ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ῥήματα κατὰ τοὺς παρῳχημένους χρόνους ἐν ὁριστικοῖς, ἀπαθῆ ὄντα, φυλάσσει τὸν τόνον ἐν τῇ συνθέσει, εἶχον κατεῖχον· ὅθεν εἰ „εὗδε δ' ἀνακλινθείς" (Od. 4, 798), δῆλον ὅτι καθεῦδεν ὁμοτόνως ὀφείλομεν προφέρεσθαι. A.

ΕΙΣ ΤΗΝ Β.

6. ἐπ' Ἀτρείδῃ: οὐκ ἀναστρέφεται ἡ πρόθεσις. αἱ γὰρ συναλειφόμεναι οὐκ ἀναστρέφονται, εἰς μονοσυλλαβίαν περισπάμεναι. A.

8. βάσκ' ἴθι: Τυραννίων ὑφ' ἓν ὡς ἄπιθι· παραιτητέον δέ· τὰ γὰρ εἰς μι λήγοντα μετὰ προθέσεως φιλεῖ συντίθεσθαι, μετ' ἄλλων δὲ λέξεων οὐκέτι. καὶ πάλιν τὰ διὰ τοῦ κ παραχθέντα κατ' ἀρχὴν οὐ θέλει συντίθεσθαι. καὶ ἄμεινον ταυτολογίαν εἶναι, ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ „ἔλθοι καὶ ἵκοιτο". „ἔπος τ' ἔφατ' ἐκ τ' ὀνόμαζεν." AB.

11. θωρῆξαί ἑ κέλευε: ἐγκλιτέον τὴν ἕ. BL.

26. ἄγγελος: τὴν λος ὀξυτονητέον διὰ τὸ εἰμί. A.

28. θωρῆξαί σε: τοῦ θωρῆξαι τὴν τελευταίαν ὀξυτονητέον· ἀπολελυμένη γάρ ἐστιν ἡ σέ. A.

36. ἅ ῥ'. δασυντέον τὸ ἅ. ἄρθρον γάρ ἐστι· καὶ δύο μέρη λόγου ἅ ῥα, ἃ δή. A.

73. ἣ θέμις ἐστί: τὸ ἣ δασυντέον· οὐ γάρ ἐστι σύνδεσμος ἀλλ' ἰσοδυναμοῦν τῷ ὥς ἐπίρρημα. A.

87. ἁδινάων: δασυντέον τὸ ἁδινάων· ἀπὸ γὰρ τοῦ ἅδην καὶ ἁδινός ἡ κίνησις. AB. Cod. ἁδηνός.

96. ἐννέα: τὸ ἐννέα ψιλοῦται, ὅτι πᾶν φωνῆεν καταλῆγον ἢ εἰς ν ἢ εἰς γ, τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἀπὸ συμφώνου, ψιλοῦται, ἀντίος, ἔγχος, τοῦ ἁνδάνω ὑπεξαιρουμένου. A.

115. δυςκλέα: συσταλτέον τὴν τελευταίαν τοῦ δυςκλέα ὡς ἀμφηρεφέα, ὁμοίως τῷ ἀκλέα (sic) ἀνδρῶν, „ἀκλέα ἐν με, γάρῳ." (Od. 4, 728; nunc ἐκ μεγάρων). A. Cf. Arcad. 196.

150. νῆας ἔπ' ἐσσεύοντο: οὕτως ἔπ' ἐσσεύοντο. οὐκ ἀναστρέφεται ἡ πρόθεσις, ὅτι συνήλιπται. διὸ καὶ ἐλέγομεν ἕνεκα ἑτέρου σημαινομένου τὸν Ἀρίσταρχον κατ' ἀναστροφὴν ἀνεγνωκέναι τὸ „στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεναι" (Il. 16, 191). οὐκ ἀναστρέφονται γὰρ, εἰ μὴ ἐπὶ τέλους κέωνται ἢ ῥῆμα δηλῶσι. A. Scripsi ἢ ῥῆμα δηλῶσι pro ῥῆμα δηλοῦσαι. v. quaest. ep. p. 76.

153. οὐρούς: ψιλοῦται. ἐν πλεονασμῷ γὰρ τοῦ υ ἐγένετο, ὡς καὶ ὅλος οὖλος. ἀνεγνώθη δὲ κατ' ὀξεῖαν τάσιν· ὁ γὰρ Αρίσταρχος παρήγγελλεν. ἴσως δὲ σημειώδης ὁ τόνος· τὰ γὰρ εἰς ρος λήγοντα δισύλλαβα ἁπλᾶ ἔχοντα τὴν ου δίφθογγον ἐβαρύνετο, κοῦρος, θοῦρος, οὖρος· καὶ γὰρ ταῦτα περισσὸν ἔχει τὸ υ. ἴσως οὖν εἰς ἀποφυγὴν τοῦ ἐπὶ τοῦ ἀνέμου· καὶ γὰρ καὶ ἐπ' ἄλλων τὸ τοιοῦτο ποιεῖ ὁ ἀνήρ. Α.

154. ἥρεον: δασυντέον τὸ ἥρεον· ἀπὸ γὰρ τοῦ αἱρῶ περισπωμένου καὶ δασυνομένου γέγονεν. Α.

155. ὑπέρμορα: οὕτως ὑφ ἓν τὸ ὑπέρμορα· οὐ γάρ, ὥς τινες, κατὰ διάστασιν. ἔστιν οὖν τι μόρος, ὃ συντεθὲν γίνεται ὑπέρμορος ὡς ὠκύμορος, οὗ οὐδέτερον τὸ ὑπέρμορον καὶ πληθυντικὸν τὰ ὑπέρμορα. ὡς οὖν τὸ καλὰ καὶ ὄνομα ἀλλὰ καὶ ἐπίῤῥημα „ἤ μευ καλὰ πατὴρ ὣς κήδεαι" (Od. 17, 397) καὶ „πυκνὰ μάλα στενάχων" (Il. 18, 318) οὕτως καὶ ὑπέρμορα νόστος ἐτύχθη. Α.

162. φίλης ἀπὸ πατρίδος αἴης: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ὡς Τυραννίων καὶ Πτολεμαῖος· ὁπότε γὰρ γενικῇ συντάττεται ἡ ἀπὸ μὴ μεταξὺ πιπτουσῶν λέξεων καὶ σημαίνῃ τὸ ἄποθεν τηρεῖ τὸν τόνον· „καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο" (292) Α. Inserui μεταξὺ — ἄποθεν. Vide Σ, 64.

164. σοῖς δ' ἀγανοῖς: ψιλωτέον τὸ ἀγανός· τοιοῦτο γὰρ τὸ α πρὸ τοῦ γ. Α.

175. φεύξεσθ ἐν νήεσσι πολυκλήϊσι: τινὲς προπερισπῶσιν, ὡς καὶ τὸ ἁπλοῦν „ἐπὶ κληῖσι καθῖζον" (Od. 2, 419)· ὡς γὰρ πλοκαμίς — „ἐϋπλοκαμῖδες Ἀχαιαί" (ib. 119) οὕτως καὶ κληΐς καὶ πολυκληΐς. οὐκ ἔχει δὲ οὕτως ἡ ἀνάγνωσις. ἔστιν οὖν λόγος ὑπὲρ τῆς βαρυνομένης λέξεως οὗτος. τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξυνόμενα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, εἰ δὲ μεταληπτικὰ γίνοιτο καὶ ἀρσενικοῦ, μεθίσταται καὶ εἰς βαρεῖαν τάσιν ἀναγκαίως. τοῦ μὲν προτέρου, φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, περισκελίς, τοῦ δὲ δευτέρου δύσελπις. ταύτῃ οὖν τὸ μὲν καταιγίς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτως οὖν καὶ τὸ εὐκλήϊς καὶ πολυκλήϊς βαρυνθήσεται· τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπις (quod jam

ex significatione sua fere masculinum)· καὶ γὰρ ἐπὶ Ἀμαζόνος ταγείη ἄν. καὶ τὸ εὐκνήμις ἀμέλει ἐπὶ Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ ἐν Θεσσαλικοῖς. „τοὶ δ' ἤδη ἐπὶ νηὸν ἐϋκνήμιδος Ἰτώνης." A. Transiit in Et. 518, 43. — Lob. Pathol. 462. Scribendum erat μεταληπτικὰ pro μεταληπτικὸν, εὐκλῄς καὶ πολυκλῄς pro εὔκλῄς καὶ πολύκλῄς v. Herod. π. διχρ. Cram. p. 299, item post εὐκνήμις pro εὔκνημις; denique νηὸν ut est in Et. pro νηῶν: v. Mein. Anal. 190.

190. οὔ σε: ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ συνήθεια. BL.

201. οἵ σέο: οὕτως ὀρθοτονητέον τὴν σέο· ἀντιδιασταλτικὴ γάρ ἐστιν. A.

207. δίεπε: δασυντέον τὸ ἕπω· πρόδηλον κἀκ τῆς συναλοιφῆς, ὡς ἔφεπε. A.

223. νεμέσσηθέν τ': ὁ τε σύνδεσμος ἐγκλιτικὸς ὢν τὴν πρὸ ἑαυτοῦ συλλαβὴν ὀξύνει. A.

255. τὸ ὅτι οἱ ἐν μιᾷ ὀξείᾳ προενεκτέον· πᾶσα γὰρ δίβραχυς λέξις πρὸ ἐγκλιτικοῦ οὐκ ἐπιδέχεται ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἐπιφέροιτο ἀντωνυμία διὰ τοῦ σφ, σεσημειωμένου τοῦ „ἔνθ' ἔσάν οἱ πέπλοι" (Od. 15, 105). ABL.

διδοῦσιν: οὕτως περισπωμένως τὸ διδοῦσιν· τὸ γὰρ ῥῆμα διδῶ. A.

262. αἰδῶ: Ἀρίσταρχος περισπωμένως ἀναγινώσκει ὁμοίως καὶ τὸ „ἠῶ δῖαν ἔμιμνε" (Il. 9, 662). καὶ ἡμεῖς δὲ αὐτῷ συγκατατιθέμεθα. Διονύσιος δὲ ὁ Σιδώνιος ὀξύνει. Πάμφιλος δὲ πάσας τὰς τοιαύτας αἰτιατικὰς περισπᾷ· „Λητῶ γὰρ δ' ἥλκησε" (Od. 11, 580) καὶ „Πυθῶ δ' ἐρχομένην." (ibid. 581) ἐπεί, φησίν, Λητόα ἐστὶ καὶ Πυθόα. Διονύσιος δ' ὁ Θρᾷξ φησι κακῶς ἀνεγνωκέναι Ἀρίσταρχον κατὰ τὸν περισπώμενον τόνον τὸ μὲν αἰδῶ καὶ ἠῶ, τὰ δὲ ἄλλα κατ' ὀξεῖαν τάσιν, Πυθώ Λητώ· ἐχρῆν γάρ φησιν ὁμοίως ἀνεγνωκέναι. οὐκ εὖ δὲ μέμφεται τῷ Ἀριστάρχῳ, εἴγε ἤδη διάφοροι αἱ εὐθεῖαι, ἠώς αἰδώς, Λητώ δὲ καὶ Πυθώ. ἔστιν οὖν λόγος ὑπὲρ τῆς Ἀρισταρχείου ἀναγνώσεως καὶ τῆς κατεγνωσμένης προσῳδίας οὗτος, ὅτι ἐχρῆν μὲν τὸ Πυθώ περισπᾶσθαι, ἐπειδήπερ Πυθόα ἐστί, καὶ τοῦτο ἀπῄτει ἡ συναλοιφή· ἀλλὰ πάλιν τὸ πτωτικὸν ω̄ ἀπέστραπται τὸν περισπώμε-

νον τόνον· κατὰ τοῦτο ὠξύνετο. ταύτῃ γοῦν καὶ τοῦ χρυσοῦς περισπωμένου τὸ δυϊκὸν ὀξύνομεν. οὕτως ἀποδείκνυται, ὅτι καὶ ἡ καλῳ δοτικὴ εἰς ι λήγει καὶ οὐκ εἰς ω. δεύτερος δὲ λόγος ἀληθής ἐστιν, ὡς εὐθεῖα καὶ αἰτιατικὴ ὁμόφωνος οὖσα κατὰ φωνὴν ἐν τῷ αὐτῷ ἀριθμῷ πάντως καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται, οἱ ταχεῖς — τοὺς ταχεῖς, εἰ δὲ ἡ εὐθεῖα ὀξύνεται πάντως καὶ ἡ αἰτιατική. διὰ τοῦτο οὖν ἡ μὲν αἰδῶ αἰτιατικὴ καὶ ἠῶ, μὴ κρατούμεναι ὑπὸ τῆς συνεμπτώσεως κατὰ τὴν εὐθεῖαν, περισπῶνται, κατεχόμεναι τῷ λόγῳ τῆς συναλοιφῆς, οὐχ ὑπὸ τοῦ πτωτικοῦ χαρακτῆρος· ἡ δὲ Λητώ καὶ Πυθώ καθάπερ κατεχόμεναι ὑπὸ τῆς συνεμπτώσεως τῆς φωνῆς κατέχονται καὶ τῷ τόνῳ. A. Scripsi ἀποφέρεται pro ἐπιφέρεται et καθάπερ pro καίπερ; pro quo Bekkerus voluerat καίπερ συναληλιμμέναι.

266. ἰδνώθη: Hic notam fuisse Herodiani de spiritu in ἰδνωθεὶς patet ex M. 205.

269. ἀχρεῖον: Διονύσιος καὶ Τυραννίων τὴν πρώτην ὀξύνουσιν, ὥσπερ καὶ παρὰ τοῖς Ἀττικοῖς, καὶ ἀναλόγως· παρὰ γὰρ τὸ χρεία τὸ κατὰ στέρησιν ἄχρειος ὡς μοῦσα ἄμουσος. ἡ μέντοι παρὰ τῷ ποιητῇ ἀνάγνωσις ἀφορμῆς ἐχομένη τῆς κατὰ τὴν συνεκδρομὴν προπεριεσπάσθη. τὰ γὰρ ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ α μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μετὰ τῆς ει διφθόγγου, μὴ σημαίνοντα μέρος σωματικὸν (cogitat ἄρνειος, ἄμνειος, v. e. g. Choer. orth. 174) προπερισπᾶται, ἀνδρεῖος, Ἀργεῖος. οὕτως καὶ ἀχρεῖος. A.

272. ἧ: τὸν ἧ περισπαστέον· παραλλήλως γὰρ κεῖται τῷ δή, βεβαιωτικὸς ὤν, ὁμοίως τῷ „ἧ δὴ λοίγια ἔργα“ (Il. 1, 573) A.

291. ἧ: ὁμοίως τὸν (βεβαιωτικὸν τὸν?) ἧ περισπαστέον. A.

292. ἀπὸ ἧς ἀλόχοιο: τινὲς ἀνέγνωσαν ἄπο ἧς ἀλόχοιο κατὰ ἀναστροφήν, ἵνα σημαίνηται τὸ ἄπωθεν. ἄμεινον δὲ πείθεσθαι τῇ κατειθισμένῃ ἀναγνώσει· συντέτακται γὰρ τῇ γενικῇ. A.

312. ὑποπεπτηῶτες: δύναται κἂν ἀναστρέφεσθαι. πιθανώτερον δὲ συντάσσειν τῇ μετοχῇ τὴν πρόθεσιν διὰ τὴν ἔμφασιν. A.

316. ἀμφιαχυῖαν: μετοχή ἐστι· διὸ προπερισπαστέον. σημειωτέον δὲ τὸν ἐν ἀρχῇ χρόνον, ὅτι συνεστάλη τὸ ι. A.

339. οὕτως συνθεσίαι τε ὡς θυσίαι τε. ὅσοι δὲ προπαροξύνουσι, πταίουσι· τῆς γὰρ μεταγενεστέρας Ἀτθίδος ἡ τοιᾶδε ἀνάγνωσις. A. v. E. 54. et Arcad. 133, 9.

346. τοῦςδε: ἕν ἐστι τὸ τοῦςδε. διὸ προπερισπαστέον. A. Hoc longioris annotationis fragmentum est, ut patet ex Λ, 409.

368. ἦ: Πτολεμαῖος περισπᾷ τὸν η̄, διαπορητικὸν ἐκδεχόμενος. εἰσὶ δὲ οἳ ὀξύνουσιν, ὥςπερ καὶ οἱ περὶ τὸν Ἀλεξίωνα, ἐκδεχόμενοι παραδιαζευκτικὸν τὸν ἤ. A.

393. ἄρκιον ἐσσεῖται: προπερισπαστέον τὸ ἐσσεῖται· οὐ γὰρ παροξυντέον, ὥς τινες, ἐπεὶ Δώριον· ἤδη γὰρ πολλὴ χρῆσις τῶν τοιούτων παρὰ Ἀττικοῖς. A. Utitur hoc loco pro incorrupto Ahrens dial. Dor. p. 28 concluditque Dorienses dixisse ἐσσεῖται, quod confirmat loco obscuro schol. Theocr. I, 83. Commemorandum praeterea erat quod est in his scholiis (A) infra N, 317 τὸ δὲ ἐσσεῖται, ἐὰν μέν ἐστι Δώριον, παροξύνεται, ἐὰν δὲ Ἀττικὸν προπερισπᾶται. Attamen mihi hoc quam maxime suspectum est. Primum enim certum est compluribus veterum locis expresse dici in πεσεῖται, πλευσεῖται similibus non tantum formam esse Doricam, sed accentum. Deinde in hoc, de quo loquor, Herodiani loco, ut nunc est, ipsa oratio vel ratio potius, quae non recte procedere videtur, de vitio admonet, scripsitque potius Herodianus, ut mihi videtur, sic: προπερισπαστέον τὸ ἐσσεῖται. οὐ γὰρ προπαροξυντέον, ὥς τινες. ἐπεὶ Δώριον. ἤδη γὰρ πολλὴ χρῆσις τῶν τοιούτων παρὰ Ἀττικοῖς. Videturque id ad eam dissensionem pertinere, de qua explicatius Eust. p. 655, 13. Fuerunt enim qui ἔσσειται scribi vellent apud Homerum: apud hunc enim haec facta esse ut σφείων et similia Ionica vel poetica epenthesi, in qua non mutatur accentus. Non est ita, inquit Herodianus, sed ἐσσεῖται scribendum quod est Doricum: quo Dorismo Homerum usum esse non mirandum, cum ipsa Atticorum consuetudo eiusmodi Doricos futuros admiserit, ut πεσεῖται

alia. Ille alter locus ad N, 317 epitomatori debetur (nec ἐάν ἐστι quod meminerim Herodianeum) ex iam corruptis imperite referenti, cui aeque atque scholiastis BL (ad nostrum locum) conveniat simpliciter de Attico ἐσσεῖται loqui.

427. μῆρ' ἐκάη: Πτολεμαῖος ἀπὸ τοῦ κ τὴν ἀρχὴν ποιεῖται, μῆρε παραλαμβάνων, εἶτα κάη, ἵνα φησὶν ἰωνικώτερον γένηται. τοῦτο δὲ οὐ συνεκτικόν, ὥςπερ εἶπον ἐντελῶς, ὁπότε διέλαβον ἐπὶ τοῦ „ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (Il. 1, 40), εἴγε ἤδη οἶδε καὶ τὰ μῆρα „μῆρα δὲ κείαντες" (Od. 13, 26). A. Scripsi οἶδε καὶ pro οἱ δ' ἐκάη.

495. Κλονίος: παροξύνεται, ἐπεὶ τὰ εἰς ος λήγοντα τῷ ι παραληγόμενα, τριβράχεα, ἐπὶ κυρίων παροξύνεται, Σχεδίος Χρομίος Δολίος, ἀντιπίπτει τὸ Ἅλιος κατὰ τὴν παράδοσιν, καὶ τὸ Ανιος καὶ Κρόνιος καὶ Ξένιος. B.

496. Αὐλίδα: ὡς ἀπὸ ὀξυτόνου εὐθείας ἡ ἀνάγνωσις καὶ εἰ μέντοι παρὰ τῷ Εὐφορίωνι „Αὐλίν τ' ἔσφαγον" (fr. CXXIX. Mein.) αἰτιατικὴ ἀπὸ εὐθείας βαρυνομένης γέγονεν. ἡ γὰρ εἰς ιν κατάληξις ἀπὸ βαρυτόνων ἐστίν, ἡ δὲ εἰς δα καὶ βαρυτόνων καὶ ὀξυτόνων· A.

498. Θέσπειαν: ἐκτετάσθαι φασὶ διὰ τὸ μέτρον (sine dubio Θέσπιαν scribentes). τὸ γὰρ τῆς ἱστορίας ἐν συστολῇ τέ ἐστι πληθυντικῶς τε λεγόμενον. ἴσως οὖν ὅλον ποιητικόν ἐστιν· σύνηθες γὰρ αὐτῷ πολλάκις τὰ πληθυντικῶς λεγόμενα καὶ ἑνικῶς προφέρεσθαι, „καὶ εὐρυάγυιαν Ἀθήνην" (Od. 7, 80), „πολυχρύσοιο Μυκήνης" (Il. 7, 180). καὶ ἐκ τοῦ ἐναντίου τὰ ἑνικὰ πληθυντικῶς· „ἐκ μὲν Κρητάων γένος εὔχομαι" (Od. 14, 199). ταῦτα ἐν τῇ προςῳδίᾳ ὁ Ἡρωδιανός. (Commemorant Epimerism. Cram. I, 370 τὸ δὲ Θέσπεια ὁ Ὦρος διὰ τῆς ει διφθόγγου γράφει τῷ κανόνι τῶν προπαροξυνομένων [quem ibi expositum habes]. ὁ δὲ Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προςῳδίᾳ λέγει ὅτι διὰ τοῦ ι γράφεται.). ἐν μέντοι τῷ ιαʹ τῆς καθολικῆς πρωςῳδίας ἐν τοῖς προπαροξυτόνοις καὶ ἔχουσι πρὸ τέλους τὴν ει δίφθογγον αὐτὸ καταριθμεῖ καὶ τοῦτο αὐτὸ τὸ Ὁμηρικὸν παρατίθησι, καὶ ἀλλαχοῦ λέγει τὴν ει ἔχειν αὐτὸ φανερῶς καὶ ἐπιφέρει ὅτι καὶ Θεσπιά ὀξυτόνως λέγεται. A.

504. Γλισᾶντα: ἡ συνήθεια προπερισπᾷ τὸ ὄνομα, ἡ

δὲ ἱστορία προπαροξύνει. BL. προπαροξύνει pro περισπᾷ scripsimus. Illud Eustathius invenit, et recte quidem, ut ex ipso Herodiano cognoscimus ad M, 20.

518. Ἰφίτου: τὴν μέσην συλλαβὴν ἐκτείνομεν τοῦ Ἰφίτου διὰ τὸ μέτρον. ἐν ἑτέροις γοῦν φυλάσσομεν τὸν χρόνον· „Ἴφιτος Εὐρυτίδης“ (Od. 21, 14) A.

521. Ὑάμπολις: οὕτως ἀνεγνώσθη ὡς φιλόπολις. ἓν γάρ ἐστιν· ἱστοροῦσι δὲ τοὺς ἐγχωρίους καὶ σὺν τῷ σ λέγειν Ὑσάμπολιν. A. („Num forte Συάμπολιν?“ Lob. Aj. p. 367.)

523. πηγῇς ἔπι: Πτολεμαῖος ἀναστρέφει καὶ Πάμφιλος. Ἀλεξίων συντάσσει τῇ γενικῇ τὴν πρόθεσιν καὶ οὐκ ἀναστρέφει. Ἀρίσταρχος δὲ τοῖς κυριωτέροις συνέταξε τὰς προθέσεις. A.

533. Excidit Herodiani nota de accentu vocis Θρόνιον v. B, 648.

557. δυοκαίδεκα: Πάμφιλος τρία ποιεῖ καὶ κατὰ παράθεσιν ἀναγινώσκει. ἀφορμὴν δὲ ἔχει ἡ κατὰ σύνθεσιν ἀνάγνωσις τὴν ποιητικὴν χρῆσιν, ἥτις τὰ κατὰ παράθεσιν πολλάκις ἑνοῖ, ὡς τὰ πασιμέλουσα (Od. 12, 70) καὶ τὰ τοιαῦτα. A.

585. Οἴτυλον: ὡς δάκτυλον. ἄρχεται γὰρ τὸ ὄνομα ἀπὸ τῆς οι διφθόγγου. κακῶς δὲ Τυραννίων οἰόμενος ἄρθρον εἶναι τὸ οι καὶ παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ ἁμαρτάνων καὶ παρὰ τὴν ἱστορίαν, εἴ γε οὕτως φησὶ καὶ Φερεκύδης· „τοῦ δὲ γίνεται Ἀμφάναξ, τοῦ δ' Οἴτυλος, ἀφ' οὗ ἡ πόλις ἡ ἐν Σπάρτῃ καλεῖται.“ τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῷ προσῳδίᾳ τῷ Ἡρωδιανῷ περὶ τῆς ἀναγνώσεως τῆς Τυραννίωνος. A. Recurrit τὸ κεφάλαιον ἐκτέταται Γ, 20 et Δ, 35 ubi est παρεκτέταται. Videtur significare: Haec summa rei est, quae fusius ab eo exponitur. Aliud esset ἐκτέθειται (κεφαλαιωδέστερον ἐκθέσθαι Apollonius adv. 581, 5.)

592. ἐΰκτιτον Αἰπύ: Ἀρίσταρχος ὡς ὀξύ· συγκατατίθεται δὲ αὐτῷ καὶ Ἀπολλόδωρος. Φερεκύδης δὲ ὁ Ἀθηναῖος τὸ μὲν ἐΰκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπύ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν ἐΰκτιτον ἐπίθετον, τὸ δὲ αἰπύ κύριον, ἐπεὶ καὶ ἐν ἄλλοις (Il. 11, 711) εἴρηκεν „ἔστι δέ τις θρυόεσσα πόλις, αἰπεῖα κολώνη“ ὃ νῦν εἴρηκεν Αἰπύ, καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δέ φησι

μὲν κύριον εἶναι τὸ Αἰπύ, οὐ μὴν συγκατατίθεται τῷ τόνῳ, φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς, Ἕλος, Αἰγιαλός. χρὴ μέντοι γινώσκειν, ὅτι ἀναλογωτέρα ἀνάγνωσις ἦν ἡ βαρεῖα· τὰ γὰρ εἰς υ μονογενῆ οὐδέτερα βαρύνεται, πῶϋ, μέθυ. ταῦτα ἐν τῇ προσῳδίᾳ. καὶ ἐν τῇ καθόλου δὲ ὁμοίως ἀμφίβολον αὐτὸ ἐᾷ. ἐν μέντοι τῇ Ζ (422) τῆς Ἰλιάδος διαλαμβάνων περὶ τοῦ ἰῷ „οἱ μὲν πάντες ἰῷ κίον ἤματι" φανερῶς λέγει, ὅτι Ἀρίσταρχος ὀξύνει τὸ Αἰπύ καὶ ἐπείσθη αὐτῷ ἡ πλείων χρῆσις. A.

599. πηρὸν ὡς χρηστὸν κατ' ὀξεῖαν τάσιν παρὰ τῷ ποιητῇ παρὰ δὲ τοῖς Ἀττικοῖς πῆρον ὡς λῆρον. ὑγιεστέρα δὲ ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἐπεὶ τὰ εἰς ος λήγοντα δισύλλαβα, εἰ ἔχοι τὴν πρώτην συλλαβὴν ἔχουσαν τὸ π καὶ τὸ η ὀξύνονται, οἷον πηός, πηλός. οὕτως καὶ πηρός. A.

600. Excidit de accentu in Ῥίπην τε Στρατίην τε. v. I, 150.

648. Φαιστόν: ὡς πιστόν ὀξυτόνως: βαρυνόμενον γὰρ ἐπὶ τοῦ ἥρωος τίθεται „Ἰδομενεὺς δ' ἄρα Φαῖστον" (Il. 5, 43). A.

Ῥύτιον: προπαροξυτόνως ὡς στάδιον. οὐκ εὖ δὲ Τυραννίων παροξύνει αὐτὸ ὡς πεδίον· οὔτε γὰρ ὑποκοριστικόν, οὔτε, εἰ ἦν ὑποκοριστικόν, παρωξύνετο, καθότι τρίβραχυ. τοῦτο δὲ εἴπομεν καὶ ἐπὶ τοῦ Θρόνιον. A.

659. τρίχα: τὸ τρίχα βαρύνεται, ὅτι τὰ εἰς ως λήγοντα ἐπιρρήματα, εἰ ἔχοι παρακείμενα εἰς α λήγοντα, μὴ συνεμπίπτοντα ὀνόμασι, πάντως βαρυνόμενα ἔχει, οἷον σαφῶς σάφα· ὅθεν εἰ τριχῶς τρίχα. A.

662. κατέκτα: Πτολεμαῖός φησιν ὁ Ἀσκαλωνίτης Ἀρίσταρχον ἀνεγνωκέναι ὁμοίως τῷ „ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ" (Od. 11, 410) κατὰ συστολήν. Τυραννίων δὲ κατ' ἔκτασιν. οἶμαι δὲ ἀκόλουθον εἶναι ἐκείνῃ τῇ γραφῇ τῇ κομιζομένῃ ὑπ' Ἀριστάρχου „ὥς ἐμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν" (Il. 4, 319). ἡ μέντοι κοινὴ ἀνάγνωσις ἡ κατὰ συστολὴν ἀφορμὴν ἔσχε τὴν τῆς ἀποκοπῆς, ὁμοίως τῷ „οὖτα κατὰ λαπάρην" (Il. 6, 64) A. Aristarchum tertiam personam brevem voluisse propter non dubios quosdam poetae locos testatur Aristonicus O, 432. — In versu Il. 4, 319 Cod. peccat ὡς ἔμεν ὅτε et κατέκτα.

665. γέρ σε: ὁ γάρ ὀξύνεται, ἵνα ἀντωνυμία γένηται

ἐγκλιτικὴ δοτικῆς πτώσεως τὸ οἱ καὶ μὴ ἄρθρον· καὶ γὰρ ἔθος μᾶλλον τῷ ποιητῇ παραλείπειν τὰ ἄρθρα. A.

672. Χαρόποιο: ὡς Μενάνδροιο· καὶ γὰρ ἀπὸ γενικῆς εὐθεῖά ἐστι παρειλημμένη, ὡς τὸ υἱός Τροιζήνοιο (847). καὶ εἰς ἰδιότητα ὀφείλει ἡ βαρεῖα τάσις παραλαμβάνεσθαι. A.

676. Κράπαθον: ὡς λάπαθον, οὕτως Κράπαθον· καὶ γὰρ ὁ τοιοῦτος χαρακτὴρ ὀφείλει βαρύνεσθαι ἐπὶ θηλυκῶν, λέγω δὲ ὁ εἰς θος λήγων ὑπὲρ δύο συλλαβάς, τῷ α παραληγόμενος, ἄμαθος, ψάμαθος. A.

677. Καλόδνας: ὡς καλάθας ἀναγνωστέον. A. Et. et Suid.: ὁ Ἀπολλόδωρός φησι λέγεσθαι Καλύδνας ὡς καλύβας. Hinc nostrum καλάθας emendat G. Dindorf. in Thes. minusque probabile fieri dicit quod ceteroquin proximum, παλάθας.

681. νῦν αὖ τοὺς, ὅσσοι: τὸ τοὺς ἀντωνυμία ἐστί· διὸ περισπαστέον τὸ νῦν καὶ τὸ αὖ. A.

695. Φυλάκην: βαρυτονητέον τὸ Φυλάκην πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου. A.

699. τότε δ' ἤδη ἔχεν κάτα γαῖα μέλαινα: κάτα: εἰ συντάσσεται τῷ ἔχεν, δῆλον ὅτι καὶ ἀναστρέφεται· πρόδηλον δὲ ὅτι συντάσσεται, ἐν οἷς φησιν ἐν ἄλλοις „τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα." (Il. 3, 243) A.

717. Ὀλιζῶνα: προπερισπωμένως ὡς Μεδεῶνα. Νικίας δὲ οὐκ εὖ γράφει Ὀλίζωνα ὡς περίζωμα. A.

731. Ἀσκληπιοῦ: οὕτως ἐκτατέον διὰ τὸ μέτρον τὸ Ασκληπιοῦ. A. (cf. O, 554).

739. Ὀρθήν: Ὀρθήν, οὕτως ὀξυτόνως· ἐπιθετικῶς γὰρ τέτακται. A. v. I, 150.

755. ἀπορρώξ: Ἀρίσταρχος ὀξυτόνως, ὡς θυλακοτρώξ. καὶ ἡ σύνθεσις δὲ τοῦτο ἀπαιτεῖ, ὅτι ἂν σημαίνῃ, εἴτε πάθος εἴτε ἐνέργειαν. A.

764. ποδώκεας: τινὲς ὡς εὐσεβέας καὶ οὕτως αἱρεῖ ὁ λόγος, εἴγε καὶ τὸ ποδώκης ὀφείλει ὀξύνεσθαι, καθὸ τὰ εἰς υς ὀξύτονα, φυλάσσοντα ἐν τῇ συνθέσει τὴν κατάληξιν, ἀναδίδωσι τὸν τόνον, δριμύς ἄδριμυς, οὐχ οὕτως δὲ ἔχοντα, ἀλλὰ τρέποντα τὸ τέλος ἵσταται ἐπὶ τῆς ὀξείας, ἡδύς ἀηδής, βαρύς ἀβαρής, ἠύς ἐνηής. οὕτως οὖν ὤφειλε καὶ τὸ ποδώκης ὀξυτονεῖσθαι, γε-

νόμενον ἀπὸ τοῦ ὠκύς· ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι „ποδωκὴς δῖ' Ἀταλάντη" (catal. XXVI. Marksch.) τί οὖν ἐπὶ τοῦ Δόλωνος κατὰ βαρεῖαν τάσιν ἀνεγνώκασι καὶ ἐπὶ τούτου; „ὃς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης" (Il. 10, 316). A.

765. οἰέτεας: ὡς Διομήδεας. ἔστι δὲ καὶ ἐπὶ τούτου τοῦ σχηματισμοῦ παράλογος ὁ τόνος· τὰ γὰρ παρὰ τὰ εἰς ος λήγοντα, οὐ δισύλλαβα, συντιθέμενα, εἰς ης λήγοντα ἐπιθετικά, μὴ ἔχοντα τὸ η πρὸ τέλους, πάντα ὀξύνεται, εὐγενής εὐκλεής εὐειδής· οὕτως δὲ καὶ εὐτειχής. ἐχρῆν μὲν οὖν καὶ τὰ παρὰ τὸ ἔτος τὸ αὐτὸ ἀναδέχεσθαι· νυνὶ δὲ κατὰ βαρεῖαν τάσιν ἀναγινώσκουσιν, ἀλλ' οὐδὲ τοῦτο πάλιν καθολικῶς σώζοντες· ἑξετέα γὰρ ἀδμήτην (Il. 23, 266) ἀναγινώσκουσιν ὡς εὐσεβέα. A. Transiit in Et.

777. ἕστασαν: δασυντέον τὸ ἕστασαν· ὑπερσυντέλικος γάρ ἐστι συγκεκομμένος, ὁ δὲ παρακείμενος δασὺ ἔχει τὸ ε καὶ ὁ ὑπερσυντέλικος· οἱ δὲ ἀόριστοι ψιλόν, ἐπεὶ καὶ κατὰ ἀποβολὴν τοῦ ε λέγονται· „στὰν δὲ μεταστοιχεί" (Il. 23, 358). καὶ ὁ πρότερος „στῆσαν ἀείραντες" (Od. 2, 425); οὐκέτι δὲ ὁ ἕστασαν στάσαν. A.

783. Τυφωέος: οὕτως Τυφωέος, ὡς Ἀχιλλέως· καὶ γὰρ „Τυφωέϊ γαῖαν ἱμάσσῃ" (versu antecedente) ἀπ' εὐθείας τῆς Τυφωεύς. συνήθης δὲ αὐτῷ ὁ τοιοῦτος τύπος παρώνυμος. A.

798. τὸν ἦ περισπαστέον· ἔστι γὰρ βεβαιωτικός. A.

808. δ' ἔλυσ': τινὲς ἀπὸ τοῦ λ τὴν ἀρχὴν ποιοῦνται καὶ προπερισπῶσιν, ἵνα ποιητικώτερον γένηται, αἶψα δὲ λῦσ' ἀντὶ τοῦ αἶψα δ' ἔλυσ'. ἔφαμεν δὲ τὸ τοιοῦτο παρὰ τῷ ποιητῇ διαφόρως ὁρᾶσθαι· „ἂν δ' ἄρ' ἔβη Πρίαμος" (Il. 3, 261). „αὐτὰρ ὁ βῆ ῥ' ἰέναι" (Il. 10, 73). „οὐδ' ἔλαθ' Ἀτρέος υἱόν" (Il. 17, 1). „ἐμὲ δ' οὐ λάθεν". (Od. 9, 281.) A.

813. οὕτως προπαροξυτόνως Βατίειαν, ὡς Ἀλεξάνδρειαν. A.

824. ὑπαὶ πόδα: οὕτως ὑπαί ὡς καταί καὶ παραί· αἱ γὰρ προθέσεις ἐπαυξανόμεναι διὰ τοῦ ι φυλάσσουσι τὸν αὐτὸν τόνον. A.

828. Ἀπαισοῦ: οὕτως Ἀπαισοῦ ὡς ἀγανοῦ. καὶ ἴσως ἀκολούθως τὸ (puto τῷ) „ὅς ῥ' ἐνὶ Παισῷ" (Il. 5, 612). A.

831. περὶ πάντων: οὕτως φυλακτέον τὸν τόνον τῆς προθέσεως. εἴτε γὰρ πρόθεσίς ἐστιν ἀντὶ προθέσεως παρειλημμένη, ἀντὶ τοῦ ὑπὲρ πάντων, φυλάσσεται ὁ τόνος, καθότι πᾶσα πρόθεσις ἀντὶ ἑτέρας προθέσεως λαμβανομένη φυλάσσει τὸν αὐτὸν τόνον· εἴτε ἀντὶ τοῦ περισσῶς, φυλάσσει τὸν τόνον, ὡς τὸ „ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν" (Od. 1, 66). „οὗ περὶ μὲν πρόφρων κραδίη" (Il. 10, 244). καὶ τὸ αἴτιον ἐν ἑτέροις εἴπομεν, ὡς ὅτι πρὸς αὐτοὺς τοὺς τόνους τῶν ἐπιῤῥημάτων καὶ αὗται ὀρθοτονοῦνται. A.

832. οὕτως τὸ αὐτοῦ ἔασκε κατὰ συστολήν· οὕτως καὶ πάντες· τὰ γὰρ διὰ τοῦ σκε παρηγμένα Ἰακῶς βραχεῖαν ἔχει τὴν παραλήγουσαν· „ὧδε δέ τις εἴπεσκε" (271) καὶ „τὴν αὐτὸς φορέεσκε" (Il. 15, 646). A.

839. ποταμοῦ ἀπὸ Σελλήεντος: Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἀναστρέφει πρὸς τὰ προσηγορικώτερα ποιούμενος τὰς συντάξεις. ὁμοίως καὶ Νικίας. οὐκέτι μέντοι ἐπὶ τοῦ „Ξάνθῳ ἐπὶ δινήεντι" (Il. 5, 479) „μάχῃ ἔνι κυδιανείρῃ" (Il. 6, 124). ἐπεφέρετο γὰρ τὰ προσηγορικώτερα. ὁ μέντοι Ἀρίσταρχος τοῖς κυριωτέροις συνέταττε τὰς προθέσεις· διὸ ἀναστρέφων ἀνεγίνωσκε „Ξάνθου ἄπο δινήεντος (877)". φυλάσσων δὲ τὸν τόνον ἐπὶ τοῦ „ποταμοῦ ἀπὸ Σελλήεντος". εἶτα πολλὰ εἰπὼν ὁ Ἡρωδιανός φησι (v. qu. ep. 79. Bekkeri interpunctio δινήεντος. ἢ Σελλήεντος, nunc minus placet) ὅτι ἐμοὶ μέντοι δοκεῖ τὸ τοιοῦτον ὅλον εἶδος ἀναγινώσκειν κατὰ ἀναστροφήν. εἰ γὰρ δύο ὀνόματά ἐστι καθ' ἑνὸς ὑποκειμένου λαμβανόμενα καὶ σχεδὸν ἕν ἐστι τὸ ὅλον, καὶ θέλει ἡ πρόθεσις προηγεῖσθαι, μέση δὲ παρείληπται καθ' ὑποταγήν, ὡς ὑποτεταγμένη ἀναστραφήσεται. A.

842. Πόλαιος: τοῦ Πόλαιος τὴν πρώτην ὀξυτονητέον πρὸς ἀντιδιαστολὴν τοῦ τοπικοῦ καὶ τὸν Ἑρμῆν τὸν Πόλαιον. A. Mihi scribendum visum Πωλαῖον, et nunc nescio an non concedendum sit Lobeckio Paral. p. 342.

847. Τροιζήνοιο: οὕτως Τροιζήνοιο ὡς Εὐμήλοιο. ἀπὸ γὰρ γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ. A. cf. 672.

855. Ἐρυθίνους: ὡς Ἀκραγαντίνους. BL.

ΕΙΣ ΤΗΝ Γ.

20. οὕτως ὁ Ἀρίσταρχος προπερισπᾷ δηϊοτῆτι, ὡς ἀπὸ ὀξυτόνου εὐθείας, τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῇ Ἰλιακῇ προςῳδίᾳ. A.

29. χαμᾶζε: προπερισπᾶται· ἐχρῆν δὲ πρὸς τὸν χαρακτῆρα τρίτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν συστελλομένου τοῦ α, ὥςπερ τὸ Ἀφίδναζε, Θήβαζε, ἔραζε, χωρὶς εἰ μή ἐστιν ἀφορμὴ ὅτι ταῦτα ἀπὸ ὀνομάτων, τοῦτο δὲ ἀπὸ ἐπιῤῥήματος τοῦ χαμαί. τὸ δὲ μέταζε χρονικὸν παρὰ πρόθεσιν παρῆκται. A.

35. ὦχρος: οὕτως ὦχρος ὡς ὦμος, εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. τάχα δὲ καὶ ἄχροός ἐστιν, ὃ ἐν ὑπερθέσει γίνεται ἄοχρος καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὦχρος βαρυνόμενον. ἄλλως τε τὰ εἰς ος λήγοντα διςύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προςκειμένου τοῦ ι, βαρύνεται, ὦμος. πρόςκειται μὴ ἔχοντα τὸ ι διὰ τὸ ᾠδός. BL.

παρειά: οὕτως ὀξυτόνως καὶ χωρὶς τοῦ σ γραπτέον, ἵνα ᾖ οὐδέτερον. τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος τὸν αὐτὸν φυλάσσει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα. διάφορον γὰρ τὸ σημαινόμενον. (Lob. Prol. Path. 14.) οὕτως παρειαί παρειά. φασὶ μέντοι Ἀρίσταρχον καὶ Ἀριστοφάνην γράφειν παρειὰς σὺν τῷ σ, ἐπειδὴ καὶ παρειάων ἁπαλάων λέγει (Il. 18, 123) A. Transiit in E. M. 653, 26.

43. ἦ: περισπαστέον τὸν ἦ· βεβαιωτικὸς γάρ ἐστι καὶ ἰσοδυναμεῖ τῷ δή. A.

63. ὥς σοί: ἡ σοί ἀντωνυμία ὀρθοτονεῖται νῦν διὰ τὴν ἀντιδιαστολήν A.

97. νῦν: τὸ νυν περισπαστέον, κἂν παρέλκῃ παρὰ τῷ ποιητῇ. A.

102. διακρινθεῖτε: οὕτως προπερισπᾶται διακρινθεῖτε· ἔστι γὰρ εὐκτικόν, κατὰ πάθος γεγονὸς ἐκ τοῦ διακρινθείητε, ὁμοίως τῷ „καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε" (Od. 22, 62). ὧν πάλιν πρῶτα διακρινθείημεν καὶ διακρινθεῖμεν, ὥςπερ καὶ τὸ „ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί" (Il. 2, 126). A.

122. γαλόῳ: βαρύνειν δεῖ τὸ γαλόῳ· τὰ γὰρ εἰς ως

θηλυκά, ὑπὲρ μίαν συλλαβήν, βραχείᾳ παραληγόμενα, βαρύνεται, ἅλως, Κέως, ἕως· οὕτω γάλως. τοῦτο δὲ ἀξιοῖ Τρύφων ἐν τῷ α΄ περὶ ἀρχαίας ἀναγνώσεως. A. Desunt sequentia: hinc esse γάλῳ et γαλόῳ. v. Eust. h. l. (apud quem: — οὕτω καὶ γάλως, καθὰ καὶ Τρύφων φησὶν ἐν τῷ περὶ ἀρχαίας·) et Et. M. γαλόῳ. Cf. et ad X, 473.

128. οὗς ἕθεν: ἐγκλιτικῶς ἀνεγνώσθη διὰ τὸ μεταλαμβανόμενον, ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψις, οὗς αὐτῆς. τοῦτο δὲ ἐπὶ τῆς ἕθεν φασίν, ὅτι εἰ μὲν εἰς ἁπλῆν μεταλαμβάνοιτο, ἐγκλιτικῶς ἀναγινώσκειν δεῖ, εἰ δὲ εἰς σύνθετον, ὀρθοτονητέον. διὸ κἀκεῖνα οὕτως ἀνεγνώσθη „ἐπεὶ οὔ ἑθέν ἐστι χερείων“ (Il. 1, 114) „οἵ ἑθεν ὀτρύνοντος“ (Il. 15, 199)· ἐκεῖνο δὲ κατ' ὀρθὴν τάσιν „ἀπὸ ἕθεν ὤσατο χειρὶ“ (Il. 6, 62). ὅθεν Σιδώνιος μέμφεται Ἀριστάρχῳ μὴ ἐγκλιτικῶς ἀναγνόντι τὸ „πρόσθεν ἕθεν φεύγοντα“ (Il. 5, 80)· ἡ γὰρ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν. A. Pro ὀτρύνοντος Cod. ὤτρυνον.

152. ἱεῖσιν: προπερισπαστέον ὡς τιθεῖσιν· τὰ γὰρ τρίτα πληθυντικὰ ὁριστικὰ ἐνεστῶτος χρόνου τὴν αὐτὴν φωνὴν καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται ταῖς πληθυντικαῖς δοτικαῖς μετοχαῖς, λέγομεν λέγετε λέγουσι καὶ τοῖς λέγουσιν, ἵσταμεν ἵστατε ἱστᾶσι καὶ τοῖς ἱστᾶσιν. οὕτως ἵεμεν ἵετε ἱεῖσι· καὶ γὰρ ἱέντες ἱέντων ἱεῖσιν. ἀντιπίπτει μόνον διά τι αἴτιον τὸ φασί πρὸς τὸ φᾶσι μετοχικόν, ὡς στᾶσι. A.

157. τοιῇδ': ἕν ἐστι· διὸ προπερισπαστέον τὸ τοιῇδε. A.

159. ὣς: περισπαστέον τὸ ὣς· ἀντὶ γὰρ τοῦ ὅμως. A.

160. ἡμῖν: ὀρθοτονητέον τὴν ἡμῖν· ἔστι γὰρ ἐν συμπλοκῇ διασταλτικῶς εἰλημμένῃ, ἡμῖν καὶ τοῖς τέκνοις. ABL.

182. ὀλβιόδαιμον: προπαροξυτόνως· ἔστι γὰρ σύνθετον· τὰ δὲ μακρᾷ παραληγόμενα βαρύτονα, ἔχοντα κλητικὴν εἰς ον περατουμένην, προπερισπᾶται ἁπλᾶ ὄντα, Μαχᾶον, Ἀρετᾶον. σύνθετα μέντοι ἀναδίδωσι τὸν τόνον, κυλλοπόδιον, Ποσείδαον, ὀλβιόδαιμον. καὶ ἐπὶ τῶν ἄλλων τῶν συνθέτων τὸ αὐτό, λέγω δὲ τὸ Αὐτόμεδον καὶ Ἀγάμεμνον· ταῦτα γὰρ πάλιν τὸν τόνον ἀνεβίβασε κατὰ κλητικήν, ἐπεὶ σύνθετα ἦν. τὰ μέντοι παρὰ τὸ φρήν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον, δαΐφρον. ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικήν „ἰὼ Λακεδαῖμον“ Ἀριστοφάνης

Ὀλκάσιν καὶ σύνθετον τὸ „ψευδόμενοί σε Παλαῖμον“ A. (cf. Schol. A, 149).

198. δίων: Ἀρίσταρχος δισυλλάβως ὡς αἰγῶν καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· Ἀριστόνικος δὲ τρισυλλάβως, ὡς τὸ (l. ὅς τ') δίων μέγα πῶϋ. ὁ μέντοι Πτολεμαῖος οὐχ ὑγιὲς αἴτιον ἐπιφέρει τῆς δισυλλάβου ἀναγνώσεως· φησὶ γὰρ ὅτι ἡ εὐθεῖα μονοσύλλαβός ἐστιν, οἷς ὡς αἴξ. διαμαρτάνει δέ· οὐδέποτε γὰρ ὁ ποιητὴς μονοσυλλάβως εἶπε τὴν εὐθεῖαν, δισυλλάβως δὲ „τοῖσι δ' ὄϊς λάσιος“ (Il. 24, 125) καὶ „μῆλ' ὄϊές τε καὶ αἶγες“ (Od. 9, 184) καὶ „Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν“ (Od. 10, 524)· ἕνεκα δὲ μέτρου „οἰὸς ἀώτῳ“ (Od. 1, 443) καὶ „οἰῶν τε βληχήν“ (Od. 12, 226). ὥστε εἰ καὶ ἐνθάδε μέτρον οὐ κωλύει, οὐδὲν ἦν ἐμποδὼν παραδέξασθαι τὴν τοῦ Ἀριστονίκου ἀνάγνωσιν. καὶ γὰρ ἄλλως τὸ ὄϊς ἀναλογώτερον ἔσται δισύλλαβον ὂν τοῦ μονοσυλλάβου· πολλὰ γὰρ τὰ εἰς ῑς λήγοντα ἐπ' εὐθείας, οὐδὲν δὲ εἰς οις, ὅτι μὴ μόνον τὸ οἶς καὶ παρὰ Ἀττικοῖς τὸ φθοῖς. A. Transiit in Et.

217. ὑπαί: ὡς εἰ καὶ ἐντελὴς ἦν, οὕτως ἀναγνωστέον, φυλάττοντας τῆς προθέσεως τὸν τόνον.

219. ἀΐδρεϊ φωτὶ ἐοικώς: ἀΐδρεϊ προπαροξυτόνως ὡς ἀπ' εὐθείας τῆς ἄϊδρις· „χώρου ἄϊδρις ἐών“ (Od. 10, 282). ταύτης δὲ τῆς εὐθείας ὀφείλει γενικὴ ἐκπίπτειν ἀΐδρεος, καὶ ἀΐδρεϊ. οὐ γὰρ δή γε διὰ τοῦ δ̄· οὐ γάρ ἐστι παρώνυμον μακρᾷ παραληγόμενον· ἀλλ' ὡς τὸ ἔχις πόσις ὄφις, οὕτως ὀφείλει κλίνεσθαι. ὥστε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ, τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη. ὁ γὰρ Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικήν, ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες. γένοιτο οὖν ἡ δοτικὴ ἀΐδρεϊ φωτὶ ἐοικὼς κατὰ τὸν προκείμενον λόγον. οὐδὲν δὲ θαυμαστόν, εἰ διὰ τοῦ ῑ πολλάκις τῶν τοιούτων γενικῶν τὴν παραλήγουσαν προφέρονται Ἴωνες, τὴν δὲ δοτικὴν διὰ τοῦ ε̄, οὐχὶ δὲ διὰ τοῦ ῑ· τάχα γὰρ διὰ τὸ κακόφωνον. ὁ γοῦν ποιητής φησιν „εὐνήν τ' αἰδομένη πόσιος“ (Od. 16, 75), τῇ δὲ δοτικῇ „χαριζομένη πόσεϊ ᾧ“ (Il. 5, 71). A. Transiit in Et. M.

236. ἰδέειν: οὐκ ἔστιν ἐντελὲς τὸ ἰδέειν, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ ἰδεῖν γέγονε κατὰ διάλυσιν, ὥσπερ ἀπὸ τοῦ εὐφρα-

νεῖν τὸ εὐφρανέειν· οἱ γὰρ δεύτεροι ἀόριστοι καὶ μέλλοντες οὐκ ἔχουσι τὴν περισπωμένην ἀπὸ ἐντελείας ὥςπερ οἱ περισπώμενοι ἐνεστῶτες. A. Inserui ἀόριστοι καὶ inter δεύτεροι ac μέλλοντες.

239 et 240. ἢ — ἦ: ὁ μὲν πρῶτος ἢ σύνδεσμος βαρύνεται, ὁ δὲ δεύτερος περισπᾶται, ἵνα τοιαύτη ἡ φράσις γένηται, ἢ οὐκ ἠκολούθησαν ἦ ἠκολούθησαν μὲν οὐκ ἐθέλουσι δὲ μάχην καταδύμεναι ἀνδρῶν. A. Inserui ἦ ἠκολούθησαν v. quaest. ep. p. 54.

240. νέεσσ' ἐνὶ ποντοπόροισιν: Νικίας οὐκ ἀναστρέφει. οὐ συμφωνεῖ δὲ τὰ τῆς ἱστορίας αὐτῷ. φασὶ γὰρ Ἀρίσταρχον τοῖς κυριωτέροις συντάσσειν τὰς προθέσεις. A. οὐκ ἀναστρέφει scripsi pro ἀναστρέφει. v. quaest. ep. p. 81.

280. μάρτυροι ἔστε: παροξύνεται τὸ ἔστε, ἵνα προςτακτικὸν γένηται ὁμοίως τῷ φυλάσσετε· πιθανωτέρα γὰρ ἡ τοιαύτη ἀνάγνωσις· πολλὰ γάρ ἐστι προστακτικὰ ὡς πρὸς τοὺς θεοὺς „Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι, ποίησόν τ' αἴθρην, δός τ' ὀφθαλμοῖσιν" (Il. 17, 645). ἀναγκαῖον μέντοι ἐστὶ παραφυλάξαι ἐκεῖνο, ὡς ὅτι τὰ εἰς τε λήγοντα πληθυντικὰ ὁριστικὰ καὶ προστακτικὰ ἀεὶ ὁμοτονεῖ ὑπεσταλμένου τοῦ ἔστε, οἷον λέγετε — ὅτι λέγετε, ἄγετε — ὅτι ἄγετε. A.

316. χαλκήρεϊ: προπαροξυτόνως· ἔστι γὰρ παραγωγὴ διὰ τοῦ ηρης, ἥτις βαρύνεται, ξιφήρης, ὀλιγήρης, θυμήρης, ἔνθεν τὸ „θυμῆρες κεράσασα" (Od. 10, 362). εἰ μέντοι γε τὸ ἄρω ἔγκειται ἐπὶ τούτου καὶ διὰ τοῦ α ἡ σύνθεσις γένοιτο, καὶ ὀξεῖα τάσις ἐστίν· „ἔχει δ' ἄλοχον θυμάρεα" (Il. 9, 336.) AB.

344. διαμετρητῷ: Ἀρίσταρχος περισπᾷ καὶ οἱ ἄλλοι καὶ οὕτως ἔχει ἡ παράδοσις· καί ἐστι παρασύνθετον· τὸ γὰρ ῥῆμα συντέθειται ἐν τῷ „χῶρον μὲν πρῶτον διεμέτρεον" (315) A.

354. ξεινοδόκον: παροξύνεται διὰ τὴν ἐνέργειαν. οὕτως δὲ πέφυκε τὰ παρὰ ῥῆμα συντιθέμενα παροξύνεσθαι μὲν, ὅτε ἐνέργειαν ὑπισχνεῖται, προπαροξύνεσθαι δὲ, ὅτε πάθος, εἰ μὴ κανόνες τινὲς κωλύοιεν οὓς παρατίθεται ὁ Ἡρωδιανός. (Canon ejusmodi est M, 26). ὥςτε διαφέρειν τὸ λιθοβόλος τοῦ λιθόβολος· τὸ μὲν γὰρ παροξυνόμενον σημαίνει τὸν λίθους βάλλοντα, τὸ δὲ προπαροξυνόμενον τὸν ὑπὸ λιθοῦ βεβλημένον, ὡς παρ' Εὐριπίδῃ ἐν Φοινίσσαις (1069) „λιθόβολον εἶμα κατειργάσω." A. Cf. Λ, 270.

366. ῆ: περισπᾶται ὁ ῆ· βεβαιωτικὸς γάρ. A.

426. ἔνθα κάθιζ' Ἑλένη: κάθιζ': συστέλλειν δεῖ τὸ ῑ καὶ προπαροξύνειν τὸ κάθιζε. ὅσα γὰρ παρῳχημένου ῥήματα βραχυκατάληκτα ἐνέλειψε χρόνῳ κατὰ τὸ ἄρχον, ταῦτα συντιθέμενα ἀναδίδωσι τὸν τόνον· εἶχον συνεῖχον· ἀλλ' ἐπεὶ ἐγένετο ἔχε, ἀνεδόθη ὁ τόνος „νὺξ δὲ μάλα στυγερὴ κάτεχ' οὐρανὸν" (Od. 13, 269). οὕτως ἶζε κάθιζε· „Νέστωρ τ' αὐτὸς ἔφιζε." (Od. 3. 411) A.

440. πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν: ὀξυτονητέον τὴν παρά πρόθεσιν κατὰ τὴν ἐπάρχουσαν. ἔστι δὲ οὐκ ἀναστροφή, ἀλλὰ καθ' ὑπέρβατον κεῖται, διαλελυμένου τοῦ πάρεισιν. εἰκότως τινές φασιν, ὅτι αἱ προθέσεις, ὅταν κατὰ διάλυσιν λέγωνται πρὸς τὰ ἐπιφερόμενα, φυλάσσουσι τοὺς τόνους „κατὰ ταῦρον ἐδηδὼς" (Il. 17, 542) „κατὰ βοῦς Ὑπερίονος ἤσθιον" (Od. 1, 8) „ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη" (Il. 2, 278). ἐχρῆν οὖν καὶ τῆς παρά ἐνθάδε, εἰ πρὸς τὸ ἐπιφερόμενον συντάττεται, φυλάσσεσθαι τὸν τόνον. πρὸς οὓς πιθανῶς ὑπαντητέον, ὅτι ἐκεῖνα μέν, ἅπερ ἐτίθεντο, καὶ ἐν τῇ συνθέσει φυλακτικὰ ἐγένετο τοῦ τόνου τῶν προθέσεων, οἷον κατήσθιον, κατεδηδώς. οὐ γάρ τις τῶν προθέσεων τούτων ἐπὶ τὴν ἄρχουσαν συλλαβὴν ἑαυτῆς μετεβίβαζε τὸν τόνον· τὸ δὲ πάρεισι μετεβίβαζεν· ἔνθεν καὶ τὸ κατὰ διάλυσιν οὕτως ἀναγινώσκομεν. A.

446. ὥς σεο: ἐγκλιτικῶς ἀναγνωστέον· οὐ γὰρ ἀντιδιαστολὴ προςώπου· ἐκεῖνο δὲ ἐπὶ τοῦ Διὸς ὀρθοτονητέον „ὡς σέο νῦν ἔραμαι." (Ξ, 328) ἀντιδιαστολὴ γὰρ πρὸς ἄλλα πρόςωπα. A.

ΕΙΣ ΤΗΝ Δ.

2. μετὰ δέ σφισι. τό σφισι κατ' ἔγκλισιν ἀναγνωστέον νῦν, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται. τοῦτο δὲ τὸ παρατήρημα οἱ ἀπ' Ἀριστάρχου παραγγείλαντες διηνιχῆ τὴν ἀνάγνωσιν οὐκ ἐφύλαξαν. ἀληθὲς γάρ ἐστιν, ὅτι ἡ σφίσιν ἐγλιτικὴ οὖσα εἰς ἁπλῆν μεταλαμβάνεται, ὥςπερ καὶ ἐπὶ τοῦ „ἔτι γάρ σφισι κῦδος ὀρέξω". (Il. 17, 453) οὐ μὴν ὀρθοτονουμένη πάντως εἰς σύνθετον· ἔστι γὰρ ὅτε καὶ εἰς ἁπλῆν. εἰς μὲν οὖν σύνθετον οὕτως

„αἵ ε μετὰ σφίσιν εἶχον“ (Il. 22, 474) εἰς ἁπλῆν δὲ οὕτως· „τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι“ (Od. 14, 272) „σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι“ (Od. 4, 683). οὐ γὰρ δὴ καὶ οἱ αἰχμάλωτοι ἄγονται ἑαυτοῖς ἐργάζεσθαι, ἀλλ' αὐτοῖς τοῖς ἄγουσιν· οὐδὲ οἱ μνηστῆρες τὰ πρὸς τὴν δαῖτα ἑαυτοῖς παρεσκεύαζον, ἕτεροι δὲ αὐτοῖς. AB.

3. νέκταρ ἐῳνοχόει: διαφόρους δόξας ἐκτίθεται ἐν τῇ Προσῳδίᾳ ὁ Ἡρωδιανός, ᾗ δὲ ἀρέσκεται, αὕτη ἐστίν. ἔθος ἐστὶ τῷ ποιητῇ ἀποβάλλειν πολλάκις τὸ κατ' ἀρχὴν ε ἐπὶ τῶν παρῳχημένων, ἔσθ' ὅτε δὲ καὶ πλεονάζειν. πρόδηλοι δὲ αἱ χρήσεις· „στῆσε δ' ἐν Ἀμνισῷ“ (Od. 19, 188)· „σκῆπτρον μέν τοι δῶκε“ (Il. 9, 38)· τὸ γὰρ ἐντελὲς „τῷ δ' ἕτερον μὲν ἔδωκεν“ (Il. 16, 250). οὕτως οὖν καὶ ἐκ τοῦ ἐναντίου· τὸ μὲν γὰρ ἀκόλουθόν ἐστι κίνημα ἀπὸ τοῦ οἴγω ᾦγεν κατὰ παρατατικόν· „τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν“ (Il. 14, 168) ἀλλὰ τὸ κατὰ πλεονασμὸν τοῦ ε· „χηλοῦ δ' ἄπο πῶμ' ἀνέῳγεν“ (Il. 16, 221). καὶ ἀπὸ τοῦ ἁνδάνω ἥνδανεν „ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε“ (Il. 1, 24)· τὸ δὲ κατὰ πλεονασμόν, „οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε“ (Od. 3, 143). καὶ πάλιν „ἕσσατο δ' ἔκτοσθεν“ (Il. 10, 334)· εἶτα ἐν ἑτέροις „ἑέσσατο δέρμα“ (Il. 10, 177). ἀπὸ δὲ τοῦ ὤθω βαρυτόνου τὸ „ὦσα παρέξ“ (Od. 9, 188) καὶ ὦσε τὸ τρίτον. ὃ ἐν πλεονασμῷ φησι „κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσεν“ (Il. 16, 410). οὕτως οὖν ἐπὶ τούτου. ἐν ἑτέροις γάρ φησιν „ᾠνοχόει δ' υἱὸς Μενελάου“ (Od. 15, 141), ὅπερ κατὰ πλεονασμὸν τοῦ ε ἀκολούθως πάλιν ἀπεφήνατο „νέκταρ ἐῳνοχόει.“ A. ἐν ante τῇ προσῳδίᾳ deerat in Cod.

26. πῶς ἐθέλεις ἅλιον: δασυντέον τὸ ἅλιον· παρὰ γὰρ τὴν ἁλός γενικὴν κτητικῶς μετήχθη. σημαντικὸν δέ ἐστι τοῦ ματαίου, ἐπεὶ οὐκ εὔχρηστον εἰς πόσιν τὸ θαλάσσιον ὕδωρ. τὸ γοῦν ἐναντίον πότιμον καὶ ποταμὸς λέγεται. A.

27. ἱδρῶθ': αἰτιατική ἐστι κατ' ἔκθλιψιν εἰλημμένη· ἔνθεν προπερισπῶμεν· ὀξύνεται γὰρ ἡ εὐθεῖα ὁμοίως τῷ εὐρώς. τὸ δὲ ἵδρωσα οὐκ ἀναγκαῖον συστέλλειν· δύναται γὰρ ἐκτείνεσθαι καὶ μηδὲν λυμαίνεσθαι τῷ μέτρῳ. ἔφαμεν δὲ τὸν ποιητὴν ἀδιαφόρως καὶ φυλάσσειν τὸν χρόνον τῶν παρῳχημένων καὶ ἀποβάλλειν. δύναται μέντοι καὶ ἱδρῶ τε εἶναι τὸ πλῆρες, ἐπεὶ

σύνηθες αὐτῷ οὕτως τὴν αἰτιατικὴν προφέρεσθαι „ἱδρῶ ἀπεψύχοντο“ (Il. 11, 621). A.

43. ἐγὼ σοί: ὀρθοτονητέον τὴν σοί. δύναται γὰρ ἀντιδιαστολὴ εἶναι. A.

46. περὶ κῆρι: περισσῶς τῷ κέαρι. τὸ περὶ φυλάσσει τὸν τόνον, ὅτε σημαίνει τὸ περισσῶς, ὁμοίως τῷ „ὡς περὶ μὲν νόον ἐστί, περὶ δ' ἱρὰ θεοῖσιν“ (Od. 1, 66). τὸ δὲ κῆρι οὐδέτερον ὅταν ᾖ, προπερισπᾶται. ἐκ γὰρ τοῦ κέαρι συνήλειπται, ὅταν δὲ θηλυκὸν ᾖ, ὀξύνεται. ἐνθάδε δὲ οὐδέτερόν ἐστι, προπερισπασθήσεται ἄρα. A. Cod. συνείληπται pro συνήλειπται.

53. πρὸ τέλους ἡ ὀξεῖα τοῦ διαπέρσαι, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. A.

94. τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν: ἐπιπροέμεν: Ἀρίσταρχος ἀναστρέφει, ἵνα τὸ ἑξῆς γένηται ἐπὶ Μενελάῳ, ὡς καὶ ἐπ' ἐκείνου „ἢ καὶ ἐπ' Ἀντινόῳ ἴθυνεν“ (Od. 22, 8). Μενεκράτης δὲ ὁ Μιλήσιος ὑφ' ἕν, ἐπιπροέμεν, ὁμοίως τῷ ἐπιπροΐηλε καὶ ἐπιπροέηκε, ἵν' ἔμφασις μᾶλλον γένηται. A.

97. τοῦ κεν δὴ πάμπρωτα παρ' ἀγλαὰ δῶρα φέροιο. πάμπρωτα παρ' ἀγλαά: τινὲς ἀναστρέφουσι τὴν παρά, κακῶς· οὐδέποτε γὰρ ἀναστρέφεται πρόθεσις γενικῇ συντασσομένη πτώσει· ἔστι γὰρ τὸ ἑξῆς παραφέροιο. AL. Haec sic fere supplenda, ut dixi quaest. ep. 78: οὐδέποτε γὰρ ἀναστρέφεται πρόθεσις συναληλιμμένη. ἀλλ' οὐδὲ ἔστι νῦν τῇ γενικῇ συντασσομένη πτώσει· ἔστι γὰρ cett.

99. πυρῆς ἐπιβάντ': οὐκ ἀναγκαῖον ἀναστρέφειν, ἵνα γένηται τὸ ἑξῆς ἐπὶ πυρῆς βάντα· ἔμφασις γὰρ γίνεται, τῇ μετοχῇ εἰ συνταγείη ἡ πρόθεσις. A.

109. De quantitate in κέρα hic ampla Herodiani nota fuit, ut intelligitur ex Λ, 385. Mihi et ex ea ratione qua ibi loquitur et ex X, 347 tantum patere videtur falsum esse quod nunc de eo scriptum in schol. A ad h. l.: „ἀποκοπή ἐστι τοῦ κέρατα, Ἡρωδιανὸς συναλοιφὴν τοῦ κέραα· τὸ δὲ χρέεα χρέα συγκοπή.“

126. ἐπιπτέσθαι: παροξυτονητέον· ἔστι γὰρ μέσος δεύ-

τερος ἀόριστος, ὁμοίως τῷ „τότ᾽ ἂν οὔ τοι ἀποσχέσθαι“ (Od. 9, 211), καὶ τὸ ἁπλοῦν αὐτοῦ ἐστὶ πτέσθαι. πᾶν δὲ ἀπαρέμφατον συντιθέμενον φυλάσσει τὸν αὐτὸν τόνον. A.

138. τὸ ἔρυτο ψιλοῦται καὶ προπαροξύνεται· οὕτως Ἀρίσταρχος, καὶ ἐπείσθη αὐτῷ ἡ παράδοσις. δύναται δὲ καὶ προπερισπᾶσθαι. ἔστι γάρ τι ῥῆμα ἐρύω. τούτου ὁ παρατατικὸς παθητικὸς γίνεται εἰρυόμην, τὸ τρίτον εἰρύετο, ὃ ἐν συναλοιφῇ καὶ ἐνδείᾳ τοῦ ι ἐγένετο ἐρῦτο. A. Cod. εἰρύω pro ἐρύω. Et ἔρυτο. Inserui δύναται δὲ καὶ προπερισπᾶσθαι. Tale quid inserendum esse patet ex Π, 542. unde praeterea puto in fine hic additum fuisse συγκατατιθέμεθα δὲ μᾶλλον τῷ Ἀριστάρχῳ. [cf. Ω, 1].

151. ὡς δὲ ἴδεν νεῦρόν τε: ἴδεν: συσταλτέον τοῦ ἴδε τὸ ι, ὁμοίως τῷ „οὐκ ἴδον, οὐ πυθόμην.“ (Od. 23, 40) εἰσὶ δὲ οἳ ἀναγινώσκουσιν „ὡς δ᾽ εἶδεν νεῦρόν τε,“ ὁμοίως τῷ „ὡς εἶδεν δύο φῶτε“ (Il. 5, 572), οὐχ ὑγιῶς. ἐνθάδε γὰρ οὐ καλῶς δυνάμεθα ἀναγνῶναι ἢ φυλάσσοντες τὴν ει δίφθογγον. ἐπὶ δὲ τούτων παραφύλαξαι, ὅτι ὅταν ἡ προκειμένη λέξις εἰς τὸ ε καταλήγῃ, ἤτοι διαστέλλει τὸ ι ἀπ᾽ αὐτῆς μετὰ συστολῆς, ἢ ἔκθλιψιν ποιεῖται τοῦ ε, ἔκθλιψιν μὲν οὕτως „τὸν δ᾽ ἴδεν Αἰνείας“ (Il. 5, 166) καὶ „νῦν δ᾽ ἴδεν ὅς μέγ᾽ ἄριστος“ (Il. 2, 82), διαστολὴν δὲ οὕτως μετὰ συστολῆς „τὴν δὲ ἴδεν προμολοῦσαν“ (Il. 18, 382) καὶ „τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ“ (Od. 5, 333). οὕτως οὖν καὶ ἐνθάδε. A.

212. περὶ δ᾽ αὐτὸν ἀγηγέραθ᾽ ὅσσοι ἄριστοι Κύκλοσ᾽: Ἀρίσταρχος μὲν ὀνοματικῶς, ἵν᾽ ᾖ ἀγηγέρατο κύκλος, ὁμοίως τῷ „ἀγρόμενοι πᾶς δῆμος“ (Il. 20, 166)· τοιοῦτο γὰρ βούλεται σημᾶναι, κύκλος γενόμενος. Νικίας δὲ καὶ ὁ Ἀσκαλωνίτης κυκλόσε, ὡς „πόσε φεύγετε“ (Il. 16, 422). ὅπερ καὶ πιθανώτερον. οὐ γὰρ δύναται ἐντελὴς εἶναι ἡ σύνταξις τοῦ Ἀριστάρχου, ἀγηγέρατο κύκλος· λείπει γάρ τι. διὸ ὁ Ἀρίσταρχος ἔξωθεν προστίθησι τὸ γενόμενοι· εἰ δὲ προστίθησιν, ἄμεινον αὐτόθεν ἀναγινώσκειν κυκλόσε· τοιοῦτο γὰρ τὸ ἐπίῤῥημα τὴν προκειμένην σχέσιν σημαῖνον. εἰ δέ τις λέγοι, διὰ τί γὰρ τὸ ἀγρόμενοι πᾶς δῆμος εὐπαραδεκτόν ἐστιν, οὐκέτι δὲ τὸ ἀγηγέρατο κύκλος, ἴστω ὅτι τὸ δῆμος τῇ μὲν φωνῇ ἑνικόν ἐστι, τῷ δὲ σημαινομένῳ

πληθυντικόν· τῷ οὖν σημαινομένῳ ἡ σύνταξις ἐγένετο, ὡς καὶ ἐπὶ τοῦ „ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο“ (Il. 15, 305). οὔ γε μὴν ὁ κύκλος ἔχεται τούτου τοῦ σημαινομένου· διὸ οὐδὲ ἐντελὴς ἡ τοιαύτη σύνταξις ἐπ' αὐτῷ δύναται γενέσθαι. A.

222. κατὰ τεύχε' ἔδυν: συσταλτέον τὸ ἔδυν· πληθυντικὸν γάρ ἐστι συγκοπὲν ἀπὸ τοῦ ἔδυσαν, τὸ δὲ ἑνικὸν ἐκτατέον ἔδυν· „δῦ μιν Ἄρης“ (Il. 17, 210). ὅμοιόν ἐστιν αὐτῷ καὶ τὸ „ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδόν“ (Od. 5, 481). εἰ δέ τις λέγοι ὅτι τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ὁμοφωνοῦντα καὶ ὁμόχρονά ἐστιν, οἷον ἔλεγον ἐγὼ καὶ ἔλεγον ἐκεῖνοι, ἴστω ὅτι ἐκ συγκοπῆς ἐστὶ τοῦτο τοῦ ἔδυσαν. ἐν δὲ τοῖς τοιούτοις τρίτοις ἡ συγκοπὴ ἀναδέχεται λῆξιν τὴν αὐτὴν τῇ παραληγούσῃ τῆς γενικῆς τῆς κατὰ τὴν μετοχήν, ἔστησαν ἔσταν, στάντος γάρ· ἔβησαν ἔβαν, βάντος γάρ· ἐκοσμήθησαν ἐκόσμηθεν, κοσμηθέντος γάρ· „φάνεν δὲ οἱ εὐρέες ὦμοι“ (Od. 18, 68), φανέντος γάρ· ἔφυμεν, ἔφυτε, ἔφυσαν ἔφυν, ἐπεὶ φύντος· ἔδυμεν, ἔδυτε, ἔδυσαν ἔδυν, ἐπεὶ δύντος. περὶ δὲ τοῦ „τῆς δ' ἦν τρεῖς κεφαλαί“ (Hesiod. Th. 321) ἐν τοῖς περὶ ῥήματος ἐροῦμεν. τὸ μέντοι γε ἔδυν ἑνικὸν ἐκτείνεται, ἐπεὶ πᾶς δεύτερος ἀόριστος ἐπὶ τῶν εἰς μι μακροκατάληκτός ἐστιν, ἔγνων, ἑάλων, ἐξέτρων, ἔτλην, ἔστην, ἔδην, ἔφην. ἔφυν ἄρα καὶ ἔδυν. AB. Cod. δῦ δέ μιν Ἄρης.

228. Πειραΐδαο: ἐν τέσσαρσι συλλαβαῖς προφέρεται (quis? aut tertia persona epitomatori debetur Herodianum significanti aut excidit nomen, e. g. Ἀρίσταρχος aut Πτολεμαῖος·) τὴν εὐθεῖαν τοῦ πατρωνυμικοῦ, καὶ οἱ ἄλλοι. Τυραννίων δὲ τρισυλλάβως, λέγων ὡς ὅτι οὐδὲν πατρωνυμικὸν παρὰ τῷ ποιητῇ ἔχει πρὸ τέλους διεσταλμένον τὸ ι ἀπὸ ἑτέρου φωνήεντος, οἷον Πανθοΐδης, Βοηθοΐδης Πηλεΐδης· οὐδ' ἄρα τοῦτο. ὑπὲρ δὲ τοῦ τετρασυλλάβως ἀναγινώσκειν ἔχομεν ἐκεῖνο λέγειν, ὡς ὅτι ἐντελές ἐστι τὸ κατὰ διάλυσιν τοῦ ι, καὶ ὅτι οὐχ ἔχομεν τοιοῦτό τι πατρωνυμικόν, ὃ κατὰ σύλληψιν ἐξηνέχθη τοῦ α καὶ τοῦ ι πρὸ τέλους. παρὰ τὸ Πείραιος οὖν Πειραΐδης ἐγένετο. A.

235. οὐ γὰρ ψεύδεσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός: Ἀρίσταρχος ἐπιθετικῶς ἀναγινώσκει ψευδέσι ὡς σαφέσι· τοῦτο γάρ φησι θέλει δηλοῦν, οὐ γὰρ τοῖς ψεύσταις Τρωσὶ βοη-

θεὶ ὁ Ζεύς. εἰ δὲ τὸ πρᾶγμα ἠβουλόμεθα παραλαβεῖν, ψεύδεσιν ἀνέγνωμεν ὡς βέλεσιν, ἵν' ἀπ' εὐθείας ᾖ ἡ κλίσις „ψεῦδος δ' οὐκ ἐρέει“ (Od. 3, 20). οὕτως δὲ καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης συγκατατιθέμενος Ἀριστάρχῳ. ὁ μέντοι Ἑρμαππίας προσηγορικὸν ἀναγινώσκει ψεύδεσιν ὡς τείχεσιν, ἐπεὶ οὐδέποτ, φησίν, οἶδεν ὁ ποιητὴς ἁπλοῦν τὸ ψευδής, ἐν δὲ συνθέτῳ φιλοψευδής (Il. 12, 164) ἀψευδής (Il. 18, 46), ἢ οἶδεν ἑτέρως λεγόμενον τὸ „ψεῦσταί τ' ὀρχησταί τε“ (Il. 24, 261). συνεχῶς δὲ τὸ ψεῦδος „ὦ γέρον οὔ τι ψεῦδος“ (Il. 9, 115) „ψεῦδος δ' οὐκ ἐρέει“ (Od. 3, 20) „ἴσκε ψεύδεα πολλά“ (Od. 19, 203). AV.

243. ἕστητε: Πτολεμαῖος ψιλοῖ, ἐπεὶ γίνεται στῆτε, τὸ δὲ ἀποπῖπτον ε ψιλοῦται. καὶ ἀληθεύει ἐνθάδε μέντοι γε οὐκ ἔστιν, ἀλλ' ἐκ τοῦ ἕστατε ἔκτασις ἐγένετο τοῦ α εἰς η· στάτε δὲ οὐ γίνεται. ἔνθεν δύναται δασύνεσθαι· τὸ γὰρ αὐτό ἐστι τῷ ἑστήκαμεν τὸ ἕστατε. A.

308. πόλεας: οὕτως Ἀρίσταρχος προπαροξύνει, καὶ ἐπὶ τῶν πόλεων τὸ σημαινόμενον ἐκδέχεται, ᾧ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης, λέγων ὅτι καὶ διὰ τοῦ ε οἶδεν ὁ ποιητὴς τὴν χρῆσιν καὶ διὰ τοῦ ι, διὰ μὲν τοῦ ι „ἐκ πόλιος δ' ἀλόχους“ (ι. 41) „πολλέων ἐκ πολίων“ (I, 544) διὰ δὲ τοῦ ε πόλεως „χρυσείην ἑκατὸν πόλεων“ (E, 744). πιθανὸν οὖν ἐστιν ἐκδέξασθαι ἐνθάδε ἐπὶ τῶν πόλεων τὸ σημαινόμενον, ἐπεὶ καὶ τείχεα ἐπιφέρει. A. Cod. ἄλοχον pro ἀλόχους.

319. κατέκταν μετὰ τοῦ ν αἱ Ἀριστάρχου, καὶ ἐν ἐκτάσει τοῦ α Δωρικῇ οὔσῃ ὡς ἔβαν ἐγώ. ἡ γὰρ χρῆσις τοιαύτη ἦν παρὰ Ἀττικοῖς· παρὰ γὰρ τὸ κτῶ καὶ κτῆμι κινήματα ἱκανὰ ἐξέπιπτεν· δεύτερος μὲν αὐτὸς ἀόριστος, ὀφείλων εἶναι κοινῶς ἔκτην, γινόμενος δὲ κατὰ Δωρίδα ἔκταν, ὃς ἐν χρήσει ὁρᾶται Ἀττικοῖς. Εὐριπίδης Πλεισθένει „οὐ τὸν σὸν ἔκταν πατέρα πολέμιόν γε μήν“. Αἰσχύλος δὲ Παλαμήδει· „τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης“ καὶ ἐν Σεμέλῃ ἢ ὑδροφόροις „Ζεὺς ὃς κατέκτα τοῦτον“. ἐπίσταται ὁ ποιητὴς καὶ τὸ πληθυντικὸν πρώτου ἀορίστου παθητικοῦ κατὰ συγκοπὴν „οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισι“ (Od. 4, 537), καὶ μέσος δεύτερος ἀόριστος „Τεῦκρε πέπον δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος“ (Il. 15, 437);

ῷ ἀκόλουθον ἀπαρέμφατον τὸ „κτάσθαι τε πολίτας" (ib. 558)· μετοχαί τε σημαίνουσαι τὸ κτῆμι, ἦτε κτάς καὶ κτάμενος, ἀπαρέμφατόν τε ἐνεργητικὸν τὸ κτάμεναι. ὑγιῶς ἄρα Ἀρίσταρχος ἔκταν γράφει ὡς ἔκταν (imo ἔβαν ut supra, Aiax 868) ἐγώ. A. Cod. Παλαμήδη, et ἐνεργητικόν post μέσον δεύτερον ἀόριστον, quod transtuli post ἀπαρέμφατόν τε.

346. δασυντέον τὸ μελιηδέος. A.

404. μὴ ψεῦδε: τὸ πλῆρές ἐστι μὴ ψεύδεο· ἀρκεῖ οὖν ἡ ὀξεῖα. A.

412. τέττα σιωπῇ ἧσο: (Cf. Z, 336. O, 10. 245. Ω, 84) δασυντέον τὸ ἧσο. AL.

423. Ζεφύρου ὕπο κινήσαντος: Πτολεμαῖος ὁ τοῦ Ἀριστονίκου καὶ Νικίας καὶ Τυραννίων ἀναστρέφουσιν· οἱ δὲ ἄλλοι παρέλκειν φασὶ τὴν πρόθεσιν, ἔνθεν καὶ φυλάσσεται ὁ τόνος ὁμοίως τῷ „ἔσχεν ὑφηνίοχος" (Il. 6, 19) καὶ „Ποσειδάωνος ὑποδμώς" (Od. 4, 386) A.

452. χείμαρροι: Πτολεμαῖος ὁ Ἀσκαλωνίτης παροξύνει, ἐπεὶ τὸ ἑνικόν ἐστι χειμάρρους, Νικίας δὲ ὡς εὔζωνοι, καὶ μήποτε πιθανώτερον, ἵνα ἐκ τοῦ χειμάρροος ᾖ γεγονός, εἴγε μᾶλλον ἐντελέστερον οἶδε τὰ ἑνικὰ ἐν τῇ συνθέσει ἤπερ τὸ συνηλιμμένον· „ὅσσους Ἑλλήσποντος ἀγάρροος" (Il. 2, 845) „στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ" (Il. 5, 598) „ἐς ποταμὸν εἰλεῦντο βαθύρροον" (Il. 21, 8) „ἀψορρόου Ὠκεανοῖο" (Il. 18, 399). σπανίως δὲ τὸ ἕτερον· „χειμάρρους κατ' ὄρεσφιν ὄπαζεν" (Il. 11, 493) „ποταμῷ πλήθοντι ἐοικὼς χειμάρρῳ" (Il. 5, 87), τὸ μέντοι γε ἁπλοῦν ἀεὶ ἐντελῶς ἀποφαίνεται ῥόος· „ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος" (Il. 21, 240). A. Fuit οἱ δὲ pro οἶδε.

483. ἐν εἱαμενῇ: δασυντέον ἀπὸ τῆς ἕσεως. A. Cf. O, 631.

497. ἀμφὶ ἕ: δασυντέον τὸ ε καὶ ὀρθοτονητέον· μεταλαμβάνεται γὰρ εἰς σύνθετον. A.

534. οἷ ἑ: ἐγκλιτικῶς ἀναγνωστέον, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται. A.

ΕΙΣ ΤΗΝ Ε.

9. Δάρης: ὡς Χάρης. ὁμολογεῖ καὶ ἡ γενική· Δάρητος γὰρ ὡς Χάρητος. εἰ γὰρ ὠξύνετο, ἡ γενικὴ ἐγίνετο Δαροῦς ὡς σαφοῦς, ὅτι τὰ εἰς ης δισύλλαβα ὀξύτονα, ἓν ἔχοντα σύμφωνον, εἰς ους περατοῦται κατὰ τὴν γενικήν, σαφοῦς, πρηνοῦς, πρυλοῦς, φραδοῦς „φραδέος νόου ἔργα" (Il. 24, 354). τοιαύτη ἄρα ἐγίνετο καὶ ἡ τοῦ προκειμένου ὀνόματος κλίσις. περὶ δὲ τοῦ ψιλῆτος παρ' Αἰσχύλῳ καὶ τοῦ „κουρῆτές τ' ἐμάχοντο" (Il. 9, 529) καὶ τοῦ κριτής ἐν τοῖς περὶ ὀνομάτων ἀποδώσομεν τὸν λόγον. γέγονε δὲ τὸ Δάρης ἤτοι παρὰ τὸ δείρω καὶ ἐκδείρω (ἐοικὸς γὰρ ἱερεῖ), καὶ ἐχρῆν γε αὐτὸ εἶναι Δέρης ὡς Φέρης· ἐτράπη οὖν τὸ ε εἰς α. ἢ παρὰ τὸ δαίω τὸ καίω ἐν πλεονασμῷ τοῦ ρ. Α.

19. μεταμάζιον: οὕτως μεταμάζιον ἓν ποιητέον ὡς τὸ μετάφρενον καὶ ἐνώπιον. παρῆκται δὲ παρὰ τὸ μαζός καὶ τὴν μετά, ὡς παρὰ τὸ χθονός καὶ τὴν ἐπὶ ἐπιχθόνιος, παρὰ ποταμὸν παραποτάμιος. γίνεται γὰρ καὶ ἀπὸ δύο λέξεων κατὰ παράθεσιν ἕν τι παραγωγόν, ὡς τὸ Νεαπολίτης καὶ ἄλλα μυρία. Α.

31. Ἆρες Ἄρες: Ἰξίων τὸ δεύτερον ὀξύνει, ἵν' ᾖ ἀντὶ τοῦ βλαπτικέ· οὐδέποτε γὰρ κλητικὴ ἀναδιπλασιάζεται παρὰ τῷ ποιητῇ. οὐχ οὕτως δὲ ἔχει ἡ παράδοσις. ΑΒ.

39. δασυντέον τὸ Ἁλιζώων· οὗ (οὕτω corrigit Bekker.) γὰρ ἱστοροῦνται λεγόμεναι. Α.

39. Ὀδίον: πρὸ τέλους ἡ ὀξεῖα ἐπεὶ κύριόν ἐστιν· τὸ δὲ προσηγορικὸν ὅδιος ὡς σκότιος. βούλονται γὰρ τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων μὲν παροξύνειν, ἐπὶ δὲ προσηγορικῶν προπαροξύνειν, Τυχίος Δολίος, κἂν μὴ σχῇ διαστολήν, ὡς τὸ Χρομίος. Πτολεμαῖος μέντοι γε κἂν τῇ Ὀδυσσείᾳ (8, 370) ἀνεγίνωσκεν „Ἀλκίνοος δ' Ἁλίον" πρὸ τέλους ποιῶν τὴν ὀξεῖαν. ἔστι μέντοι γε διαπεφευγότα τινά, ὡς τὸ Ἄνιος καὶ Εὐφορίωνος Ξένιος (v. Mein. Anal. Alex. 23.) καὶ ἐν τῇ συνηθείᾳ τὸ Κρόνιος. Α.

43. Φαῖστον: προπερισπᾶται τὸ Φαῖστον ἐπὶ τοῦ ἥρωος, ἐπὶ δὲ τῆς πόλεως ὀξύνεται „ἐς Φαιστόν, μικρὸς δὲ λίθος" (Od. 3, 296). Α. Cod. μικρὸν.

54. οὕτως ἐκηβολίαι ὡς εὐστοχίαι. ἔφαμεν γὰρ ὅτι τὸ ἀναδιδόναι τὸν τόνον τῶν μεταγενεστέρων ἐστὶν Ἀττικῶν, ὅτε περὶ τοῦ „πῇ δὴ συνθεσίαι“ (Il. 2, 339) διελαμβάνομεν. A.

64. οἵ τ' αὐτῷ: ἡ οἵ ὀρθοτονεῖται νῦν διὰ τὴν ἀρχήν, οὐ πάντως δὲ εἰς σύνθετον μεταληφθήσεται. ἔτι δὲ συν ἐπέπλεκτο. ὅμοιον δέ ἐστι τὸ „ἀλλὰ τόδ' ἤμὲν ἐμοὶ πολὺ κάλλιον ἠδὲ οἵ αὐτῷ“ (Il. 15, 226). A. Verba ἔτι δὲ συνεπέπλεκτο inseruimus, v. quaest. ep. 108.

64. Πήδαιον: Ἀρίσταρχος ὡς Πήδασον, καὶ ἐπεκράτησεν. καὶ ἴσως ἔχει ἀφορμὴν τοιαύτην, ὡς πολλάκις τὰ τοιαῦτα τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, εἰ ῥῆμα αὐτῶν προκατάρχοι, ὥσπερ ἔχουσι τὸ βέβαιος (παρὰ γὰρ τὸ βέβηκα), ὡς τὸ Φίλαιος, τὸ Νίκαιος, τὸ Τίμαιος. τοιοῦτον οὖν καὶ Πήδαιος. οὐ γάρ, ὡς οἴεται ὁ Ἄβρων, παρὰ τὴν πῆδον (sic)· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχηματίσθαι. A.

76. Εὐαιμονίδης: ψιλοῖ ὁ Ἀσκαλωνίτης, ἵνα κύριον γένηται ὥσπερ καὶ τὸ Φίλιππος καὶ Μελάνιππος. ἔστι μὲν οὖν ὃ λέγει πιθανὸν (διὰ τοῦτο γοῦν καὶ τὸ πολύμνια πῇ μὲν ψιλοῦμεν πῇ δὲ δασύνομεν, καὶ τὸ Εὐρύαλος, Ἀγχίαλος)· οὔ γε μὴν ἀληθές· εὑρέθη γὰρ τὸ Πάνδρμος δασυνόμενον, καὶ Ἔφιππος ὁ κωμικός. A. Cod. Πολύμνεια. De hoc loco pessime erravi in Aristarcho p. 332. Primum quod ad πολύμνια attinet aspiratio non potest pertinere nisi ad syllabam secundam, docetque hic locus apud poetam aliquem etiam πολύμνια pro adiectivo inventum fuisse, qua significatione in emendatis exemplaribus cum aspero ferebatur, contra Musa cum leni. Deinde hic locus totus Herodiani est, ut iam oratio satis demonstrat. At vero ita contractus est, ut sententiam Herodiani expedire difficile sit. Attamen apparet et ex hoc ipso loco et ex H, 167 et ex Θ, 276 (nam nec de hoc dubitare debebam p. 331 not.) Herodianum in universum tenuisse illud discrimen et ut in meliore paradosi ferebatur sic secutum esse, in iis etiam quae cum ἵππος composita essent. Disputaverat contra Ptolemaeum de necessitate et constantia. Ad hoc attulerat e. g. Πάνδρμος, ad hoc admonuerat non tantum de ἔφιππος (Eupolis) et Ἐφιπ-

πος, sed ut ex Eustathio videmus h. l. contra etiam de λεύκιππος et Λεύκιππος. Haec igitur si neglexerat Ptolemaeus, argumentatio eius, utcunque caetera probabilis, vera non erat. Commodius etiam pro ἀληθές leges διηνεκές. — Iam in Eustathii loco quod ab illis discrepat, eius tribuo negligentiae: Ἡρωδιανὸς δὲ περὶ τοῦ ὡς ἐῤῥέθη κατὰ τὸν Φίλιππον πνευματισμὸν νοήσας ἑτεροῖόν τι φησὶν ὅτι Φίλιππον μὲν τὸ κύριον ἀξιοῦσιν οἱ γραμματικοὶ ψιλῶς λέγεσθαι, δασέως δὲ τὸ ἐπίθετον, ἀγνοοῦντες ὅτι καθ' ἓν ἑκάτερα δύνανται εἶναι· καὶ γὰρ λεύκιππος λέγεται παρὰ Στησιχόρῳ ἐπιθετικῶς· ἀλλὰ καὶ Λεύκιππος ὀνομάζεται ὁμοίως ὁ Φοίβης καὶ Ἐλαείρας πατήρ, ὥστε ψιλοῖ αὐτὸς ἐν ἀμφοῖν τούτοιν τοῦ ἵππος τὴν ἄρχουσαν καὶ οὐκ ἐν μόνῳ τῷ κυρίῳ. Hoc extremum parum accuratum esse iam inde vides quod antea dixerat „καθ' ἑκάτερα δύνανται εἶναι" nec commemoravit ἔφιππος.

99. τὸ χυαλον ὅταν ἐπίθετον ᾖ ὀξύνεται „εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάσασθαι". A. Tria ultima vocabula et Eustath. affert. Ludamus aliquid: αὐτὰρ ὁ παῖς (Hyacinthus) ἀφέμεν γ. λ. ἄγχι λιασθείς —

100. ἀντικρύ: ὀξύνεται καὶ ἐκτείνεται· ὅταν δὲ ἔχῃ τὸ ō, συστέλλεται καὶ βαρύνεται. τὸ δὲ αἴτιον ἐν τῷ περὶ ἐπιῤῥήματος ἐροῦμεν. A.

130. ἐνθάδε βούλονται τοῦ ἀντικρύ τὴν τελευταίαν συστέλλειν διὰ τὸ μέτρον. A. (cf. v. 100).

138. αὐλῆς ὑπεράλμενον: Διονύσιος ἀναστρέφει τὴν ὑπέρ. ὁ δὲ Ἀσκαλωνίτης ἓν ἐποίει, ὃ καὶ πιθανώτερον. A.

158. χηρωσταί: ὡς ἀθληταί. οὕτως καὶ ὁ Ἀσκαλωνίτης· τὰ γὰρ εἰς της λήγοντα ῥηματικὰ ὑπὲρ δύο συλλαβάς, φύσει μακρᾷ παραληγόμενα, ὀξύνεται, τορευτής, βραβευτής, ἀθλητής, ποιητής, ὀρχηστής, χρυσωτής. οὕτως οὖν καὶ παρὰ τὸ „ἐεδνώσαιτο θύγατρα" (Od. 2, 53) τὸ ἐεδνωτής, καὶ παρὰ τὸ „χηρώσας δὲ γυναῖκα" (Il. 17, 36) τὸ χηρωστής. μάχεται τὸ κυβερνήτης· τὸ γὰρ ἀήτης ἄλλως γέγονε. (An ab ἀήτη?) τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ „στείχων δ' ἀγρώστην ὄχλον" παρώνυμον. (cf. N, 382) A.

163. ἀέκοντας: στέρησίς ἐστι τοῦ ἑκόντα τὸ ἀέκοντα·

δὲ δασυντέον τὸ ε. πταίει οὖν Νικίας ψιλῶν τὸ ε· οἴεται γὰρ τῷ ἄκοντα ἐπεντίθεσθαι τὸ ε. ὅπερ οὐκ ἔστι· τὸ γὰρ ἄκοντα συναλοιφή ἐστι τοῦ ἀέκοντος. διὰ τί δὲ τὸ α ἐψιλώθη, ἐν ἑτέροις ἔφαμεν. (e. g. A, 301). A. Cod. τὸ ἄκοντα pro τῷ.

178. χαλεπὴ δὲ θεοῦ ἐπι μῆνις: Ἀρίσταρχος παρολκὴν οἴεται τῆς ἐπί, ὁμοίως τῷ ἐπισμυγερῶς (Od. 3, 195) καὶ „βοῶν ἐπιβουκόλος ἀνὴρ" (ib. 422). ὅταν δὲ παρέλκῃ ἡ πρόθεσις, οὐ ποιεῖται ἐξαλλαγὴν τόνου. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ὁμοίως τῷ „ἐπεὶ οὗτοι ἔπι δέος" (Il. 1, 515), ἵνα τὸ ἔπεστι σημαίνηται. ἄλλοι δὲ ἐπίμηνις, ἓν μέρος λόγου ποιοῦντες. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι. A.

202. φορβῆς: ὡς τροφῆς· τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ο παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε παραληγομένων μόνῳ, οἷον στρέφω στροφή, τροπή, ῥοπή, σπονδή, νομή, ὁλκή, πλοκή. οὕτως καὶ φορβή. προσέθηκα τῷ ε παραληγομένων μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη· τοῦτο γὰρ παρὰ τὸ πείρω. A.

203. ἄδδην: Νικίας διὰ δύο δ γράφει διὰ τὸ μέτρον, ὁμοίως τῷ „κόνιν ἀδδεές" (Il. 21, 481), καὶ ψιλοῖ. Ἀρίσταρχος δὲ δι' ἑνὸς δ καὶ βραχέως καὶ δασέως· τὸ γὰρ α πρὸ τοῦ δ δεκτικὸν μὲν ψιλοῦται, ὡς τὸ ἀδολέσχης ἀδρανής, μὴ οὕτως δὲ ἔχον δασύνεται „ἅδε δ' Ἕκτορι" (Il. 12, 80) „ἅδος τέ μιν ἵκετο θυμὸν" (Il. 11, 88). καὶ τὸ Ἄδωνις δέ τινες δασύνουσι παρὰ τὸ ἥδω. AB. μάχεται τὸ ἀδράφαξυς δεκτικὸν ἔχον τὸ α καὶ δασυνόμενον. A. v. Λ, 88 et Eustath. h. l. Mihi hoc totum intactum erat ἄμεινον.

219. νώ: τὸ νώ βαρυτονητέον. ἅπαξ δὲ ἐν Ἰλιάδι καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ τῷ νώ ἐχρήσατο κατ' αἰτιατικὴν πτῶσιν, ὥσπερ καὶ ἐνθάδε. „νώ ἀναβησάμενοι" (Od. 15, 475). ὁπότε μέντοι γε σὺν τῷ ι λέγεται, καὶ ἐπ' εὐθείας αὐτὸ τάσσει καὶ ἐπ' αἰτιατικῆς καὶ προπερισπᾶται· „νῶϊ δ' ἐγὼ Σθένελος" (Il. 9, 48) καὶ „οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ" (Il. 14, 344). περὶ δὲ τῆς τάσεως τοῦ μονοσυλλάβου, διὰ τί οὐ περιεσπάσθη, ἐν τῷ περὶ ἀντωνυμιῶν δηλοῦται. καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς ω λῆγον περισπᾶται· οὕτως γὰρ ἔχει καὶ τὸ σφώ, τασσόμενον καὶ ἐπ' εὐθείας καὶ ἐπ' αἰτιατικῆς· καὶ παρ' αὐτῷ „σφὼ δὲ μάλ' ἠθέλετον"

(Il. 11, 782) „Ζεὺς σφὼ ἐς Ἴδην“ (Il. 15, 146) AB. Cf. K, 546.

237. τέ' ἅρματα: τὸ πλῆρές ἐστι τεά· διὸ βαρυτονητέον· ἐπιφέρει γοῦν „καὶ τεῷ ἵππω“. A.

252. οὐδὲ σέ: ὁ Ἀσκαλωνίτης τὸν δὲ ὀξύνει, ἵνα ἐγκλιτικῶς ἀναγνῷ. οὐκ ἀναγκαῖον δέ, ἀλλ' ὀρθοτονεῖν· καὶ γὰρ δύναται συνδεδέσθαι. A.

256. ἔα: συστέλλεται τὸ α καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτός ἐστιν ἐῶ ἐᾷς ἐᾷ, σὺν τῷ ι γραφόμενον ὡς τιμῶ τιμᾷς τιμᾷ. τοῦ δὲ παρατατικοῦ εἴων εἴας εἴα οὐ προςγραφομένου τοῦ ι „οὐ μ' εἴας μακάρεσσι“ (819). καὶ τὸ τρίτον ἐν Ἰωνικῇ παραγωγῇ „τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι“ (Il. 20, 408) καὶ „τόνδε δ' ἔασκεν“ (Il. 24, 17) καὶ προςτακτικὸν „ἀλλ' ἔα ὥς οἱ πρῶτα“ (Il. 1, 270). εἰ τοίνυν ἐστὶ τοιοῦτο „τρεῖν μ' οὐκ ἔα,“ μόνον συνεστάλη τὸ ἄλφα, καὶ ὁ παρατατικός ἐστιν ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ὁ ἐνεστὼς αἰεί ἐστι περισπώμενος καὶ σὺν τῷ ι γραφόμενος, δῆλον ὅτι πολλὰ πάθη· συστολὴ γὰρ τοῦ α, καὶ ἐκβολὴ τοῦ ι καὶ μεταβολὴ τοῦ τόνου, εἰ μὴ ἄλλως ἐκδεξαίμεθα, ὅτι ἔθος αὐτῷ ταῦτα τὰ τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόςωπον πολλάκις διαλύειν εἰς δύο αα, ὧν τὸ μὲν πρότερον συνεσταλμένον ἐστί, τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ι γραφόμενον, ὁρᾷς „οὐχ ὁράᾳς οἷος κἀγὼ“ (Il. 21, 108) καὶ ἐπὶ τοῦ τρίτου „ἰσχανάᾳ δοκέειν“ (Il. 17, 572) καὶ „ἐκπεράᾳ μέγα λαῖτμα“ (Od. 9, 323) „οὐκ ἐάᾳ Κρονίδης“ (Il. 8, 414). τοῦτο τοίνυν τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν εἰρῆσθαι „τρεῖν μ' οὐκ ἔα“. ἔνθεν καὶ συνέσταλται τὸ α καὶ βεβάρυνται. οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτας ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ „οὖτα καταὶ λαπάρην“ (Il. 6, 64). εἰ δέ τις ἐπιζητήσειεν ὁμοιότητα ἀπὸ τῶν εἰς ω περισπωμένων ἢ βαρυτόνων ἐπὶ τρίτου ἀποκοπήν, καὶ μὴ εὑρὼν μηδὲ τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει· περὶ γὰρ πάθους διαλαμβάνομεν. A. Transiit in Et. unde inseruimus quod hic deerat τοῦ δὲ παρατατικοῦ. Nonne post βαρυτόνων deest ἐνεστῶτος?

266. υἷος: προπερισπαστέον· ἀπὸ γὰρ εὐθείας ἐστὶ μὴ εἰρημένης τῆς υἷς, ἧς γενικὴ ὤφειλεν εἶναι τρισύλλαβος ὡς μάντιος. αὕτη τοίνυν συναλοιφὴν παθοῦσα καὶ δισύλλαβος γενομένη

βαρύνεται, ἧς ἀκόλουθος δοτική „Νηληΐῳ υἷι ἐοικώς“ (Il. 2, 20), καὶ αἰτιατικὴ „ἀλλ' υἷα Κλυτίοιο σαώσομεν“ (Il. 15, 147) καὶ πληθυντικὴ εὐθεῖα „υἷες ὁ μὲν Κτεάτου“ (Il. 2, 621) καὶ αἰτιατικὴ „υἷάς τ' ὀλλυμένους“ (Il. 22, 62). ἀποδείξομεν δὲ καὶ τὸ „υἱάσι δὲ Πριάμοιο“ (463) παρὰ τοῦτο κεκλίσθαι ἐν τοῖς περὶ ὀνομάτων, ὅταν καὶ περὶ τῆς καθολικῆς κινήσεως τοῦ ὀνόματος διαλαμβάνωμεν. A.

269. θήλεας ἵππους: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ἵν' ἀπ' εὐθείας τῆς θῆλυς ᾖ κεκλιμένον· „θῆλυς ἐέρση“ (Od. 5, 467) „Ἥρη θῆλυς ἐοῦσα“ (Il. 19, 97) „θῆλυν ὑπόῤῥηνον“ (Il. 10, 216). οὕτως Ἀρίσταρχος καὶ ὁ Ἀσκαλωνίτης. A. Cod. ἐέρση.

278. ἦ μάλα: περισπαστέον τὸν ἦ· ἔστι γὰρ μᾶλλον βεβαιωτικός. A.

283. τῷ δ' ἐπὶ μακρὸν ἄϋσε: ἐπί: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρεται. ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον δὲ συνετάττετο, ἀνεστρέφετο, δι' ὃν προείπομεν πολλάκις λόγον, ὡς ὅτι ἐὰν μεταξὺ πέσῃ μέρος λόγου, οὐ γίνεται ἀναστροφὴ τῆς προθέσεως, ἐὰν μὴ τελευταία στίχου τεθῇ, ὡς τὸ „ἔκτυσε πουλὺ κάτα.“ A. — LV. πολὺ Codd. **Item est apud Io. Alex. p. 79. Verum πουλύ, quod coniecerat Dindorfius, servatum est apud Moschop., qui περὶ σχεδ. p. 35. 36 Ioannem Alexandrinum a p. 26, 13 usque ad finem capitis 28, 19 descripsit.**

289. ταλαύρινον: Ἀρίσταρχος ψιλοῖ τὸ ρ· οὐ γάρ φησι σύνθετον δεῖ νοεῖν τὸν σχηματισμόν, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τὸν εὔτολμον καὶ ἰσχυρόν. ὁμοίως δὲ καὶ Ἀριστοφάνης. Τρύφων δὲ σύνθετον αὐτὸ ἐκδέχεται, παρὰ τὸ ταλαόν καὶ τὴν ῥινόν, ὁμοίως τῷ ταναόποδα ταναύποδα. εἴτε δὲ λεκτὸν ἔχει τὸ ἐπὶ τέλους, εἴτε παρέλκει, ὀφείλει φυλάττεσθαι τὸ πνεῦμα· οὕτως γὰρ διελάβομεν καὶ περὶ τοῦ μελιηδέος οἴνου, ᾧ καὶ αὐτὸς συγκατατίθεται. ἡ μέντοι παράδοσις ἐπείσθη Ἀριστάρχῳ. AV. L.

292. πρυμνήν: πρυμνήν ὡς πυκνήν. ἐπίθετον γάρ. ὅταν δὲ ἰδίως ἐπὶ τοῦ πλοίου, βαρύνομεν, ὡς λευκή καὶ λεύκη. ὀξύνεται δὲ ὁ πρυμνός, ἐπεὶ τὰ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ἁπλᾶ ὀξύνεται, συχνός πυκνός· οὕτως πρυμνός. A.

297. Ἡλιόδωρος στίζει εἰς τὸ ἀπόρουσεν, εἶτα ἄρχεται ἀπὸ τοῦ σὺν ἀσπίδι δουρί τε μακρῷ. ἃ γὰρ εἶχε, φησί, πρότερον, ταῦτα τῷ Πανδάρῳ παρέδωκε. αἴρει γοῦν (οὖν), φησί, τὴν ἀσπίδα ἀπὸ τοῦ νεκροῦ καὶ καθοπλίζεται, καὶ τὸ βληθὲν ὑπὸ τοῦ Διομήδους δόρυ (Voluit igitur: Αἰνείας δ' ἀπόρουσε. σὺν ἀσπίδι δουρί τε μακρῷ, δείσας — Ἀχαιοί, ἀμφὶ δ' ἄρ αὐτῷ βαῖνε.) τοῦτο δὲ οὐκ ἔστιν ἀληθὲς ὡς ὅτι ἀπὸ τοῦ Πανδάρου ὁ Αἰνείας αἴρει τὰ ὅπλα· οὐ γὰρ ἐδήλωσεν ὁ ποιητής. ἀπίθανόν τε αὐτὸν ἑαυτὸν τὸν Αἰνείαν γυμνὸν παραδεδωκέναι τοῖς πολεμίοις. ὑπόψυχρόν τε τὸ ἐκδέχεσθαι τὸν Διομήδη ἕως οὗ καθοπλίσηται ὁ Αἰνείας, καὶ μὴ εὐθέως αὐτὸν ἀνελεῖν. διὸ καὶ ὁ Ἀσκαλωνίτης συνάπτει, ὥστε ἐπὶ τοῦ Αἰνείου κεῖσθαι τὸ σὺν ἀσπίδι δουρί τε μακρῷ· καὶ δῆλον ὅτι ὁ Πάνδαρος ὑπ' ἄλλου κατὰ τὸ σιωπώμενον καθώπλιστο, ὁ δὲ Αἰνείας εἰς τὸ μετάφρενον μετενηνόχει τὴν ἀσπίδα, εἶχε δὲ τὸ δόρυ παρακείμενον, ᾗ ἔκειτο ἐν τῷ δίφρῳ, ὥσπερ καὶ Νέστωρ ἡνιοχῶν Διομήδει, ὡς σαφὲς ἐκ τοῦ Ἕκτορος προσώπου „αἴ κε λάβωμεν ἀσπίδα Νεστορέην“ (Η. 8, 191). οὕτως δὲ καὶ Αὐτομέδων ἡνιοχεῖ τῷ Πατρόκλῳ· παραδοὺς οὖν τὰς ἡνίας Ἀλκιμέδοντι πολεμεῖ τοῖς ἰδίοις ὅπλοις. ἦν οὖν τόπος τῶν ὅπλων τοῦ ἡνιόχου ἐν τῷ ἅρματι, ἵνα εἰ χρεία γένοιτο μαχέσωνται. ταῦτα Ἡρωδιανὸς ἐν τῇ προσῳδίᾳ. AL (paulo brevius et sine testimonio auctoris) V.

299. τὸ ἀλκί μεταπλασμὸν ἔπαθεν ἀπὸ τῆς ἀλκῇ δοτικῆς. ὁ Ἀσκαλωνίτης δὲ οἴεται ἀπὸ τῆς ἄλξ εὐθείας κλιθῆναι τὸ ἀλκί. Τρύφων δὲ ἐν τῷ πρώτῳ περὶ τῆς ἀρχαίας ἀναγνώσεώς φησιν ὅτι Ἀρίσταρχος λέγει ὅτι ἔθος τοῖς Αἰολεῦσίν ἐστι λέγειν τὴν ἰωκήν ἴωκα καὶ τὴν κρόκην κρόκα καὶ τὴν ἀλκήν ἄλκα ὡς σάρκα· εἰ δὲ σάρκα ὡς ἄλκα, καὶ ἀλκί ὡς σαρκί. AL.

302. σμερδαλέα ἰάχων: βαρύνειν δεῖ τὴν ἰάχων· ἐνεστῶτος γάρ ἐστι καὶ παρατατικοῦ. οὐ μέντοι περισπασθήσεται, ὡς οἴεται Τυραννίων. διδάσκει τὰ κινήματα· „ἡμεῖς δὲ ἰάχοντες“ (Od. 4, 454)· εἰ γὰρ περιεσπᾶτο, ὡς νοοῦντες ἐγίνετο. „ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε“ (Il. 13, 834). „τρὶς δ' ἀΐεν ἰάχοντος“ (Il. 11, 463)· οὕτως οὖν καὶ τὸ „φθέγξομ' ἐγὼν ἰάχουσα“ (Il. 21, 341) ὀφείλομεν προπαροξύνειν. A.

308. ὦσε δ' ἀπό: οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ἀπὸ

στραφήσεται ἡ πρόθεσις, ἐπεὶ τὸ ἑξῆς ἐστιν ἄκωσε· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ. A.

322. ἀπό: οὐκ ἀναστρεπτέον· δύναται γὰρ καὶ τῇ γενικῇ συντάττεσθαι καὶ σημαίνειν τὸ ἄποθεν, ἵνα ὅμοιον ᾖ τῷ „οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος" (Il. 9, 353). ἢ καὶ παρέλκεται. A. Deerat τῇ ante γενικῇ.

325. περί: οὐκ ἀναστρεπτέον· κεῖται γὰρ ἀντὶ τῆς ὑπέρ. δεδήλωται δὲ ἡμῖν ἐν τῇ A ἐντελῶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων" (Il. 1, 287) A.

332. πόλεμον κατακοιρανέουσιν: ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵνα γένηται κατὰ πόλεμον. δύναται δὲ ἔμφασις γενέσθαι, εἰ συνάπτοιτο τῷ κοιρανέουσιν [ὡς ἀνακοιρανέοντα. v. E, 824], καί ἐστιν ὅμοιον τῷ „Ἰθάκην κατακοιρανέουσιν" (Od. 1, 247.) A.

343. ἰάχουσα: Τυραννίων προπερισπᾷ τὸ ἰάχουσα, κακῶς. LV. (v. v. 302).

638. ἀλλ' οἷόν τινα: Νικίας ψιλοῖ, ἐκδεχόμενός τὸ μόνον· ἄλλοι δὲ δασύνουσι θαυμαστικῶς ἐκδεχόμενοι, ὡς καὶ Ἡρακλέων, ἵνα ὅμοιον ᾖ τῷ „ἀλλ' οἷον τὸν Τηλεφίδην" (Od. 11, 518). κέχρηται μὲν οὖν αὐτῷ καὶ ὁμοιωματικῶς „οἷόν τε κρομύοιο λοπόν" (Od. 19, 233). καὶ ἀντὶ τοῦ ὡς „οἷον ἀναΐξας" (Od. 1, 410). Τυραννίων δὲ ἀλλοῖον ἀναγινώσκει ὡς ἑτεροῖον, ὁμοίως τῷ „ἀλλοῖόν μοι ξεῖνε" (Od. 16, 181). ἡμῖν δὲ δοκεῖ θαυμαστικώτερον ἀναγινώσκειν, ὥςπερ καὶ τοῖς περὶ Ἡρακλέωνα, ἵνα ὅμοιον ᾖ τῷ „δσσάτιόν τε καὶ οἷον" (758) καὶ „ἀλλ' οἷον τόδ' ἔρεξεν" (Od. 4, 242) „οἷον τὸν Τηλεφίδην" (Od. 11, 519). οὕτως ἀρέσκει καὶ Φιλοξένῳ. A.

656. τὸ ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους. ὀξύνει δὲ ὁ Ἀρίσταρχος βουλόμενος αὐτὸ τοῦ ἁμαρτήδην ἀποκεκόφθαι· διὸ καὶ κατ' αὐτὸν χωρὶς τοῦ ι γεγράφεται. ἐπικρατεῖ μέντοι τὸ περισπώμενον, γενόμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ. A.

672. 673. ἤ: ὁ μὲν πρότερος κεῖται ἀντὶ τοῦ πότερον, διὸ ἐγκλιτέον· τὸν δὲ δεύτερον περισπαστέον. A.

683. Χρομίον παροξυτόνως, Ἄλιον προπαροξυτόνως· εἴπομεν (ὁ Δίων — immo Ἡρωδιανὸς — φησί V.) τὰ τοιαῦτα

τριβράχεα ἐπὶ κυρίων παροξύνεσθαι καὶ ἐσημειούμεθα τὸ Ἅλιος, Ξένιος, Κρόνιος. (Β. 495) ἐπεκράτησε δὲ καὶ κατὰ τὴν Ὁμηρικὴν ἀνάγνωσιν τὸ Ἅλιος προπαροξυνόμενον. ABV.

736. ἡ: δασυντέον τὸ η· ἄρθρον γάρ ἐστιν ἀντωνυμικόν. τινὲς δὲ ψιλοῦσι σύνδεσμον ἐκδεχόμενοι τὸν ἠδέ, κακῶς. AL.

739. ἣν πέρι μὲν πάντη φόβος ἐστεφάνωται: ἀναστρεπτέον τὴν πρόθεσιν, ἵνα πρὸς τὸ ἣν συντάττηται. A.

759. ἕκηλοι: δασυντέον· παρὰ γὰρ τὸ ἑκών ἐγένετο, ὅπερ ἐστὶ σημαντικὸν τοῦ ὑποχωρῶν καὶ ἡσυχάζων· [ὁ δὲ ὑποχωρῶν καὶ ἡσυχάζει.] ἄλλως τε τὸ ε πρὸ τοῦ κ δασύνεται μὴ ὂν ἐκ κλίσεως ἢ προθέσεως ἢ μεμελετηκὸς ἀφαιρεῖσθαι (ut ἐκεῖνος) οἷον ἑκάς Ἑκάτη. οὕτως ἄρα καὶ ἕκηλος. μάχεται τὸ ἐκεχειρία, ὅπερ οὐκ ἔχει γνήσιον τὸ κ, ἀπὸ τοῦ ἔχειν γενόμενον. AB. ἑκὼν scripsi pro εἰκὼν.

784. στᾶσ': περισπαστέον· ἔστι γὰρ τὸ πλῆρες στᾶσα. A.

787. ἐλέγχεα: ὡς τείχεα· οὐ γὰρ νῦν ἐπιθετικόν. A.

798. ἴσχων: ὡς λέγων ἔχων· οὐδὲ γὰρ δύναται ὀξύνεσθαι ὡς δευτέρου ἀορίστου· ἄνευ γὰρ τοῦ ι ἐλέγετο ἂν σχών. A.

800. ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς. τὸν ἦ περισπαστέον· βούλονται γὰρ αὐτὸν ἰσοδυναμεῖν τῷ δὴ καὶ βεβαιωτικὸν εἶναι· τοιοῦτος γὰρ ὁ κατ' ἀρχὴν η. τὴν δὲ ἀντωνυμίαν ὀρθοτονοῦσιν, ἐπεὶ εἰς σύνθετον μεταλαμβάνεται. A.

812. ἤ νύσε: ὁ ἤ ὀξύνεται· διαζευκτικὸς γάρ. φυλάσσεται δὲ ἡ ὀξεῖα διὰ τὸ ἐπιφερόμενον νύ ἐγκλιτικόν, ὃ καὶ αὐτὸ ἔσχεν ὀξεῖαν διὰ τὴν σέ ἐγκλιτικὴν οὖσαν. A.

824. μάχην ἀνὰ κοιρανέοντα: ἀνὰ: οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται ἀνὰ τὴν μάχην. Ἀρίσταρχος δὲ παρῃτήσατο τὴν ἀνὰ ἀναστρέψαι, ὁπότε μὴ σημαντικὴ εἴη τοῦ ἀνάστηθι, ἵνα μὴ συνεμπέσῃ τῷ „Ζεῦ ἄνα Δωδωναῖε“ (Il. 16, 233). ἔστι δὲ καὶ νῦν ἐκεῖνον προςθεῖναι τὸν λόγον, ὡς ὅτι ὅταν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβάνηται οὐκ ἀναστρέφεται. „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι“ (Il. 1, 287) „θεῖναι Ἀθηναίης ἐπὶ γούνασι“ (Il. 6, 92). οὕτως οὖν κἀνθάδε ἡ ἀνά ἀντὶ τῆς κατά. A.

856. ἔγχεϊ: εἴρηται περὶ τῶν τοιούτων δοτικῶν πότε

κατὰ διάστασιν, ὡς νῦν, καὶ πότε κατὰ συναλοιφήν, καὶ ὅτι τὸ μέτρον πολλάκις αἴτιον· καὶ τὰ ἀντικείμενα, καίτοιγε μέτρου μὴ ἐμποδίζοντος, ὡς τὸ „πλήθει πρόσθε βαλόντε“ (Il. 23, 693) A.

862. βαρυτονητέον τὴν ὑπό· παρέλκεται γάρ. A.

885. 887. ἤ — ἤ: διαζευκτικοὶ ἀμφότεροι· διὸ ὀξύνονται διὰ τὰ ἐπιφερόμενα ἐγκλιτικά, χωρὶς εἰ μὴ ὁ δεύτερος βεβαιωτικός· καὶ γὰρ τοῦτο μᾶλλον αἰτεῖ ἡ διάνοια. A.

887. ζώς: τὸ ζώς ὁ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶν, οὐχ ὑγιῶς· μόνον γὰρ τὸ σῶς ἐστι περισπώμενον μονοσύλλαβον εἰς ως λῆγον ἀρσενικὸν (sc. exclusis propriis), γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον. εἰ δὲ ὁ Ἀσκαλωνίτης περισπώμενον ἀξιοῖ αὐτὸ ἐκ τοῦ ζωός, ἴστω ὅτι τὸ μὲν προκείμενον βαρύτονον ἦν, ἔνθεν περιεσπᾶτο τὸ σῶς· τὸ δὲ ζώς ἐξ ὀξυνομένου, ὥς φησι, τοῦ ζωός γενόμενον δεῖ ὀξύνειν, ἐγκλίνειν δὲ ἐν ταύτῃ τῇ ἀναγνώσει. ἡ μέντοι κλίσις αὐτοῦ ἰσοσύλλαβος εὑρέθη. (v. Choer. 132. a. 135. b.) A. Inserui περισπώμενον ante ἀξιοῖ, et scripsi γενόμενον δεῖ pro ἄμεινον δέ.

τὸ ἔα Ἰωνικόν ἐστιν ἐκ τοῦ ἦν γεγονός· διὸ συσταλτέον τὸ α ὁμοίως τῷ „τοῖος ἔα ἐν πολέμῳ“ (Od. 14, 222), ὃ καὶ διὰ τοῦ η λέγεται τοῖς ἦα φιλοπτόλεμος. (Lege λέγεται· „οὐκ ἀποφώλιος ἦα οὐδὲ φυγοπτόλεμος“ (Ξ, 213), vel si τοῖς plus esse putas quam male repetitum τοῖος: „τοίη τοι ἐγὼν ἐπιτάῤῥοθος ἦα, οὐκ ἀποφώλιος ἦα οὐδὲ φυγοπτόλεμος.“) τὸ δὲ μέτρον οὐ κωλύεται· ἀπήρτισε γὰρ εἰς μέρος λόγου καὶ ἐπέχει τόπον μακρᾶς ὁμοίως τῷ „ἀμφηρεφέα τε φαρέτρην“ (Il. 1, 45). A. Cf. O, 463. ἀπήρτισε pro eo quod Cod. habet ἀπήρτησε scribendum esse iam Bekkerus suspicatus est. V. Θ, 463. Choerobosc. p. 91. b παρὰ τοῖς ποιηταῖς πολλάκις ἡ αι καὶ οι δίφθογγοι ἀντὶ κοινῆς παραλαμβάνονται, τῆς κοινῆς μὴ ἀπαρτιζούσης εἰς μέρος λόγου.

τυπῆσιν: ὡς πληγῆσιν. δοκεῖ δὲ ὡς πρὸς τὴν ἀναλογίαν σημειοῦσθαι („videtur quo ad analogiam notandum“)· τὰ γὰρ εἰς πη (add. fort. καθαρὰ) μονογενῆ δισύλλαβα φιλεῖ βαρύνεσθαι· εἰ δὲ ὀξύνεται ἔχει πρὸ τέλους ἢ ι ἢ ο. πῶς οὖν τὸ τυπή μόνον ὀξυνόμενον τῷ υ παρελήχθη; A.

ΕΙΣ ΤΗΝ Ζ.

24. σκότιον: ὡς λόγιον· τὸ γὰρ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν. A.

56. ἤ: περισπαστέον τὸν ἤ· διαπορητικὸς γάρ ἐστι. BL.

90. τὴν ὅς ὀξυτονητέον διὰ τὴν οἱ ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐστιν· AB.

92. ἐπὶ: (διὸ) οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν. A.

135. βουπλῆγι: προπερισπωμένως· ἡ γὰρ εὐθεῖα ὀξύνεται, βουπλήξ· τὰ γὰρ παρὰ παρακείμενον συντιθέμενα ἐπιθετικὰ φιλεῖ ὀξύνεσθαι, ὁπότε καὶ μίαν συλλαβὴν ἀποφέρεται τοῦ ῥήματος, ἀδμής ἡμιθνής κυαμοτρώξ. οὕτως καὶ μεθυπλήξ. ὕσπληξ δὲ καὶ ἀντίπηξ. A. Addidi ἐπιθετικά, et in fine verba δὲ καὶ ἀντίπηξ. Sic fere Herodianus referetur. v. Arcad. 19. Choer. 156. b. Lob. Par. 279. Poteram praeterea post ἀντίπηξ: οὐ γὰρ ἐπιθετικά. Quae tamen non dicta intelliguntur.

146. τοίη δέ: δύο μέρη λόγου τὸ τοίη δέ, τοίη καὶ δέ· διὸ οὐ περισπαστέον τὸ τοιῆδε. A.

149. ἢ μὲν — ἢ δ': ἀντὶ τοῦ καί. δύναται δὲ καὶ ἄρθρα εἶναι· βέλτιον δὲ τὸ σύνδεσμον παραλαβεῖν. A.

150. Ἀρίσταρχος περισπᾷ εἰδῆς καὶ οὕτως ἐπεκράτησεν ἡ προσῳδίᾳ· ἦν γὰρ καὶ λόγον ἔχουσα. A.

152. ἔστι πόλις Ἐφύρη: τὸ ἔστι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν, ὅταν ἄρχηται „ἔστι δέ τις προπάροιθε πόλιος“ (Il. 2, 811), καὶ ὅταν ὑποτάσσηται τῇ οὐ ἀποφάσει „ὡς οὐκ ἔσθ' ὅδε μῦθος“ (Od. 23, 62)· εἰ μέντοι γε μὴ εἴη τὸ τοιοῦτο, οὐκέτι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν, οἷον „ὃ δὴ τετελεσμένον ἐστίν.“ A.

160. προπερισπαστέον τὸ δῖα, καὶ τὸ Ἄντεια προενεκτέον ὡς κράτεια. ἔνιοι δὲ ὑπονοήσαντες ἀτόπως ἔχειν τὸ δῖα Διάντειαν ὑφ' ἓν ἀνεγίγνωσκον, κακῶς. τὸ δῖα κατὰ κόσμον ποιητικὸν προσέρριπται, ὡς καὶ ἐπὶ τοῦ „δῖα Κλυταιμνήστρα“ (Od. 3, 266). A. Διάντειαν — δῖα (ante κατὰ) inserui.

201. τὸ Ἀλήϊον οἱ μὲν ἐψίλωσαν ἀπὸ τῆς ἄλης τοῦ

Βελλεροφόντου, οἱ δὲ ἐδάσυναν ἀπὸ τοῦ τοὺς ἄλας ἐκεῖ πήγνυσθαι· βέλτιον δὲ τὸ πρότερον. A.

202. κάτον: ὡς λόγον· τὰ γὰρ εἰς τον λήγοντα δισύλλαβα, βραχείᾳ παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος, κότος, μίτος, νότος, πότος. οὕτως ἄρα καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός· τὸ γὰρ βροτός κατὰ δύο τρόπους ἀποφεύγει ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν. A.

205. ἔκτα: ἀποκοπὴ τοῦ „ἔκταν' ἐπὶ προμάχων". (Il. 18, 456). A. (V. B, 662).

229. δύνηαι: ὡς λέγηαι καὶ φέρηαι· „σὺ δέ κεν κακὸν οἶτον ὄληαι" (Il. 3, 417). Τυραννίων δὲ προπερισπᾷ· καὶ δῆλον ὅτι καὶ τὸ πρῶτον αὐτοῦ πρόσωπον δώσει δυνῶμαι ὡς νικῶμαι· ἀλλ' εἰ ἅπαξ ἐστὶ τὸ ὁριστικὸν κατὰ χρῆσιν, δύναμαι δύνασαι, καὶ ὁμολογεῖται ἀπὸ τῶν εἰς μι, ὁμοτονήσει τούτοις καὶ τὰ ὑποτακτικά· οὕτως καὶ 'Αρίσταρχος καὶ οἱ ἄλλοι. A.

239. ἔτας: ὁ 'Ασκαλωνίτης ψιλοῖ ἐφ' οὗ ἂν τάσσηται, φησί, σημαινομένου· πολλὰ γὰρ ἡ λέξις σημαίνει. εἰ δὲ καὶ ἐπὶ τῶν ἑταίρων, φησί, πάλιν ψιλωτέον, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἥλατο ἆλτο. πιθανώτερον δέ ἐστι, φησίν, ἐνθάδε ἀκούειν ἐπὶ τῶν συγγενῶν. 'Αλεξίων δὲ δασύνει. ὁ δὲ 'Αρίσταρχος οὐδὲν ἄντικρυς περὶ τοῦ πνεύματος ἀπεφήνατο. ἡμῖν δὲ δοκεῖ ἀφορμῇ ἐκείνῃ χρήσασθαι. εἰ ἄδηλόν ἐστι τὸ πνεῦμα, τὰ δὲ τοιαῦτα πολλάκις ἐκ συναλοιφῶν κρίνεται, εὑρέθη δὲ διὰ ψιλοῦ ἡ συναλοιφή, οὐδέποτε δὲ διὰ δασέος, δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ 'Ασκαλωνίτῃ ψιλοῦντι. παρὰ γοῦν Αἰσχύλῳ οὕτως εὕρομεν „οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ" (fr. 262) καὶ παρ' Εὐριπίδῃ τὸ „πόλει μὲν ἄρχων φωτὶ δ' οὐκ ἔτῃ πρέπων." A. Pro οὐκ ἔτῃ in Cod. est οὐκέτι. Recte Eust. 642. fin.

244. ἔνεσαν: ὡς ἔλεξαν. οὕτως καὶ 'Αρίσταρχος· ἀληθὲς γάρ ἐστιν ὡς πᾶς παρῳχημένος δισύλλαβος παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος ἀναδίδωσι τὸν τόνον, κατεῖχε κάτεχε. οὕτως οὖν ἀνέγνωμεν „ἥμενον εἴσειδε" (Il. 14, 158) προπερισπωμένως, τὸ δὲ ἕτερον „τὰ φρονέων μνηστῆρσι μεθήμενος, εἴσιδ' 'Αθήνην" (Od. 1, 118) προπαροξυτόνως. A.

ΕΙΣ ΤΗΝ Ζ.

24. σκότιον: ὡς λόγιον· τὸ γὰρ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν. A.

56. ἦ: περισπαστέον τὸν ἦ· διαπορητικὸς γάρ ἐστι. BL.

90. τὴν ὅς ὀξυτονητέον διὰ τὴν οἱ ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐστιν· AB.

92. ἐπὶ: (διὸ) οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν. A.

135. βουπλῆγι: προπερισπωμένως· ἡ γὰρ εὐθεῖα ὀξύνεται, βουπλήξ· τὰ γὰρ παρὰ παρακείμενον συντιθέμενα ἐπιθετικὰ φιλεῖ ὀξύνεσθαι, ὁπότε καὶ μίαν συλλαβὴν ἀποφέρεται τοῦ ῥήματος, ἀδμής ἡμιθνής χυαμοτρώξ. οὕτως καὶ μεθυπλήξ. ὕσπληξ δὲ καὶ ἀντίπηξ. A. Addidi ἐπιθετικά, et in fine verba δὲ καὶ ἀντίπηξ. Sic fere Herodianus referetur. v. Arcad. 19. Choer. 156. b. Lob. Par. 279. Poteram praeterea post ἀντίπηξ: οὐ γὰρ ἐπιθετικά. Quae tamen non dicta intelliguntur.

146. τοίη δέ: δύο μέρη λόγου τὸ τοίη δέ, τοίη καὶ δέ· διὸ οὐ περισπαστέον τὸ τοιῆδε. A.

149. ἡ μὲν — ἡ δ': ἀντὶ τοῦ καί. δύναται δὲ καὶ ἄρθρα εἶναι· βέλτιον δὲ τὸ σύνδεσμον παραλαβεῖν. A.

150. Ἀρίσταρχος περισπᾷ εἰδῆς καὶ οὕτως ἐπεκράτησεν ἡ προσῳδία· ἦν γὰρ καὶ λόγον ἔχουσα. A.

152. ἔστι πόλις Ἐφύρη: τὸ ἔστι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν, ὅταν ἄρχηται „ἔστι δέ τις προπάροιθε πόλιος" (Il. 2, 811), καὶ ὅταν ὑποτάσσηται τῇ οὐ ἀποφάσει „ὡς οὐκ ἔσθ' ὅδε μῦθος" (Od. 23, 62)· εἰ μέντοι γε μὴ εἴη τὸ τοιοῦτο, οὐκέτι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν, οἷον „ὃ δὴ τετελεσμένον ἐστίν." A.

160. προπερισπαστέον τὸ δῖα, καὶ τὸ Ἄντεια προενεκτέον ὡς κράτεια. ἔνιοι δὲ ὑπονοήσαντες ἀτόπως ἔχειν τὸ δῖα Διάντειαν ὑφ' ἓν ἀνεγίγνωσκον, κακῶς. τὸ δῖα κατὰ κόσμον ποιητικὸν προσέρριπται, ὡς καὶ ἐπὶ τοῦ „δῖα Κλυταιμνήστρα" (Od. 3, 266). A. Διάντειαν — δῖα (ante κατὰ) inserui.

201. τὸ Ἀλήϊον οἱ μὲν ἐψίλωσαν ἀπὸ τῆς ἄλης τοῦ

Βελλεροφόντου, οἱ δὲ ἐδάσυναν ἀπὸ τοῦ τοὺς ἄλας ἐκεῖ πήγνυσθαι· βέλτιον δὲ τὸ πρότερον. A.

202. κότον: ὡς λόγον· τὰ γὰρ εἰς τον λήγοντα δισύλλαβα, βραχείᾳ παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος, κότος, μίτος, νότος, πότος. οὕτως ἄρα καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός· τὸ γὰρ βροτός κατὰ δύο τρόπους ἀποφεύγει ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν. A.

205. ἕκτα: ἀποκοπὴ τοῦ „ἕκταν' ἐπὶ προμάχων". (Il. 18, 456). A. (V. B, 662).

229. δύνηαι: ὡς λέγηαι καὶ φέρηαι· „σὺ δέ κεν κακὸν οἶτον ὄληαι" (Il. 3, 417). Τυραννίων δὲ προπερισπᾷ· καὶ δῆλον ὅτι καὶ τὸ πρῶτον αὐτοῦ πρόσωπον δώσει δυνῶμαι ὡς νικῶμαι· ἀλλ' εἰ ἅπαξ ἐστὶ τὸ ὁριστικὸν κατὰ χρῆσιν, δύναμαι δύνασαι, καὶ ὁμολογεῖται ἀπὸ τῶν εἰς μι, ὁμοτονήσει τούτοις καὶ τὰ ὑποτακτικά· οὕτως καὶ Ἀρίσταρχος καὶ οἱ ἄλλοι. A.

239. ἔτας: ὁ Ἀσκαλωνίτης ψιλοῖ ἐφ' οὗ ἂν τάσσηται, φησί, σημαινομένου· πολλὰ γὰρ ἡ λέξις σημαίνει. εἰ δὲ καὶ ἐπὶ τῶν ἑταίρων, φησί, πάλιν ψιλωτέον, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἥλατο ἆλτο. πιθανώτερον δέ ἐστι, φησίν, ἐνθάδε ἀκούειν ἐπὶ τῶν συγγενῶν. Ἀλεξίων δὲ δασύνει. ὁ δὲ Ἀρίσταρχος οὐδὲν ἄντικρυς περὶ τοῦ πνεύματος ἀπεφήνατο. ἡμῖν δὲ δοκεῖ ἀφορμῇ ἐκείνῃ χρήσασθαι. εἰ ἄδηλόν ἐστι τὸ πνεῦμα, τὰ δὲ τοιαῦτα πολλάκις ἐκ συναλοιφῶν κρίνεται, εὑρέθη δὲ διὰ ψιλοῦ ἡ συναλοιφή, οὐδέποτε δὲ διὰ δασέος, δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι. παρὰ γοῦν Αἰσχύλῳ οὕτως εὕρομεν „οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ" (fr. 262) καὶ παρ' Εὐριπίδῃ τὸ „πόλει μὲν ἄρχων φωτὶ δ' οὐκ ἔτῃ πρέπων." A. Pro οὐκ ἔτῃ in Cod. est οὐκέτι. Recte Eust. 642. fin.

244. ἔνεσαν: ὡς ἔλεξαν. οὕτως καὶ Ἀρίσταρχος· ἀληθὲς γάρ ἐστιν ὡς πᾶς παρῳχημένος δισύλλαβος παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος ἀναδίδωσι τὸν τόνον, κατεῖχε κάτεχε. οὕτως οὖν ἀνέγνωμεν „ἥμενον εἰσεῖδε" (Il. 14, 158) προπερισπωμένως, τὸ δὲ ἕτερον „τὰ φρονέων μνηστῆρσι μεθήμενος, εἴσιδ' Ἀθήνην" (Od. 1, 118) προπαροξυτόνως. A.

248. τέγεοι: ὡς τέλεοι· τέγος γὰρ ὡς τέλος καὶ τέγειος ὡς τέλειος. A. (v. Φ, 476).

260. δέ κ' αὐτός: τοῦτο διχῶς ἀναγινώσκεται. ὅσοι γὰρ ἡγοῦνται ἐγκεῖσθαι τὸν κέ ἐγκλιτικόν, ῥωννύουσι τοῦ δὲ τὴν ὀξεῖαν, ὡς καὶ ὁ Ἀσκαλωνίτης. οὕτω γὰρ καὶ τὸ ἐν τῇ Ὀδυσσείᾳ (3, 255) ἀναγινώσκει „ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι". ὅσοι δὲ τὸν και κατὰ κρᾶσιν καὶ ἔκθλιψιν, καὶ αὐτός — καὐτός, ἐγκλίνουσι τὸν δέ. A. Cod. μέντοι pro μὲν in versu Homerico.

268. εὐχετάασθαι: Ἀρίσταρχος τὸ δεύτερον α συστέλλει, καὶ ὁ Ἀσκαλωνίτης, ἄλλοι δὲ ἐκτείνουσιν, οὐχ ὑγιῶς. ὅσα γὰρ εἰς θαι λήγει ἀπαρέμφατα μὴ κατ' Αἰολίδα διάλεκτον, τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν, φιλεῖ πρὸ τέλους βραχύνεσθαι, λέγεσθαι, τίθεσθαι, ἵστασθαι, κίχρασθαι, πίμπρασθαι. ὅσα δὲ πρὸ τέλους ἔχει φύσει μακρὰν προπερισπᾶσθαι θέλει, νικᾶσθαι, φιλεῖσθαι· τὰ γὰρ τοιαῦτα, δίζησθαι, φίλησθαι, ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. ὅθεν οἱ ἀξιοῦντες ἐκτείνειν τὸ δεύτερον α ἐν τῷ εὐχετάασθαι, πάντως καὶ προπερισπῶσιν· εἰ δὲ δεδώκασι τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, δώσουσι καὶ τὴν παραλήγουσαν βραχυνομένην. οὕτως οὖν πάντα τὰ τοιαῦτα ἀναγνωστέον· „ἀλλ' ἤτοι σε γυναῖκες ἐγὼ δεδάασθαι ἄνωγα" (Od. 16, 316)· „ἐν μέγαροισι δ' ἔκητι σέθεν κακὰ μηχανάασθαι." (Od. 3, 213)· „ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα" (Il. 10, 210)· „καὶ ἑδράασθαι ἄνωγον" (Od. 3, 35)· „μήτε μνάασθαι ἄκοιτιν" (Od. 1, 39.) A.

289. ἔσάν οἱ: [ἡ διπλῆ, ὅτι] ἐγκεκλιμένως ἀναγνωστέον οὕτως δύο τόνοις, καίτοι πυῤῥιχιακῆς οὔσης τῆς λέξεως, ἵνα μὴ ἄρθρον νοηθῇ τὸ οι ἀλλ' ἀντωνυμία. A.

319. οἱ μὲν διαιροῦσιν, ἔχεν, εἶτα δεκάπηχυ· οἱ δὲ ἑνδεκάπηχυ. ὁ μὲν οὖν Ἀσκαλωνίτης οὐδεμίαν προκρίνει· οἱ δὲ περὶ Ἡρακλέωνα καὶ Ἀλεξίωνα πιθανωτέραν ἡγοῦνται τὴν τοῦ ἕνδεκα ἀριθμοῦ διαστολήν, ἐπειδήπερ τὰ ναύμαχα, τὰ ἐκ δύο συμβληθέντα καὶ κολληθέντα, λέγεται δυωκαιεικοσίπηχυ. A.

336. ἦμην: προσπνευστέον τὸ η· ἐνδιατρίβειν γὰρ σημαίνει καὶ τὸ καθῆσθαι. ὅσοι δὲ ἠθέλησαν σημαντικὸν εἶναι τοῦ ὑπάρχειν, ἐψίλωσαν· ὃ σπανίως εὑρίσκεται κατὰ τὴν χρῆσιν τῶν

'Ελλήνων, οὗ τὰ ὑποδείγματα δίδομεν ἐν τῷ περὶ τῶν εἰς μι. ὁ μέντοι ποιητὴς οὐκ ἐχρήσατο. A.

348. ἀπόερσε: ψιλωτέον· τὰ γὰρ φωνήεντα καταλήγοντα εἰς τὸ ρ ἐπιφερομένου τοῦ σ ψιλοῦσθαι φιλεῖ, ἄρσαντες — οὕτως γὰρ ἐλέγομεν περὶ τούτου καὶ ἐν τῇ A ῥαψῳδίᾳ (136) —, 'Αρσινόη, „ἐς δὲ σταθμοὺς ἄρσε" (Od. 21, 45), ὅρσας, „ὅρσεο κυλλοπόδιον" (Il. 21, 331). ταύτῃ ἀναλογώτερον τὸ ἔερσα τρισυλλάβως. AB.

355. τὸ δᾶερ ὡς ἄνερ· τοιαῦται γὰρ αἱ εἰς ερ κλητικαί. τὴν δὲ σέ ἀντωνυμίαν ὀξυτονοῦσι, τουτέστιν ὀρθοτονοῦσιν, ἐπεὶ πρός τί ἐστιν. ἔστι μὲν οὖν ἀληθὲς, ὅτι ἀντιδιασταλτική ἐστι νῦν ἡ ἀντωνυμία· ἡ μέντοι κοινὴ ἀνάγνωσις ἀνέγνω ἐγκλιτικῶς ἀεὶ τὴν τοιαύτην σύνταξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. τὸ ἐπεί σε εὑρέθη συνεχῶς οὕτως ἀνεγνωσμένον, ἐγκλιτικῶς ἀεί, μὴ ἐπιφερομένου συνδέσμου „ἐπεί σ' εἴασεν 'Αχιλλεὺς" (Il. 24, 684) „ἐπεί σε πρῶτα κιχάνω" (Od. 13, 228) „ἐπεί σε φυγὼν ἱκέτευσα" (Od. 15, 277) „ἐπεί σε λέοντα" (Il. 21, 483). οὕτως δὲ καὶ „ἐπεί σε μάλιστα πόνος φρένας." καί μοι δοκοῦσι τῷ πρώτῳ προσώπῳ ἀκολουθεῖν οἱ οὕτως ἀνεγνωκότες, πιθανῶς πάνυ. διὰ γὰρ τῆς φωνῆς τὸ πρῶτον πρόσωπον ἐπιδείκνυται, τό τε ὀρθοτονούμενον καὶ τὸ ἐγκλιτικόν, εἴ γε ἡ ἐμέ αἰτιατική, ὅτε φυλάσσει τὸ ε, ὀρθοτονεῖται, εἰ δὲ ἀποβάλοι, ἐγκλιτική ἐστιν. εὑρέθη τοίνυν μετὰ τοῦ ἐπεί συνδέσμου παρὰ τῷ ποιητῇ κατὰ ταύτην τὴν σύνταξιν ἀποβάλλουσα τὸ ε· „Ἕκτορ ἐπεί με κατ' αἶσαν" (Il. 3, 59) „ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1, 299). τούτῳ τοίνυν τῷ λόγῳ πιθανὸν ἂν εἴη κατακολουθήσαντας ἡμᾶς ἀναγινώσκειν ἐγκλιτικῶς „ἐπεί σε μάλιστα". AB.

357. οἷσιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον: ὁ 'Ασκαλωνίτης ἀναστρέφει, ἵν' ᾖ ἐφ' οἷς. δύναται δὲ τὸ ἑξῆς εἶναι ἐπέθηκεν· οὕτως γὰρ βούλονται καὶ οἱ περὶ 'Ηρακλέωνα· ἢ περισσὴν λαμβάνειν τὴν ἐπί, ἥτις πάλιν οὐκ ἀναστραφήσεται, δι' ὃν εἴπομεν λόγον· τοῦτο γὰρ βούλεται καὶ ὁ 'Αλεξίων. οὐδὲν μέντοι κεκώλυκε καὶ ὁ (lege τὸ) τοῦ 'Ασκαλωνίτου, ἐπεὶ οὐχ ὁρῶ τινα λόγον ἀναγκαστικόν. A.

362. Τρώεσσ': τὸ τέλειον Τρώεσσι· διὸ προπαροξύνεται. A.

ποθήν: ὡς κριτήν A.

367. ἔτι σφιν: οὕτως ἔτι σφιν. εἷς τόνος, καίτοι ἐχρῆν δύο διὰ τὸ ἐπιφέρεσθαι ἀντωνυμίαν ἀπὸ τοῦ σφ ἀρχομένην, ὁμοίως τῷ „ὅθι σφισι πέφραδ' Ἀχιλλεὺς“ (Π. 23, 138) „ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων“ (Il. 14, 137). σεσημείωται οὖν αὕτη ἡ ἀνάγνωσις μόνη, ὡς ἐν ἄλλοις ὁ Ἡρωδιανὸς λέγει. A.

414. ἁμόν: Δημήτριός φησιν ἀντὶ τοῦ ἐμόν. διὸ καὶ ἄντικρυς ψιλοῖ. πιθανώτερον δέ ἐστι Δωρικώτερον εἶναι, ἀντὶ τοῦ ἡμέτερον ἁμόν. οὕτως Ἀπολλώνιος. (V. pron. 142. 244.) A. cf. N, 96. Pro ἁμόν Cod. ἀμόν.

422. ἰῷ: ὡς σοφῷ Ἀρίσταρχος· καὶ ἐκεκράτησεν αὐτοῦ ἡ ἀνάγνωσις. ἐκεῖνο μέντοι ἀναγκαῖον προςθεῖναι, ὅτι τὸ ἴα βαρυτόνως ἀνέγνω ὁ ἀνὴρ καὶ τὸ μία· „οὐδ' ἴα γῆρυς“ (Il. 4, 437) καὶ „μία δ' οἴη“ (Il. 18, 565)· τὰς μέντοι δοτικὰς περιέσπασεν „ἰῇ ἄρα γινόμεθ' αἴσῃ“ (Il. 22, 477) καὶ „ἰῇ δ' ἐν νυκτὶ γένοιτο“ (Il. 18, 251). καί φασί γε τὸ τοιοῦτο Ἰώνων εἶναι. τινὲς δὲ ἐτόλμησαν λέγειν αὐτὸ Ἀττικόν, λέγω δὲ τὸ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβασμὸν γίνεσθαι τόνου. οὕτως οὖν καὶ „μέσην ἐς ἄγυιαν“ (Il. 20, 254) ἀνέγνω· „ἐϋκτιμένας“ δὲ „κατ' ἀγυιάς“ (391). μήποτ' οὖν, ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ τῆς δοτικῆς περιέσπασε, συνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ κατὰ τὴν αὐτὴν πτῶσιν καὶ τὸ οὐδέτερον οὕτως ἀνέγνω ὁμοτόνως. A. Hoc scholion valde decurtatum est. Nam de aliis etiam vocabulis accentum mutantibus et maxime ab Aristarcho mutatis accentibus prolatis hic dixerat, ut de αἰπό, quod constat ex schol. B, 592, de τοῦδε τῶδε, ut constat ex schol. Θ, 108.

439. ἤ — ἤ: διὰ τὸ ποὺ καὶ νύ τὸν ἤ ὀξυτονητέον, ὃς δύναται εἶναι διαζευκτικὸς ἢ καὶ παραδιαζευκτικός. A.

465. πρίν γ' ἔτι: Διονύσιος ὁ Σιδώνιος τόν γε ἐκπλήρους ποιεῖ· οὕτως καὶ Ἀλεξίων καὶ οἱ περὶ Ἡρακλέωνα· οὐ γὰρ πιθανὸν ἐγκεῖσθαι τὸ ἔτι· οὐ γὰρ δή γε καὶ πρότερον συνέβη ταῦτα τῇ Ἀνδρομάχῃ. ἔστιν οὖν τὸ τί καθ' ὕπαρξίν τινα λεγόμενον, ἢ καὶ παρελκόμενον, ὁμοίως τῷ „ἤ νύ τοι οὔτι μέλει Τρώων πόνος“ (Il. 22, 11) καὶ „μήτι φόβον δ' ἀγόρευε“

(Il. 5, 252) καὶ „μή τί μευ ἠύτε παιδὸς“ (Il. 7, 235). οὐχ ὑγιῶς οὖν ὁ Πτολεμαῖος οἴεται συναλοιφὴν εἶναι. A.

489. τὰ πρῶτα: τινὲς πρωτά, ὡς γνωτά, ἵν' ᾖ τὰ πεπρωμένα, οὐχ ὑγιῶς. A.

518. ἠθεῖε: Ἀρίσταρχος προπερισπᾷ ὡς οἰκεῖε. καὶ ἴσως παρὰ τὸ θεῖος, λέγω δὲ τὸ σημαντικὸν τοῦ ἐπαίνου, κατὰ πλεονασμὸν τοῦ η̄ ἐγένετο, εἰ καὶ νεωτέρου ἐστὶ πρὸς πρεσβύτερον ἀδελφὸν ἔχουσα σεβασμὸν προσφώνησις. οὐκ ἀγνοῶ δὲ ὅτι συγχεῖται ἐν τοῖς μεθ' Ὅμηρον. A. Pro τοῦ η̄ Cod. τοῦ θ̄.

ΕΙΣ ΤΗΝ Η.

6. χαμάτῳ δ' ὑπὸ γυῖα λέλυνται: ὑπό: οὐκ ἀναστρεπτέον διὰ τὸν σύνδεσμον. ἄλλως τε καὶ τὸ ἑξῆς ἐστιν ὑπολέλυνται. A.

31. ἐπεὶ ὣς φίλον ἔπλετο θυμῷ: βαρυτονητέον τὸ ὥς· δηλοῖ γὰρ τὸ οὕτως. A.

63. πόντον ἐπὶ φρίξ: ὁ Ἀσκαλωνίτης ἀναστρέφει πόντον ἔπι· οὕτως καὶ οἱ ἄλλοι. καὶ ἄμεινον· οὐδὲν γάρ ἐστι τὸ ἐπιφρίξ, χωρὶς εἰ μὴ παρέλκῃ ἡ πρόθεσις. ὅπερ οὐ πιθανόν. οὐ γὰρ κατεπείγει. A.

64. μελάνει: ὡς οἰδάνει ὁ Ἀσκαλωνίτης· ἐκ γὰρ τοῦ μελαίνει, φησίν, ἐνδείᾳ τοῦ ῑ ἐγένετο. A.

110. τὸ σχέο τὴν ὀξεῖαν ἴσχει ἐφ' ἑαυτοῦ νῦν. ὅταν μέντοι ἀπολάβῃ τὴν πρόθεσιν, τὸ τηνικαῦτα ἀναπέμπει τὸν τόνον, ἀνάσχεο. A.

129. 130. ἀκοῦσαι — ἀεῖραι: παροξυτονητέον ἀμφότερα· ἔφαμεν γὰρ τὴν αι̅ δίφθογγον ἐν εὐκτικοῖς μακρὰν εἶναι (A, 255). A.

135. Φειᾶς: περισπαστέον· ἑνικὴ γάρ ἐστι γενική· πρόδηλον κἀκ τῆς συντάξεως τοῦ τείχεσσι, παρὰ τοῖς τῆς Φειᾶς τείχεσι. A.

163. ἐπί: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ σύνδεσμος. A.

167. ἐπ': οὐδὲ ἐνθάδε ἀναστρεπτέον, καὶ ὅτι συνήλειπται. A.

ψιλωτέον τὸ Εὐαίμονος εἰς ἰδιότητα. προείρηται δέ. A.

177. ὁ Ἀσκαλωνίτης διαστέλλει ἰδὲ χεῖρας ἄνεσχον, ὡς „ἰδὲ κλέος ἐσθλὸν ἄροιτο" (Il. 5, 3) ἵνα γένηται καὶ χεῖρας ἄνεσχον. Ἀλεξίων δὲ τὴν κατειθισμένην παραλαμβάνει, λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἄνεσχον. οὕτως καὶ οἱ περὶ Ἡρακλέωνα. οὐκ ἀποδοκιμάζει μέντοι τὴν ἑτέραν ὁ Ἀλεξίων· καὶ ἡμῖν οὕτως δοκεῖ. A.

184. ἐνδέξια: ὅταν ἀντὶ ἐπιῤῥήματος ᾖ τοῦ ἐπιδεξίως τὸ ἐνδέξια, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. A.

198. ἐμὲ: ἐν ὀρθῇ τάσει ἀναγνωστέον, ἵνα ᾖ ἀντιδιαστολὴ πρὸς ἄπειρα πολέμου τινὰ πρόσωπα. A.

199. γενέσθαί τε: ἀλλεπάλληλοι ὀξεῖαι, καίτοι σπονδειακόν ἐστιν ἀλλ' ἴσως ἵνα ἐκφύγωμεν τὸν διπλασιασμὸν τοῦ ῥήματος, λέγω δὲ τοῦ τετραφέμεν τε, ὡς καὶ ἐν τῇ Τ τῆς Ὀδυσσείας (320) παραλόγως ἐνεκλίναμεν ἐν τῷ „ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε" ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν. A.

273. ὀξυντέον τὸ αὐτοσχεδόν· τὰ γὰρ εἰς δον ἐπιῤῥήματα ἐπὶ (l. ἐν) τῇ συνθέσει φυλάσσουσι τὸν τόνον. BLV.

282. πιθέσθαι: παροξυντέον· μέσος γάρ ἐστι δεύτερος ἀόριστος. ABLV.

289. πινυτήν: Ἀρίσταρχος ὡς καλήν, καὶ ἐπεκράτησεν οὕτως ἡ παράδοσις. A.

334. ἀπὸ πρὸ νεῶν: τὰς δύο προθέσεις ἐγκλίνειν δεῖ, ἵνα ἡ μὲν ἀπό συντάσσηται τῇ νεῶν γενικῇ, ἡ δὲ πρό παρέλκηται. A.

362. ἀπόφημι: ὡς ἄπειμι· τὰ γὰρ ὀξυνόμενα τῶν ῥημάτων ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον. A.

393. ἦ μὴν: περισπᾶται ὁ ἦ· ἰσοδυναμεῖ γὰρ τῷ βεβαιωτικῷ. ὅμοιον δέ ἐστι τὸ „ἦ μὴν καὶ πόνος ἐστίν" (Il. 2, 291). A.

425. νίζοντες ἄπο: τὸ ἑξῆς ἀπονίζοντες διὸ ἀναστρεπτέον. A.

ΕΙΣ ΤΗΝ Θ.

4. θεοὶ δ' ὑπὸ πάντες ἄκουον: ἡ ὑπό φέρεται καὶ ἐπὶ τοῦ (l. φέρεται ἐπὶ τὸ) ἄκουον· διὸ οὐκ ἀναστρεπτέον. τὸ αὐτὸ δὲ καὶ ἐπὶ πάσης προθέσεώς ἐστιν ἰδεῖν ἐχούσης σύνταξιν πρὸς τὰ ἐπιφερόμενα· „οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο ἤσθιον" (Od. 1, 8). καὶ γὰρ διαφέρει τὸ ἀκούειν ἁπλῶς λεγόμενον τοῦ ὑπακούειν, ᾗ ἐκ μὲν τοῦ ἀκούειν οἷόντ' ἐστιν ἐκδέξασθαι καὶ τὸ μόνον ἀκοῦσαι, μὴ μέντοι πείθεσθαι τοῖς λεγομένοις. οὕτως οὖν τινες ἐδέξαντο „οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς" (97)· ἀκούσας γὰρ οὐκ ἐπείσθη. διὸ ἐν ἑτέροις Ὀδυσσεὺς ἐπαινούμενος ὑπὸ τοῦ Διομήδους παραιτεῖται καὶ τὸ ἐπισκώπτεσθαι, ἐν οἷς φησι „Τυδεΐδη μή τ' ἄρ με μάλ' αἴνεε μή τέ τι νείκει" (Il. 10, 249). ἐν μέντοι τῷ ὑπακούειν τὸ πάντως πείθεσθαι τοῖς λεγομένοις ἤτοι ἑκόντας ἢ ἄκοντας. οὕτως οὖν ἔχει καὶ τὸ ὑπήκοος, ὥσπερ ὑποτεταγμένος τινί. τοῦτο δὲ ἀπαιτεῖ ἡ διάνοια· οἱ γὰρ θεοὶ ὑπήκουον τῷ Διῒ ὡς ὑποτεταγμένοι. A.

18. εἴδετε: ὡς λέγετε. ἢ συστολὰς μὲν τὰ τοιαῦτα παραληπτέον, ἢ ἐναλλαγὰς ἐγκλίσεων, ὡς τὸ „ὅθ' ἡδέϊ λέξεται ὕπνῳ" (Il. 4, 131)· „ὄφρ' εὖ πᾶσαι εἴδετ' ἀκούουσαι" (Il. 18, 52)· „μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα" (Il. 19, 403)· „ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο" (Il. 17, 452)· „αἴ κεν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων βούλεται ἀντιάσας" (Il. 1, 66). A. In versibus Homericis Cod. εἶπετ' αὐτόθι τεθνειῶτι et αὐτῶ μοι σαώσετον ἐκ πολέμου. Herodianus opinor scripsit τεθνηῶτι per η cum Aristarcho.

110. τῶδε: παροξύνεται τὸ τῶδε· παραλόγως· ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐπεκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶται. ὅπερ ὤφειλε κἀπὶ τοῦ τῶδε δὲ νῶϊ εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ ζ', ὅπου περὶ τοῦ ἰῷ διαλαμβάνει. (Z, 422. v. quaest. ep. 134 not.) A.

125. καὶ ἀχνύμενός περ ἑταίρου: περ: οὐκ ἔστιν ἡ περί πρόθεσις, ἀλλ' ὁ πέρ σύνδεσμος ἐναντιωματικὸς καὶ ἐγκλιτικός· διὸ τὸ τέλος τῆς μετοχῆς ὀξυτονητέον. A.

157. φύγαδε: ὡς ἅλαδε· καὶ ἤτοι τὴν φυγὴν φύγα εἶπεν κατὰ μεταπλασμόν, ὡς τὴν σκέπην σκέπα· ἢ ὡς τὸ οἶκον δὲ οἴκαδε, οὕτως φυγὴν δὲ φύγαδε. A. Sic scribendum erat pro οἰκόνδε et φυγήνδε.

161. περὶ μέν σε τίον: ἡ σέ ἐγκλιτική ἐστιν· ἀπολέλυται γὰρ νῦν. καὶ τὸ τίον δὲ ποιητικώτερον ἀπέβαλε τὸν κατ' ἀρχὴν χρόνον, διὸ ἐπὶ τὴν τι ἡ ὀξεῖα ἵσταται. περὶ δὲ τῶν τοιούτων ῥημάτων ἔφαμεν ὅτι ἴση ἐστὶν ἡ χρῆσις παρὰ τῷ ποιητῇ (B, 808). A.

163. ἀντ': κακῶς ὅσοι ἀναστρέφουσιν· ἡ γὰρ ἀντὶ ἀναστρέφεται οὔποτε. εἰ δὲ τὸ ἄντα ἐπίῤῥημα ἐκδέχονται, ἐναντίον τῇ διανοίᾳ παραλήψονται. A. οὐ in οὔποτε adjecimus.

177. οἷ: Ἀρίσταρχος τὸ οἷ ἄρθρον φησίν, ὁ δὲ Σιδώνιος οἷα τὸ πλῆρες, οὐχ ὑγιῶς. V.

178. ἀβλήχρ': Ἡρακλείδης ὁ Μιλήσιος βαρύνει ὡς ἄσιτα· λόγῳ δὲ χρῆται τούτῳ ὡς ὅτι βληχρόν ἐστι τὸ ἰσχυρόν, ὅπερ κατὰ στέρησιν ὀφείλει λέγεσθαι ἄβληχρος ὡς ἄκακος· σημαίνει γὰρ τὸ ἀσθενές (cf. Cram. Epimerism. I, p. 95). ἡ μέντοι παράδοσις ὀξύνει τὸ ἀβληχρά καὶ ἀβληχρήν, πεισθεῖσα πρῶτον τῷ παρασχηματισμῷ ὡς ἁπλῷ· οὕτως γὰρ παρεσχηματίσθη ὡς πενιχρά, ψυχρά, λέγω δὲ θηλυκῶς. οὕτως ἀβληχρά, οὐ κοινωνοῦντός ποτε τοῦ γένους, λέγω δὲ ὁ ἄβληχρος καὶ ἡ ἄβληχρος. ἄλλως τε ἤδη αὐτὸ τὸ βληχρός σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον μᾶλλον τὸ ἀσθενές. Ἀλκαῖος θ' „βληχρῶν ἀνέμων ἀχείμαντοι πνοιαί" καὶ ὁ Νίκανδρος „βληχρὸν γὰρ μυὸς οἷα μυληβόρου ἐν χροῒ νύγμα" (Ther. 446). τοῦτο δὴ πλεονάσαν τῷ α φυλάξει τὸν αὐτὸν τόνον λαλητός ἀλαλητός, στεροπή ἀστεροπή· οὐκ ἐκεῖνο μέντοι διηνεκὲς λέγομεν, ὅτι πλεονασμὸς τοῦ α φυλάσσει τὸν αὐτὸν τόνον ἀεί· οἶδα γὰρ τὸ ἄβορος, ἀγαυρός, ἄσταχυς. A. Addidimus λαλητὸς usque τόνον ex Eustath. ἄσταχυς igitur recte habet, nec commutandum cum ἀσταφίς cum Lobeckio Pathol. 209. Quod idem pro ἄβορος emendat ἀμαυρός, verum fortasse, si apud Arcadium p. 69, 22 potius scribendum putas καὶ τὸ μαῦρος ἀφ' οὗ ἀμαυρός γέγονεν, quam (quod nunc est) καὶ τὸ μαῦρος ἀπὸ τοῦ ἀμαυρὸς γέγονεν vel καὶ τὸ μαῦρος εἰ καὶ ἀπὸ τοῦ ἀμαυρὸς γέγονεν, —

An ἀφαυρός ut id duxerit a φλαῦρος? An ἄβορος verum est ut id aliquis poeta dixerit pro voraci?

178. οὐδενόσωρα: ὡς κυνόσουρα ὑφ' ἓν κατὰ σύνθεσιν, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνὸς γενικῆς ἐντελοῦς· οὐδέποτε γὰρ οὕτως αὕτη ἡ γενικὴ συντίθεται· ἀλλ' οἵγε ποιηταὶ τολμῶσι ξένας συνθέσεις. A.

217. τὸ κηλέῳ ὡς μελέῳ· γέγονε δὲ παρὰ τὸ κᾶλον καὶ κῆλον κήλειον, ὡς παρὰ τὸ μῆλον μήλειον δέρος, καὶ Ἰωνικῶς κήλεον καὶ κηλέῳ· ἐκεῖνο γοῦν ἐντελές ἐστι τὸ „σὺν πυρὶ κηλείῳ χάριν Ἕκτορος“ (Il. 15, 744). A.

299. ὅτε δὴ φάμεν: οὐκ ἀναγκαῖον ὀξύνειν τὸν δή, ἵνα κρᾶσις γένηται ὁμοίως τῷ „μήτε σὺ Πηλείδηθελε“ (Il. 1, 277). ἐπὶ μὲν γὰρ τοῦ ἐθέλω πᾶσα ἀνάγκη τὸ ε μένειν κατὰ τὸν ποιητὴν ὡς εἴρηται (l. l.)· ἐπὶ δὲ τούτου τοῦ παρῳχημένου δύναται ποιητικῶς ἀποβεβλῆσθαι τὸ ε, ὥςτε ἐπὶ τὴν φα συλλαβὴν θετέον τὴν προςῳδίαν, καί ἐστιν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ „Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δὲ οἱ οὐ τελέεσθαι“ (Od. 16, 349). A. Cod. Τηλέμαχος δ' ὡς εἶδεν, φάμεν δέ οἱ, οὐ τελέομεν.

233. Τρώων ἀνθ' ἑκατόν: ἐπὶ τὴν ἀνθ' συλλαβὴν ἡ ὀξεῖα, ἵνα τὸ πλῆρες ᾖ ἄντα. οὕτως δὲ ἀξιοῖ Δημήτριος ὁ γονύπεσος· καὶ ἐμοὶ δὲ οὕτως ἀρέσκει τὸ τῆς διανοίας· ἄντικρυς γὰρ Τρώων ἑκατὸν καὶ διηκοσίων εἷς ἕκαστος στήσεσθαί φησιν. οὐ γὰρ κωλύεται ἡ τοῦ ἄντα σύνταξις, εἴγε ἐπὶ γενικὴν φέρεται. A.

240. δημόν: δημόν Ἀρίσταρχος κατ' ὀξεῖαν τάσιν ἐπὶ τοῦ λίπους· τὸ γὰρ ἐπὶ τοῦ πλήθους βαρύνει. οὕτως καὶ ὁ Ἀσκαλωνίτης, λέγων τὸ μὲν παρὰ τὸ δέμας γεγενῆσθαι, οἱονεὶ σῶμά τι τυγχάνον, ἢ παρὰ τὸν δασμόν· τὸ δὲ ἐπὶ τοῦ λίπους παρὰ τὸ δαίω· εὔκαυστον γὰρ τὸ λίπος. δύναιτο δ' ἄν τις καὶ ἄλλως ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω γένοιτο δέεμος καὶ ἐν συναλοιφῇ δῆμος, τὸ συνδεδεμένον πλῆθος. τὸ γὰρ ἐναντίον λύη ἀπὸ τῆς διαλύσεως. A. Cf. M, 213. λύη scripsimus pro λύει. Est autem λύη ἡ στάσις, ut Herodianus ipse explicat, Arcad. 103, 23. Sed quid velit, ut alia mittam, intelligis

ex Eustathio ad A, 305. p. 108: ὥςτε ἐκ τούτου ὁ δῆμος ἐτυμολογεῖται, συνδεδεμένος οἷον τυγχάνων ὄχλος κατὰ τοὺς παλαιούς, ἐκ πάντων δὲ κατὰ εἰρήνην δεδεμένος. τὸ γὰρ τούτου ἀνάπαλιν παράγει τὴν λύην, ὃ σημαίνει τὴν στάσιν, ὅ ἐστι διάστασιν, παρὰ τοῖς ἀρχαίοις, τὴν διαλυτικὴν τῆς συνδετικῆς ὁμονοίας.

257. φύγαδε ὡς οἴκαδε. A.

276. Πολοαιμονίδην Ἀμόπάονα καὶ Μελάνιππον: ψιλωτέον πάντα, ἵνα κύρια γένηται. παραιτητέον δὲ τοὺς διαλύοντας τὸ Ἀμοπάονα· πιθανώτερον γάρ ἐστι κύριον αὐτὸ παραλαβεῖν, ἵνα τὸ προκείμενον αὐτοῦ πατρωνυμικὸν τυγχάνῃ. A. cf. ad E, 76.

283. ὅ σ' ἔτρεφε. ἡ σέ ἀντωνυμία ἐγκλιτική ἐστι· τὸ δὲ ὅ παρὰ τῷ ποιητῇ κείμενόν ἐστιν ἀντὶ τοῦ ὅς. A.

290. ἢ τρίποδ' ἠὲ δύω ἵππους: παραδιαζευκτικὸς ὁ ἤ, ὡς τὸ „ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι“ (Od. 5, 484) A. Cod. in versu Homerico ἠὲ δύο ἤ.

328. νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ: τινὲς προπεριέσπασαν τὸ χειρ, ἵν' ἔχῃ ἐντέλειαν πτώσεως αἰτιατικῆς. ὁ μέντοι Ἀσκαλωνίτης ὀξύνει, καὶ εὐθεῖαν παραλαμβάνει, ἵνα καὶ σχῆμα γένηται. A.

355. ἀνεκτῶς: ὡς ἀνδρικῶς Ἀρίσταρχος περισπᾷ. λέλεκται δὲ ἡμῖν περὶ τῆς προσῳδίας, ὁπότε διελάβομεν περὶ τοῦ „ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐκέτ' ἀνεκτά“ (Il. 1, 573) A.

379. ἦ τις: περισπαστέον τὸν ἤ σύνδεσμον, ἵνα διαπορητικὸς γένηται. καὶ βεβαιωτικὸς δὲ ὢν περισπασθήσεται. A.

402. γυιώσει μὲν σφωϊν: σφωϊν: ἐγκλιτικὴ νῦν ἐστιν ἡ ἀντωνυμία· τρίτου γὰρ προσώπου, τὰ δὲ τρίτα δυϊκὰ τό τε σφωέ καὶ σφωΐν ἐγκλιτικά ἐστιν. ὅτε μέντοι δευτέρου γίνεται τὸ σφωϊν, προπερισπᾶται· ὀρθοτονεῖται γὰρ τὸ „γυιώσειν (potius γάρ· „γυιώσειν) μὲν σφῶϊν“ (416). A.

441. ἀμβωμοῖσι Χρύσιππος ὑφ' ἓν προφέρεται· ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου παραλαμβάνει καὶ προπερισπᾷ· λέγει γοῦν καὶ ἀλλαχοῦ „χρύσειοι δ' ἄρα κοῦροι εὐδμήτων ἐπὶ βωμῶν“. (Od. 7, 100). χρὴ μέντοι γινώσκειν ὅτι διὰ τοῦ μ γράφεται κἂν παράθεσις ᾖ ὁμοίως τῷ „ἂμ φόνον, ἂν νέκυας“

(Il. 10, 298). τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ὀρθογραφίας εἴρηται. A. κἂν scripsi pro καί. Transiit in Et. M. 81, 16.

λῖτα: μεταπλασμός ἐστιν, ἔνθεν βαρύνεται, ἐπεὶ πᾶσα αἰτιατικὴ ἑνικὴ ἀπαθὴς εἰς α λήγουσα βαρύνεται, ὑπεσταλμένης τῆς τινά. ἀπαθὴς διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιαῦτα. A.

474. ὄρθαι: ἀπὸ βαρυτόνου τοῦ ὄρω κέκλιται. ὅτι δέ ἐστι βαρύτονον τὸ ὄρω, πρόδηλον ἐκ τοῦ „ὅτε τ' ὤρετο" (Il. 12, 279) „ὦρτο πολὺ πρῶτος μέν" (Il. 7, 162). A.

527. κηρεσσιφορήτους: συνθέτως ἀνέγνω ὁ Ἀρίσταρχος καὶ οἱ πλείους· ἴσως δὲ ἐπεὶ ἀναλύει αὐτὸ „οὓς κῆρες φορέουσιν". ἔθος γὰρ αὐτῷ πολλάκις τὰ σύνθετα ἀναλύειν. οὐδέποτε δὲ δοτικὴ ἐπεκτεταμένη κατ' ἀρχὴν συντέθειται, οἷον πᾶσι καὶ πάντεσσι — πασιμέλουσα (Od. 12, 70), οὐχὶ παρὰ τὴν πάντεσσι. ἡ σύνθεσις Ναυσικάα, Ναυσίθοος, ἐγχεσίμωροι, τειχεσιπλήτης. κατ' ἀρχὴν δὲ προσέθηκα διὰ τὸ παρ' Ἐπιχάρμῳ κατὰ τέλος συντεθειμένον „γυναικάνδρεσσι ποθεινοί." εἴπερ οὖν τοῦτο ἀληθές, δῆλον ὅτι παράλογον τὸ κηρεσσιφορήτους κατὰ σύνθεσιν ἀναγνωσθέν. ἀλλ' ὅμως ἐπεκράτησεν ἡ Ἀριστάρχειος, δι' ὃν εἴπομεν λόγον. A.

557. πρῶνες: ὡς σώφρονες· τὸ γὰρ πρῶνες πληθυντικὸν διῃρέθη καὶ εἰς ὀξεῖαν καὶ βαρεῖαν ἡ περισπωμένη μετηνέχθη. A.

ΕΙΣ ΤΗΝ Ι.

6. Νικίας καὶ Πάμφιλος δασύνουσι τὸ ἄμυδις, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο. ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ περὶ Ἀλεξίωνα ψιλοῦσιν, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίσταρχον, καθότι, φασί, φιλεῖ πως τὰ ἀπὸ δασέων [πως] πολλάκις μετασχηματιζόμενα ψιλοῦσθαι, ἡμέρα ἦμαρ, ἡδονή ἦδος. πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς „πάντ' ἄμυδις κεφαλῆς" (Il. 12, 385). ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο, ὡς ὅτι τὸ ἄλλυδις καὶ ἄμυδις καὶ ἐξαιρέτως τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ἣ διὰ τοῦ υ ἐξηνέχθησαν. ἐχρῆν οὖν ἀμά-

δις τι εἶναι ὡς χαμάδις. τροπὴ δὲ τοῦ α ἐγένετο εἰς τὸ υ, ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα. A. Addidi καὶ ἐξαιρέτως.

7. τὸ παρὲξ παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐστί, καὶ ἐγκλίνονται αἱ δύο προθέσεις, διὸ καὶ πολλάκις εὑρίσκεται καὶ εἰς κ λήγουσα ἡ ἐξ· „παρὲκ μέγα τειχίον αὐλῆς" (Od. 16, 165). ἔστι δὲ ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ προθέσεως, ἔσθ' ὅτε καὶ τῆς παρά· „ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετον" (Od. 12, 276)· „ὣς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ" (Il. 10, 349). ἐνθάδε μὲν οὖν ἡγεῖται ὁ Ἀσκαλωνίτης παρέλκειν τὴν παρά, ἵν' ᾖ ἐξ ἁλός. (Haec recte habere non posse patet. Vide an scribendum sit ἵν' ᾖ ἔξαλος, ut significetur Ptolemaeum ἔξαλα ab ἔξαλος adverbiali significatione positum voluisse.) ἄλλοι δὲ τὴν παρά κυρίως κεῖσθαι, ἵνα γένηται παρ' ἅλα φῦκος, καὶ τὴν ἐξ συντάσσεσθαι πρὸς τὸ ἔχευαν, ὅπερ καὶ βέλτιον· παρ' ἁλὶ φῦκος ἐξέχευαν. μετὰ γοῦν τῆς διὰ οὖσα ἡ ἐξ οὐ τρέπει τὸ ξ· „διὲξ σωλῆνος εἰς ἄγγος" (Archilochi v. Et. M. p. 324, 16). Τυραννίων δὲ ἓν μέρος λόγου ἤκουσεν, ἵν' ᾖ ἐπίρρημα, καὶ βαρύνει· καὶ ἔχει λόγον, ὡς Ἡρόδοτος ὡς ἓν „πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος". ἀλλ' οὐ παρ' Ὁμήρῳ. A. Scripsimus Ἡρόδοτος (N, 46. v. περὶ μον. 25, 24. Cram. epim. I, 380) pro Ἡρωδιανὸς et ὡς ἓν pro ὡς ἕνα et ἔθνεος ut et in loco π. μ. scripsit pro ἔθνους. Caeterum nunc extrema pars a Τυραννίων edita ex Arsenii scholiis margini editionis principis adscriptis in exemplo Paris. ap. Cram. An. Paris. III. p. 11. Ibi scriptum ὡς Ἡρόδοτος ἐν α΄. Ergo poteris pro ὡς ἕνα scribere ἐν δ΄. Praeterea addidi ἀλλ' οὐ παρ' Ὁμήρῳ. Sic enim statuit, ut intelligitur ex loco l. περὶ μ. Sed restat lacuna ante μετὰ γοῦν.

73. ὑποδεξείη ὡς Ἀργείη, τὸ δὲ (Cod. εἰ) ἀκόλουθον ὤφειλεν εἶναι κοινὸν (h. e. per litteram ancipitem scriptum) ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ προσῳδίᾳ· ἐν μέντοι τῇ καθόλου οὕτως. „πᾶσά τοί ἐσθ' ὑποδεξίη"· ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ι. ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τοῦ ει διφθόγγου τὴν γραφὴν ποιοῦνται, καὶ οὕτως ἔχει ἡ τοῦ Ἀντιφάνους (Ἀριστοφάνους Wolfius, potius τῶν ἀντιγράφων) παράδοσις. AD. At certe unum est, in quo hic fallit. Nam

apud Arcadium p. 99 haec habemus τὰ διὰ τοῦ ια παρὰ μελλόντων γενόμενα παροξύνεται, ὀρέξω ἀνορεξία, πέψω ἀπεψία, προδώσω προδοσία. A futuris ducta, ut in hoc libro infra ad Ω, 235.

102. τὸ ἕξεται δασυντέον· ἀπὸ γὰρ τοῦ ἕξω μέλλοντος δασυνομένου μέσος ἐστίν. A.

130. Λεσβίδας — ἐξελόμην: Ἀρίσταρχος ψιλοῖ καὶ πρόθεσιν παραδέχεται ὥστε εἶναι ἓν μέρος λόγου. A.

134. ἥ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν: τὸ η τὸ πρῶτον δασυντέον· ἔστι γὰρ ἰσοδυναμοῦν τῷ ὥς, διὸ καὶ ὁ τέ προστίθεται σύνδεσμος πολλάκις. ὡς γὰρ λέγομεν „ὥστε γὰρ ἥ παῖδες νεαροί" (Il. 2, 209) οὕτως „ἥ τε ξείνων θέμις ἐστίν" (Od. 9, 268). τὸ δὲ ἠδὲ ψιλωτέον· σύνδεσμος γάρ ἐστιν ἰσοδυναμῶν τῷ καί, ὁμοίως τῷ „ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι" (Hes. Op. et D. 771). A. Cod. ἀμεῖσθαι.

147. ἐπιμείλια: Ἀρίσταρχος ἓν μέρος λόγου παρέλαβεν ὡς ἐπιφέρνια. Ἀπολλόδωρος δὲ διαλύει, ἐπί, εἶτα μείλια· οὕτως δὲ καὶ Ἀλεξίων· καί ἐστι τὸ ἑξῆς ἐπιδώσω μείλια. Τρύφων δὲ ζητεῖ περὶ τοῦ τόνου, πότερον ὡς ποίμνια ἢ ὡς παιδία. ἡμῖν δὲ δοκεῖ τὸ προπαροξυνόμενον πλέον εἶναι, σπάνιον δὲ τὸ παροξυνόμενον, εἰ οὕτως ὁρισαίμεθα· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχοι τὴν τρίτην ἀπὸ τέλους φύσει μακράν, διὰ τοῦ ι ἐκφερομένην, ἤτοι μόνου ἢ καὶ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, Ἴλιον, ποίμνιον, Σίγριον, λείριον, ἴτριον. οὕτως καὶ μείλιον. σπάνια δὲ τὰ παροξυνόμενα, ὥςπερ τὸ ἰνίον· τὸ γὰρ τειχίον ὑποκοριστικὸν καὶ τὸ κλειδίον. A. Scripsi ποίμνιον, Σίγριον, ἴτριον pro πύμνον, Σίγιον, αἴτιον. Primum offert Eustathius referens haec hoc loco cum his exemplis: Ἴλιον, εἴριον, ποίμνιον, Σίγειον, λείριον. Pro Σίγιον scripsissem Αἴγιον, nisi Σίγειον Eustathii potius ad Σίγριον Lesbi ferre videretur, quod stabit nisi quis ῑ primum breve demonstrare possit. Quod tertium dedi ἴτριον, ejus de quantitate cum Dindorfio sentio. v. ad libr. περὶ διχρ. p. 297.

150. Ἱρήν: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ἐπιθετικῷ Ἱρήν. εἰσὶ δὲ οἳ βαρύρουσιν εἰς ἰδιότητα, ὥςπερ ἐδηλώσαμεν ἐπὶ τοῦ „Ῥίπην τε Στρατίην τε" (Il. 2, 606) „Ὄρθην (Ὀρθήν,

ib. 739): ἡ δὲ αὐτὴ ἀναλογία ἐχώρει καὶ ἐπὶ τῶν εἰς ος. καὶ πάλιν ὡς ἐπ' ἐκείνων ἐλέγομέν τινα ὀξυτόνως μένειν, οὕτως καὶ ἐπὶ τούτων. καὶ ἔστιν ὁρίσασθαι τὰ μείναντα ὅτι ἐπαίνων ὀνόματά ἐστιν, οὐκ ἀναστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ ἐπὶ ἐπαίνου μένει. καὶ τῶν μὲν τρεπάντων ἀρητή Ἀρήτη, τῶν δὲ μεινάντων Πινυτή, „μήτηρ πινυτή" (Od. υ, 131)· Ἀγαυή, οὕτως καὶ Ἱρή. A. Cod. μεινάντων πινυτή· μήτηρ δὲ πιστὴ ἁγνή. Caeterum Arcadio 114, 10 cum nostro scholio convenire debet, quocumque modo illum corrigas, fortasse sic: πινυτὴ τὸ ἐπίθετον, Πινυτὴ δὲ καὶ τὸ κύριον, τὸ δὲ προσηγορικὸν εἰσὶν οἳ παροξύνουσι. cf. Lob. Path. 390.

153. πᾶσαι δ' ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος: ὡς κέαται. σημαίνει δὲ τὸ ναίονται, γενόμενον παρὰ ὁ νῶ, οὗ παραγωγὸν ναίω. ὅσοι δὲ παροξύνουσιν ὡς ἐπὶ τοῦ ἔσχαται κατὰ τὸ νοητὸν παραλαμβάνουσιν· οὐδ' εὐθεῖαν δὲ ὑγιῶς παροξύνουσιν· ὀφείλει γὰρ ὁμοτονεῖν τῷ νέατοι. Ἀπολλώνιος (? Ἀπολλόδωρος ex schol. L.) δὲ διὰ τοῦ κ γράφει κέαται. A. οὐδ' εὐθεῖαν δὲ scripsi pro οὐδ' ἐνθάδε δέ.

164. διδοῖς: ὡς ὀρθοῖς. οὕτως καὶ Ἀρίσταρχος. καὶ γὰρ τὸ τρίτον „εἰ μὲν γὰρ μὴ δῶρα διδοῖ" (Il. 9, 515) A.

167. οἱ δέ: βαρυτονητέον· δύο γὰρ μέρη λόγου, ἀντὶ τοῦ οὗτοι δέ. εἰσὶ δὲ οἳ προπεριέσπασαν, οὐκ εὖ· χρεία γάρ ἐστι τοῦ δὲ συνδέσμου. A.

184. περισπαστέον τὸ πεπιθεῖν· δεύτερος γὰρ ἀόριστος. ABL.

197. ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεώ: ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον· βεβαιωτικοὶ γάρ. A.

202. καθίστα: ὡς (l. εἰ) καθίστανε τὸ πλῆρες, οὕτως καὶ ἐπὶ τῆς ἀποκοπῆς. εἰσὶ δὲ οἳ ἐκτείνουσιν, ἀπὸ τοῦ ἱστῶ τὴν κλίσιν παραλαμβάνοντες. A. v. explicatiora in libro περὶ παθῶν, Etym. s. ἵστη μὲν ὄμμα.

206. κρεῖον ὡς θεῖον. γέγονε δὲ παρὰ τὸ κρέας. Cf. Et. M. s. v. A.

220. θυηλάς: ὡς ἀπαρχάς. τὰ δὲ διὰ τοῦ $\overline{\eta\lambda\eta}$ μονογενῆ ὑπὲρ δύο συλλαβὰς καὶ ὀξύνεται, ὥσπερ τὸ γαμφηλή, θυηλή, καὶ βαρύνεται, ὡς τὸ ἀνθήλη. A.

230. ἐν δοιῇ: περισπαστέον· δοτικὴ γὰρ ἀκόλουθος εὐθείᾳ τῇ δοιός, οὐ τὸ θηλυκὸν δοιή. A.

236. Ἀρίσταρχος ὑφ' ἓν μέρος λόγου τὸ ἐνδέξια, ἐπὶ τὴν δὲ συλλαβὴν τὴν ὀξεῖαν ποιῶν· ὁ δὲ Ἀσκαλωνίτης κατὰ παρολκὴν παραλαμβάνει τὴν ἐν πρόθεσιν, ὥστε εἶναι δέξια σήματα φαίνων. ἄμεινον δὲ τὸ πρότερον. A.

240. ἠῶ: τὴν ἠῶ κατ' αἰτιατικὴν πτῶσιν περισπαστέον, καὶ τὴν αἰδῶ, οὐ μὴν καὶ τὸ Λητὼ καὶ τὰ τοιαῦτα πάντα· ἀλλὰ τὰ μὲν εἰς ω λήγοντα θηλυκὰ ἐπ' εὐθείας καὶ αἰτιατικῆς ὁμοτονήσει ὀξυνόμενα, τὸ δὲ ἠώς καὶ αἰδώς μόνα ἕξει ἐπ' αἰτιατικῆς τὴν περισπωμένην τάσιν. A.

292. οὕτως Ἰρὴν ὀξυτόνως, ὡς ἐν τῇ καθόλου. A.

321. περίκειται: ὁ Ἀσκαλωνίτης δύο ποιεῖ, περί, εἶτα κεῖται, καὶ προπερισπᾷ· σημαίνει δέ φησι τὸ περισσῶς κεῖται. εἰσὶ δὲ οἳ ὑφ' ἓν ἀναγινώσκουσι περίκειται ὡς ἀντίκειται, οἷς συγκατατίθεμαι· τί γάρ ἐστι τὸ κωλῦον καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖν; A.

336. θυμαρέα: τῇ ψυχῇ ἀρέσκουσαν, θυμήρη. σύνθετον δέ ἐστι παρὰ τὸ ἄρω θυμαρής, καὶ οὕτως ἀνέγνωμεν „Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρές (Od. 17, 199) διὰ τοῦ α. (Commode ex Et. addetur ὀξυτόνως.) οὐ γάρ ἐστι παρώνυμον διὰ τοῦ ηρης, τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης παρώνυμα βαρύνεται, ξιφήρης, ὀλιγήρης, τοξήρης, ὀνώδης καὶ βοώδης. A. Cf. Lob. Path. 267. Transiit in Et. M. 458. Scripsimus ἀρέσκουσαν, θυμήρη pro ἀρέσκουσα θυμήρης, et θυμαρής pro θυμάρης ut recte in Et.

342. αὐτοῦ: ὁ Ἀσκαλωνίτης δασύνει, σύνθετον ἐκδεχόμενος τὴν ἀντωνυμίαν, ἀγνοῶν ὅτι Ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμίᾳ. διὸ καὶ τὰς τοιαύτας κατὰ διάλυσιν ἀναγινώσκομεν „καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ“ (Il. 1, 271) καὶ „πυκάσασα ἓ αὐτήν“ (Il. 17, 551). τί οὖν ἐστιν ἐνθάδε λέγειν; ἢ ὅτι λείπει ἡ ἕο; ὡς τὸ „ἕο τ' αὐτοῦ πάντα κολούει“ (Od. 8, 211), οὕτως καὶ ἐνθάδε „τὴν ἕο αὐτοῦ φιλέει.“ A. ἀγνοῶν — ἀντωνυμίᾳ addidi ex V. in quo haec sunt: Πτολεμαῖος δασύνει νομίζων τὸ πλῆρες εἶναι ἑαυτοῦ ἀγνοῶν — ἀντωνυμίᾳ.

343. δουρικτήτην: δουρικτήτη, ὡς ἀριγνώτη, ἵνα τοῦ δουρίκτητος παρώνυμον ᾖ· οὕτως γὰρ φιλεῖ σχηματίζειν ὁ ποιητής, ἀμφιρύτη, περιξέστη· A. De paronymo v. ad Ξ, 372.

353. οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ: δύναται τῇ γενικῇ συντάσσεσθαι καὶ μὴ πάντως σημαίνειν τὸ ἄπωθεν. A. quaest. ep. 94.

392. ὅςτις οἷ: εἰς ἁπλῆν μεταλαμβάνεται ἡ ἀντωνυμία, ὅςτις αὐτῷ· ὅμως δὲ ὠρθοτονήθη (v. Apoll. pron. 54.) περισπασθήσεται οὖν. δείκνυται δὲ ἐν τοῖς περὶ ἀντωνυμιῶν ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἔτι ἡ σοί ὀξύνονται, ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως. A. Addidimus ὅμως δὲ ὠρθοτονήθη.

393. σόωσι: Τυραννίων προπερισπᾷ ὡς νοῶσιν, ὡς ἀπὸ τοῦ σοῶ περισπωμένου, ἐπεί, φησί, καὶ τὸ εὐκτικὸν κατὰ ἀποκοπὴν εἶπεν „ἦ κέν σφιν νῆάς τε σοῷ καὶ λαὸν Ἀχαιῶν“ (424) καὶ τὸ δεύτερον „ὅππως κεν νῆάς τε σοῷς καὶ λαὸν Ἀχαιῶν“ (681). Ἀπίων δὲ διὰ τοῦ α γράφει, ἐπεὶ καὶ ἐν ἄλλοις οὕτως εὑρίσκεται· „σάωσε δὲ νυκτὶ καλύψας“ (Il. 5, 23) καὶ „τὸν μὲν ἐγὼν ἐσάωσα“ (Od. 5, 103) καὶ „ἀλλὰ σάω μὲν ταῦτα, σάω δ' ἐμὲ“ (Od. 13, 230)· καὶ ἐπὶ μέλλοντος „κερδαλέης εἴ τίς κεν ἐρύσεται ἠδὲ σαώσει“ (Il. 10, 44). ἡ δὲ πλείων χρῆσις, ὧν ἐστι καὶ ὁ Ἀσκαλωνίτης, ὡς σώζωσι. καὶ δῆλον ὅτι τοῦ σώωσι συστολὴν αὐτοὺς δεῖ παραδέξασθαι. πρόδηλον κἀκ τῆς μετοχῆς· „τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην σώοντες ἑταίρους.“ (Od. 9, 430) A. (σαῷς et σοῷς Aristarcheum, v. Didymum infr. 681). Cod. σόῳ et σόῳς in versibus Homericis et in priore ἢ pro ἦ.

398. ἔνθα δέ: δύο μέρη λόγου. „ἔνθα δέ τοι θάνατος“ (Il. 20, 390) „ἔνθα δέ κ' αὖθι μένων“ (Od. 5, 208) „ἔνθα δὲ νῦν τρέψας ἀπὸ τείχεος“ (Il. 22, 16). A.

426. ἀπομηνίσαντος: ἕν ἐστιν ὡς ἀπομανέντος· καὶ γὰρ τὴν εὐθεῖαν οὕτως οἶδεν „ἀπομηνίσας“ (Il. 2, 772). οὕτως οἶδε καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων. καὶ εἰ παρέλκει δὲ ἡ ἀπό, οὕτως ἀναγνωστέον. A.

449. περιχώσατο: οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται περὶ παλλακίδος· οἱ δὲ περιχώσατο ἀνέγνωσαν, ἵνα σημαί-

νηται τὸ περισσῶς. καὶ οὕτως μᾶλλον ἐπεκράτησεν ἡ παράδοσις. οὕτως δὲ καὶ Ἀλεξίων. A.

452. προμιγῆναι: πρὸ τοῦ πατρὸς μιγῆναι· ἡ περισσεύει ἡ πρόθεσις. A.

456. θεοὶ δ' ἐτέλειον ἐπαράς: εἴτε παρέλκει ἡ ἐπί, φυλαχθήσεται ὁ τόνος ὁ αὐτός, ὡς „ἐπιβουκόλος ἀνὴρ" (Od. 3, 422) καὶ ἐπισμυγερῶς (ib. 195.) εἴτε τὸ ἑξῆς ἐστιν ἐπετέλουν, οὐκ ἀναστραφήσεται πάλιν, καθότι αἱ συναλειφθεῖσαι οὐκ ἀναστρέφονται σεσημειωμένου ἐκείνου „στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεναι" (Il. 18, 191) A.

470. εἰνάνυχες ὡς μονώνυχες, ἀπ' εὐθείας τῆς εἰνάνυξ. A. ?

485. καί σε: οὐκ ἀναγκαῖον ἐνθάδε ὀρθοτονεῖν· οὐδὲ γὰρ ἀντιδιαστολὴ πρὸς ἕτερον πρόςωπον. ἀπολελυμένως οὖν ἀναγνωστέον. A.

494. ἀλλὰ σέ: ἐνθάδε ὀρθοτονητέον: ἔμφασις γὰρ δείξεως. A.

502. παραβλῶπες: προπερισπαστέον ὁμοίως τῷ τυφλῶπες· ἀπὸ γὰρ ὀξυνομένης εὐθείας ἐγένετο τῆς παραβλώψ. τὰ δὲ τοιαῦτα καὶ βαρυνόμενα εὑρέθη καὶ ὀξυνόμενα, ὥςπερ τὸ ἑλικῶπες καὶ Κύκλωπες, περὶ ὧν ἐντελέστερον λέγεται ἐν τοῖς περὶ σχημάτων. A.

505. ἄρτιπος: πρὸ τέλους ἡ ὀξεῖα, ὁμοίως τῷ ἀελλόπος καὶ τρίπος. A.

506. ἐκτατέον τὸ φθάνει διὰ τὸ μέτρον. A.

509. Ad h. v. A habet: ἡ διπλῆ ὅτι περισσὸς ὁ δέ σύνδεσμος. διὸ οὐ δεῖ συνεγκλίνειν τῷ ἄρθρῳ τὸν σύνδεσμον. Hic est cur coniicias Aristonici et Herodiani notas per epitomatorem coaluisse, et ultima de accentu ab Herodiano non fuisse apud Aristonicum sed potius ab Herodiano esse. Est tamen aliquid dubitationis praesertim inspicienti scholia ad B, 189. (συνεγκλιτικὸς Apollon. coni. 525, 16. ἀσυνέγκλιτος ib. 508, 1.)

516. ἐπιζαφελῶς: ὡς χαλεπῶς. παρέλκει δὲ πάλιν ἡ ἐπί.· ἐχρῆν δέ, ἐπεὶ παρὰ τὸ ζάφελος γέγονε, καὶ ζαφέλως ἡμᾶς ἀνεγνωκέναι βαρυτόνως, ἢ καὶ ἐκεῖνο κατ' ὀξὺν προφέ-

ρεσθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελος προπαροξύνεται λόγῳ τούτῳ, ὡς τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, ζάθεος, ζάκοτος. οὕτως ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λως ἐπιῤῥήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, ἐντελῶς, ἐπιμελῶς, οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ εὐτραπέλως, ἰκέλως. A. Cod. ἐχθρ pro ἐχρῆν. Correxit Bekker.

526. παραῤῥητοί: ὡς παραμυθητοί καὶ νοητοί κατ ὀξεῖαν τάσιν. A.

529. Κουρῆτες: οὕτως ἀνεγνώσθη ὡς ἀβλῆτες, πρὸς διαστολὴν τοῦ „κούρητες Ἀχαιῶν" (Il. 19, 248). οὐκ ἐχρῆν δέ, καθότι οὐ φιλεῖ τὰ εἰς ης λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι. ἐλέγχεται δὲ καὶ ἡ κλίσις τοῦ κουρῆτες ἐν τῇ κλίσει τῶν ὀνομάτων. A.

540. ἔθων: ψιλῶς τὸ ἔθων, καθότι ἐδιδασκόμεθα καὶ ἐκ τῆς συναλοιφῆς „ᾗ ἑ μάλιστ' εἴωθε" (Il. 5, 766). καὶ ἄλλως τὸ ε πρὸ τοῦ θ οὐ δασύνεται, εἰ μὴ εἴη ἀντωνυμικὸν ἐξ ἀποβολῆς τοῦ σ, σέθεν ἕθεν. τὴν γὰρ ὑπό τινων φερομένην ἔδων παραιτητέον. A. ἔδων scripsimus pro ἐδων.

567. κασιγνήτοιο: ὡς Ἀδμήτοιο. τινὲς δὲ προπερισπῶσιν ὡς λευκοῖο, ἵνα γένηται κασιγνητικοῦ· ἡ γὰρ Ἀλθαία, φασίν, οὐχ ἕνα εἶχεν ἀδελφόν. δύναται μέντοι καὶ τὸ βαρυνόμενον ἐνικὸν ἰσοδυναμεῖν τοῦ κασιγνητικοῦ. A. φασίν scripsi pro φησίν.

571. ἠεροφοῖτις: τὰ εἰς ις παρώνυμα θηλυκά, παρακείμενα τοῖς εἰς ης ἀρσενικοῖς βαρυνομένοις, προπερισπᾶται, εἰ φύσει μακρᾷ παραλήγοιτο, πρωθῆβις, πολῖτις, ἀλεῖτις, πλανῆτις, πρεσβῦτις. οὕτως δὲ καὶ ἠεροφοῖτις. ὅσα δὲ παρὰ τὸ πωλεῖν ἐστίν, ἀνεβίβασε τὸν τόνον, ἀρτόπωλις, ἀλφιτόπωλις· ἀλλ' οὖν καὶ ὅσα παρὰ τὸ κοῖτος, παράκοιτις, ἄκοιτις. τὸ μέντοι δολόμητις οὐκ ἔστι θηλυκὸν ἀλλὰ καὶ ἀρσενικόν· καὶ ἴσως τὸ μῆτις ἔγκειται, ὡς τὸ πολύμητις δολόμητις. καὶ ἔστι σύνθετον. A.

581. ἐπ' ἐμβεβαώς: εἴτε ἓν μέρος λόγου ἐπεμβεβαώς, ὡς ἐμμεμαώς, εἴτε τῇ ὁδοῦ γενικῇ συνάπτεται, οὐ δύναται ἀναστρέφεσθαι· συνήλειπται γάρ. A.

605. τιμῆς ἔσεαι: τινὲς τὸ τιμῆς διὰ τοῦ ῑ γράφουσιν, ἀπὸ γὰρ τοῦ τιμήεις. οὕτως καὶ τὴν αἰτιατικὴν εἶπε „καὶ χρυσὸν τιμῆντα“ (Il. 18, 475). καίτοι λόγος ἐστίν, ὡς πᾶσα εὐθεῖα ἀρσενικοῦ ὀνόματος ἐν τῇ τελευταίᾳ δύο ἔχουσα φωνήεντα ταῦτα ἐκφωνεῖ, χωρὶς τοῦ Θρᾷξ. οὐκ ἐπείσθη δὲ ἡ παράδοσις. Ἀρίσταρχος γὰρ ἄνευ τοῦ ῑ, οὐχ ὑγιῶς δὲ γενικὴν ἐκδέχεται, λειπούσης φράσεως· τιμῆς γάρ φησιν ἄξιος ἔσῃ. ὁ δὲ Χαῖρις βοηθῶν αὐτῷ φησιν ὅτι ἐπιφέρει „οὔτι με ταύτης χρεὼ τιμῆς.“ A. Herodianum voluisse τιμῆς sine ι subscripto, sed pro adiectivo accepisse ex τιμήεις, patet ex M, 201. Cf. Io. Al. p. 8, 30. Arcad. 26, 17. Cod. Θρᾴξ·

ἀλαλκών: ὀξυτονητέον· δευτέρου γὰρ ἀορίστου ἐστίν. ὡς ἀγαγών καὶ ἀγαγεῖν, οὕτως καὶ ἀλαλκών καὶ ἀλαλκεῖν. A.

614. ἵνα μημοι ἀπέχθηαι φιλέοντι: ὁ Ἀσκαλωνίτης ἀναγινώσκει ἵνα μημοι τὰς δύο βαρυτόνως, οἷον ἵνα μὴ ἐμοὶ κατ' ὀρθὴν τάσιν· συγκριτικὴ γάρ ἐστι, φησίν, ὡς πρὸς τὸν Ἀγαμέμνονα. καὶ ὑγιῶς φησιν. ἡ μέντοι παράδοσις ἐγκλιτικῶς ἀνέγνω, ἐπὶ τὴν μή τὴν ὀξεῖαν τιθεῖσα, ὁμοίως τῷ „μή μοι οἶνον ἄειρε“ (Il. 6, 264), τῷ μὴ εἶναι ἐν τῇ ἀντωνυμίᾳ τὸ ε̄, ἀλλ' ἀποβεβλῆσθαι. καὶ ὁμοία ἐστὶν ἡ πλάνη τῷ „ἤ μ' ἀνάειρε ἢ ἐγὼ σε“ (Il. 23, 724) καὶ τῷ „τάχα δή με διαῤῥαίσουσι καὶ αὐτόν“ (Od. 1, 251), εἴγε ἐχρῆν καὶ ταῦτα ὀρθοτονεῖσθαι. ἀλλὰ τῷ μὴ ὁρᾶσθαι κατ' ἀρχὴν τὸ ε̄ οὕτως ἀνέγνωσαν· τοῦτο γὰρ ἐπακολουθεῖ τοῖς πρωτοτύποις. ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι ὅτι κρᾶσις δύναται ἐπακολουθεῖν, καὶ οὕτως ῥῶσαι τὴν ὑγιῆ ἀνάγνωσιν. A.

680. αὐτόν σε: ὁ Ἀσκαλωνίτης ὀρθοτονεῖ τὴν σέ, ἐπεί, φησίν, ἀεὶ μετὰ τῆς ἐπιταγματικῆς αἱ πρωτότυποι φιλοῦσιν ὀρθοτονεῖσθαι. ἐχρῆν δὲ αὐτὸν ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου ὁρίσασθαι, παραιτήσασθαι δέ τινα Ὁμηρικὰ ἄλλως ἀνεγνωσμένα δι' αἰτίαν τινά· „κελεύετέ μ' αὐτὸν ἑλέσθαι“ (Il. 10, 242)· „εἰ μή τίς σ' αὐτόν“. ἄλλως τε αἱ πρὸ τῆς αὐτός εἰσιν αἱ ὀρθοτονούμεναι, οὐχ αἱ μετὰ τὴν αὐτός. ἐγκλιτικῶς οὖν ἀναγνωστέον. A. Cod. τις σαυτόν.

ΕΙΣ ΤΗΝ Κ.

18. Πάμφιλος τὴν ἐπί ἀναστρέφει· πιθανώτερον δέ ἐστι τὸ ἀκόλουθον φυλάττοντας ἀναγινώσκειν ἐπὶ πρῶτον Νέστορα. οὕτως ὁ Ἀσκαλωνίτης. A.

19. εἴ τινά οἱ σὺν μῆτιν ἀμύμονα τεκτήναιτο: εἰσὶν οἳ ἀνέγνωσαν καθ' ἓν μέρος λόγου, ὡς εὔμητιν, κακῶς· δύο γάρ ἐστι μέρη λόγου σὺν καὶ μῆτιν· τὸ δὲ ἑξῆς ἐστι συντεκτήναιτο μῆτιν. A.

25. οὐ δὲ γὰρ αὐτῷ ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε: Τυραννίων τὴν αὐτῷ ἀντωνυμίαν καθ' ἓν ἐλάμβανεν ὡς ἐν τῇ συνηθείᾳ· ὁ δὲ Ἀσκαλωνίτης τὸν αὖ σύνδεσμον παρελάμβανε, καὶ τὸ τῷ ἰσοδυναμοῦν τῷ τούτῳ, ὁμοίως τῷ „τοῦδ' αὖ τοῦ λυκάβαντος" (Od. 14, 161). ἴση δέ μοι δοκεῖ ἡ ἀνάγνωσις εἶναι. ἐπὶ μέντοι τοῦ τοῦδ' αἶ τοῦ λυκάβαντος κατεπειγόν ἐστιν αἶ, εἶτα τοῦ ἀναγνῶναι· κωλύεται γὰρ ἐνθάδε ἐμπαραληφθῆναι ὑπὸ τοῦ σημαινομένου τὸ αὐτοῦ. (cf. schol. Q. eo loco.) A.

38. Ἀρίσταρχος ἐπίσκοπον ὡς κατάσκοπον. Νικίας δὲ ἀναστρέφει τὴν ἐπί, ἵν' ᾖ ἐπὶ Τρώεσσιν. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ἐπισκοπὸν ὡς ἀγακλυτόν, ἵνα παρέλκῃ ἡ ἐπί. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι· καὶ γὰρ ἤδη ἡ συνήθεια ἐπίσταται τὴν τοιαύτην σύνθεσιν. χρὴ δὲ νοεῖν ὅτι πολλὴ ἡ χρῆσις τοῦ ὀνόματος παρὰ τῷ ποιητῇ ἐν ἁπλότητι καὶ ἐν συνθέσει· „δμωάων σκοπός ἐσσι" (Od. 22, 396) „καὶ ἐπίσκοπος ᾖσιν ἑταίρων" (Od. 8, 163). A. Inserui ἐπίσκοπον ὡς post Ἀρίσταρχος.

56. φυλάκων: ὡς σκυλάκων· ἐπὶ γὰρ τῶν ἀνδρῶν τέτακται οὐκ ἐπὶ τῶν τόπων. A.

65. τὸ ἀβροτάξομεν ψιλωτέον ὁμοίως τῷ ἤμβροτες. τινὲς γοῦν κυρίως ἡγοῦνται τὸ βροτοῦ μὴ ἐπιτυχεῖν ἀλλ' ἁμαρτεῖν, ὥςτε καὶ στέρησιν ἔγκεισθαι. A.

67. ἐγρήγορθαι: τὸ ἐγρήγορθαι ἀνέγνωμεν προπαροξύνοντες, οὐκ ἐχρῆν δέ. εἴτε γὰρ συγκοπή ἐστι τοῦ ἐγρηγορέναι, εἴτε παθητικός, ὀφείλει παροξύνεσθαι, καθότι τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνεται, κα-

κάρθαι, τετίλθαι, ἐσπάρθαι· μίαν μέντοι ἀφορμὴν ὁρῶ τοῦ δύνασθαι προπαροξύνεσθαι τὸ ἐγρήγορθαι τὸ τὰ εἰς θαι λήγοντα, τῇ ορ συλλαβῇ παραληγόμενα, μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶσθαι, ἢ τῇ Αἰολίδι, τέτορθαι, μέμορθαι, ἔφθορθαι· ὅθεν ἐπεὶ ἡ παράληξις Αἰολικωτέρα ἐγένετο, καὶ ὁ τόνος ὁμοίως τοῖς προκειμένοις. A. Addidi παθητικός. Eust. et, quo item venit, Etym. 312, 41 habent ille εἴτε ἀπὸ τοῦ ἔγρω γίνεται, hoc εἴτε ἀπὸ τοῦ ἐγείρω.

93. αἰνῶς γὰρ Δαναῶν περιδείδια: πιθανώτερόν πώς ἐστιν ἀναστρέφειν· δύναται δὲ καὶ τὸ ἕτερον. A.

95. ἐκθρώσκει: Νικίας κατ' ἰδίαν τὴν πρόθεσιν ποιεῖ, ἵνα τὸ ἑξῆς γίνηται ἐκ στηθέων θρώσκει. ἄμεινον δὲ ἓν ποιεῖν, ἐκθρώσκει ὡς ἐκτρέχει. A. Cod. ἐκτρέχειν.

ὑπό: κακῶς Νικίας ἀναστρέφει· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ. A.

105. ὅσα πού νυν ἐέλπεται: τὸ νῦν ἐνθάδε συσταλτέον διὰ τὸ μέτρον, ὥςπερ καὶ ἐπὶ τοῦ „δεῦρό νυν ἢ τριπόδος“ (Il. 23, 485). A.

109. δουρὶ κλυτόν: τὸ κλυτός, εἰ πτωτικὸν κατάρχοι ἐν συνθέσει, βαρύτονόν (v. Et. et Schol. Od. mox laudatos) ἐστι, τοξόκλυτος, ὀνομάκλυτος, εἰ δὲ ἄπτωτον (addiderat fortasse, si accurate hic loqui animus erat, ὑπὲρ μίαν συλλαβὴν propter πρόκλυτος v. Epim. Cram. I, 378 vel Et. M. p. 215, 25 Schol. Od. α, 30) φυλάσσει τὸν αὐτὸν τόνον, περικλυτός ἀγακλυτός. ὅτι γὰρ σύνθετόν ἐστι, δῆλον ἐκ τοῦ μένειν τὸ α τῆς ναυσί δοτικῆς· κατ' ἰδίαν γὰρ παρὰ τῷ ποιητῇ ἢ διὰ τοῦ η λέγεται ἢ διὰ τοῦ ε, ἐν δὲ συνθέσει διὰ τοῦ α, Ναυσικάα, Ναυσίθοος. τὸ μὲν οὖν δουρὶ κλυτὸς ἐν παραθέσει ἐστίν. A. Inserui βαρύτονον post συνθέσει, scripsique παραθέσει pro παρασυνθέσει.

134. οὔλη δ': ὡς κούρῃ· οὕτως γὰρ καὶ τὸ ἀρσενικὸν αὐτοῦ ἐβαρύνετο „οὔλων τε ταπήτων“ (Il. 16, 224). τούτῳ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ Ἀρίσταρχος. καὶ μήποτε ἀνάλογος ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴ γε ὀξυτονοῦσι τὸ ὄνομα, λέγοντες οὐλὸς ἄνθρωπος καὶ οὐλὴ κόμη. οὐ δέον δέ· τὰ γὰρ εἰς λος λήγοντα

δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται, πόλος, στόλος, θόλος, κοῖλος, δοῦλος. οὕτως καὶ οὖλος. προςέθηκα δὲ μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον διὰ τὸ μοχλός, πολλός. τὸ μέντοι θολὸς ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστι. A.

174. ἤ: ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον· διαζευκτικοὶ γάρ εἰσιν. V.

210. τήν σφίσι νῦν ὀρθοτονητέον, καὶ διὰ τὴν σύνταξιν καὶ διὰ τὴν μετάληψιν· εἰς γὰρ σύνθετον. A.

242. κελεύετέ μ' αὐτόν: Ἀλεξίων τὸ ε τῇ ἀντωνυμίᾳ δίδωσιν, οὐ τῷ ῥήματι τελικόν, καὶ δοκεῖ ὀρθοτονεῖν, ὡς εἰ καὶ συνθέτως ἐλέγετο ἐμαυτόν. καὶ τοῦτό γε ἐχρῆν εἶναι· ἀεὶ γὰρ αἱ τοῦ πρώτου προσώπου ἀντωνυμίαι προτασσόμεναι τῆς αὐτός ὀρθοτονοῦνται. ὁ μέντοι Ἀσκαλωνίτης καὶ Ἀρίσταρχος ἐγκλιτικῶς ἀνεγνώκασιν, ἐπὶ τὴν τε συλλαβὴν ποιοῦντες τὴν ὀξεῖαν, ἵνα μὴ ὡς κατάλληλον φανῇ τὸ ἐμαυτὸν ἐλέσθαι. A.

246. ἑσπομένοιο: δύναται καὶ σπομένοιο, ὥς φησιν ὁ Ἀσκαλωνίτης· καὶ ὅμοιόν ἐστι τοῦ „ὁ δὲ ἑσπόμενος περὶ δουρί“ (Il. 13, 570). εἰ δὲ Ἀρίσταρχος δασύνει τὸ „εἴ δέ σου (est nunc ἀλλὰ σοί) ὦ μέγ' ἀναιδὲς ἅμ' ἑσπόμεθ'“ (Il. 1. 158) ἀνάγκη πᾶσα κατ' αὐτὸν δασύνειν καὶ τὴν μετοχὴν καὶ ἀπὸ τοῦ ε ἄρχεσθαι. A.

247. περίοιδε: οἱ μὲν ὡς σύνοιδε ἀνέγνωσαν, ἓν ποιοῦντες καὶ τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν· οἱ δὲ κατὰ παράθεσιν ἵνα γένηται περισσῶς οἶδε. δύναται δὲ καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖσθαι, ὡς καὶ Ἀρίσταρχος βούλεται. A.

258. καταῖτυξ: ἡ καταῖτυξ προπερισπᾶται. πάντα τὰ εἰς υξ συστέλλει τὸ υ, τὰ μέντοι διὰ τοῦ κ κλινόμενα ἐνίοτε ἐκτείνει τὸ υ ἐπὶ τῶν ἄλλων πτώσεων, οἷον βόμβυκος, κήρυκος· τὸ γὰρ „κήρυκι Ἠπυτίδῃ“ (Il. 17, 324) συνέσταλται διὰ τὸ μέτρον. A. Inserui verba ἐπὶ τῶν — κήρυκος. V. περὶ διχρ. 285, 21 sqq.

266. Ἐλεῶνος: εἰσὶν οἳ ψιλοῦσιν. ὁ δὲ Ἀσκαλωνίτης φησὶ δασύνεσθαι. ἔστι δέ τινα ἃ ἱστορίᾳ τοπικῇ κατέχεται. οὕτως οὖν καὶ ἐπὶ τούτου. ἱστοροῦσι γὰρ οὕτως δασέως τὴν πόλιν λέγεσθαι· πῶς οὖν ἐν τῷ καταλόγῳ ψιλῶς ἀνέγνωμεν „οἵ τ'

᾿Ελεῶν᾿ εἶχον“ (Il. 2, 500); φασὶ γὰρ κἀνταῦθα τὴν Βοιωτιακὴν εἶναι πόλιν. εἰ μὴ λέγομεν ὅτι οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν. A. Addidi quae sunt ab εἰ μὴ usque ad ἀνάγνωσιν; nam hoc fere excidisse certissimum v. M, 20. Aristarch. stud. Hom. p. 272.

273. κατ᾿ αὐτόθι: φασὶ παρέλκειν τὴν κατά· διὸ φυλάσσειν τὸν αὐτὸν τόνον. κἂν μὴ παρέλκῃ δέ, συντάσσηται δὲ τῷ λιπέτην, οὐ δύναται ἀναστρέφεσθαι κατὰ δύο τρόπους, καὶ ἐπεὶ συνήλειπται καὶ ἐπεὶ μεταξὺ πέπτωκεν ὁ δέ σύνδεσμος. A.

281. εὐκλεῖας περισπαστέον· ἐκ γὰρ τοῦ εὐκλέας ἐγένετο κατ᾿ ἐπένθεσιν τοῦ ῑ· λέγει γάρ, δὸς ἡμᾶς εὐκλεεῖς καὶ ἐνδόξους. οἱ δὲ ἐκτείνοντες ἄνευ λόγου ἐκτείνουσιν. A.

292. Πτολεμαῖος ὁ τοῦ ᾿Οροάνδου ἀνέγνω ἦνιν ὡς μῆνιν· καὶ τοῦτο ὀφείλει εἶναι τὸ ἀνάλογον· Τυραννίων δὲ ὀξύνει τὴν πρώτην· καὶ δῆλον ὅτι δώσει καὶ τὴν ἐπὶ τέλους ἐκτείνεσθαι· ὀξεῖα γὰρ κατὰ μακρᾶς βραχείας ἐπιφερομένης οὐ πίπτει κατὰ τὸ κοινὸν ἔθος, ὑπεσταλμένων τῶν σεσημειωμένων, λέγω δὲ τοῦ εἶθε, αἶθε, ναίχι, περὶ ὧν καὶ λόγον δεδώκαμεν. τάχα οὖν καὶ τὸ ηνῑν ἐκτείνει ὁ Τυραννίων διὰ τὸ μέτρον, οὐχὶ διὰ τὸ πληθυντικὸν „ἦνις ἠκέστας“ (Il. 6, 99)· καὶ γὰρ πόλῑς λέγουσι καὶ πόλῐν καὶ μάντῐς καὶ μάντῐν. A.

307. οἷ: ὀρθοτονεῖται καὶ περισπᾶται καὶ εἰς σύνθετον μεταλαμβάνεται. A.

335. κρατὶ δ᾿ ἐπὶ κτιδέην κυνέην: ὁ ᾿Ασκαλωνίτης ἀναστρέφει ἵνα γένηται ἔπι κρατί, οὐχ ὑγιῶς· μέσος γὰρ πέπτωκεν ὁ δέ. τὸ δὲ ἑξῆς δεῖ διαστέλλειν κατὰ τὸν ποιητὴν κτιδέην ἀπὸ τοῦ κ̄ ποιουμένους τὴν ἀρχήν, ἐπεὶ ἐν ἑτέροις φησὶ „τοῦ δ᾿ ἀπὸ μὲν κτιδέην“ (458). A.

351. ἐπί: οὐδὲ ἐνθάδε ἀναστρεπτέον· μεταξὺ γὰρ πάλιν σύνδεσμος, ἐφ᾿ ὅσον ὁρῶ. A.

373. εὐξόου: Πτολεμαῖος περισπᾷ, λέγων ἐκ τοῦ εὐξόου συνηλεῖφθαι. οὐκ ἀναγκαῖον δέ· εἰ γὰρ ἤδη τέτριπται εὔξου ὡς ἡσύχου, δῆλον ὅτι τὸ εὔξοος πολὺ πρότερον εὔξους ἐγένετο ὡς εὔνοος· καὶ οὕτως τὸ εὔξου ὡς εὔνου. A.

466. δέελον: ταὐτόν ἐστι τῷ δῆλον· διὸ καὶ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα καὶ ψιλοῦται τὸ δεύτερον ε. Α.

475. παρ' αὐτῷ δ' ὠκέες ἵπποι Ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο: ψιλωτέον τὸ ἐξ· τὸ γὰρ ἑξῆς ἐστιν, ἐκ πυμάτης, ἐκ τῆς ἄντυγος ἐδέδεντο τοῦ δίφρου, ἐξ ἀκρᾶς τῆς ἐπιδιφριάδος. ἔνιοι δὲ κακῶς δασύνουσιν ὥστε κατὰ τὸν ἀριθμὸν ἓξ ἵππους δεδέσθαι. Α.

505. 6. 7. ἤ: διαπορητικὸς ὁ ὕστερος, διὸ περισπαστέος.: τὸν δὲ πρῶτον καὶ δεύτερον ἐγκλιτέον. Α. Sic scripsi pro διαπορητικοὶ οἱ ὕστεροι. διὸ περισπαστέον τὸν δεύτερον. τὸν δὲ πρῶτον καὶ τρίτον ἐγκλιτέον. v. quaest. ep. p. 55.

546. ἤ τίς σφωε πόρεν: τὸ ῥῆμα ἀπὸ τοῦ π ἄρχεται καὶ ἡ σφωέ τρίτου προςώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς· „τίς τ' ἄρ σφωε θεῶν" (Il. 1, 8)· „ἀλλά σφωε δόλος καὶ δεσμός" (Od. 8, 317)· ὥςτε οὐκ οἶδεν ὁ ποιητὴς οὐδὲ μονοσύλλαβον τὴν σφώ, εἰ μή ποτε ὀρθοτονεῖται καὶ δευτέρου προςώπου ἐστὶ καὶ σημαίνει τὸ ὑμεῖς ἢ ὑμᾶς· „σφὼ δὲ μάλ' ἠθέλετον" (Il. 11, 782). ἔνθεν οὖν οἱ ἀκριβέστερον αὐτὰ παραφυλάξαντες ἔκθλιψιν δεδώκασι τοῦ ε ἐν τῷ „εἰ μὴ σφω Αἴαντε διέκρινον" (Il. 17, 531) ἵνα τὸ διηνεκὲς φυλαχθῇ. Α.

574. τοῦ ἐπεί τὴν τελευταίαν ὀξυτονητέον· ἐγκλιτικὴ γὰρ ἡ σφίν. Α.

ΕΙΣ ΤΗΝ Λ.

24. βαρύνεται τὸ οἶμος ὡς οἶκος· δοκεῖ δέ μοι κατά τινα ἀφορμήν· φιλεῖ γάρ πως τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα βαρύνεσθαι, ὁπότε πρὸ τῆς ος συλλαβῆς σύμφωνα ἢ σύμφωνα ὑπάρχει — φημὶ δὲ διὰ τὸ Οἰός· οὕτως γὰρ λέγεται δῆμος παρ' Ἀθηναίοις κατ' ὀξεῖαν τάσιν — οἷον οἶκος, οἶτος, οἶκτος, οἶνος. οὕτως καὶ οἶμος. Α.

35. λευκοί: ὀξυτονητέον, ἵνα ἐπὶ τῶν ὀφθαλμῶν κέηται. εἰσὶ δὲ οἳ περισπῶσιν, ἵνα γενικὴ γένηται, ἐπίθετον τοῦ κασσιτέρου, κακῶς· ἔθος γάρ ἐστι παρὰ τῷ ποιητῇ τὴν Θεσσαλικὴν

ταύτην καλουμένην γενικὴν εὑρίσκεσθαι, εἰ μὴ μέτρον κωλύοι· εἰ γὰρ κωλύοι, ἡ κοινὴ παραλαμβάνεται. παρεκτέταται τὸ κεφάλαιον Ἡρωδιανῷ. A.

36. ἡ ἐπί πρὸς τὸ ἐστεφάνωτο συντάσσεται· διὸ τὸν τόνον φυλακτέον. A.

51. φθάν: ὁ Ἀρίσταρχος βαρύνει· καὶ δῆλον ὅτι ὑγιῶς· κοιμίζεται γὰρ ἡ ὀξεῖα ἐν τῇ συνεπείᾳ· „Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε" (Il. 13, 1). ἔστι δὲ ὁ νοῦς τοιοῦτος, ἔφθασαν δὲ κατὰ τὸ πολὺ οἱ πεζοὶ τοὺς ἱππεῖς προδιαταγέντες ἐπὶ τῆς τάφρου. A.

68. ὄγμον: ὡς ὄλβον. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλείονα βαρύνεσθαι θέλει, οἷον ὄκνος, ὄμβρος, ὄῤῥος, ὄσσος, Ορθος (sc. Ορθος τὸ μονογενές ut loquitur Ω, 316. ubi vid.) ὄρφος. οὕτως καὶ ὄγμος. A. ὄσσος Eust. habet, Cod. ὅσσος. Sed nec illud credo ab Herodiano hic cum reliquis positum esse. Fort. ὄγκος.

75. τὸ πάρεσαν τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἐκ δέ τοῦ παρῆσαν ἐγένετο. A.

ἔχηλοι: δασύνεται. τὸ γὰρ ε πρὸ τοῦ χ δασύνεσθαι θέλει, ὁπότε μὴ ἐκ κλίσεως τυγχάνοι ῥήματος ἢ ἀπὸ προθέσεως. A. cf. E, 759 ubi additum ἢ μεμελετηκὸς ἀφαιρεῖσθαι.

88. ἅδος: δασυντέον· τὸ γὰρ α πρὸ τοῦ δ ὂν καὶ μὴ ἔχον στερητικὴν ἔννοιαν ἢ κρᾶσίν τινα (h. e. vel, etiamsi στερητικὸν sit, tamen crasin habeat) δασύνεσθαι θέλει, στερητικὴν μὲν οὕτως, κατὰ κρᾶσιν, ἀδαής ἀδρανής ἀδευκής. (Haec sic scribenda videntur: οὕτως ἀδαής, ἀδρανής, ἀδευκής, κατὰ κρᾶσιν ᾅδης cf. Arcad. 197, 19.) μὴ οὕτως δὲ ἔχον ἁδρός, ἁδινός, Ἁδρίας. διὸ καὶ τὸ Ἄδωνις κρεῖττόν ἐστι δασύνειν, ἵνα καὶ παρὰ τὸ ἁδεῖν τῇ δαίμονι ἐτυμολογηθῇ. A. Cf. ad hunc locum supra E, 203. Praeterea huc pertinet lexic. de spiritu post Amm. p. 189 τὸ Ἀδρίας παρ' Ὁμήρῳ δασύνεσθαί φησιν Ἡρωδιανός, ἐν δὲ τῷ καθόλου ψιλοῦσθαι. Moschopul. ap. Titz. p. 32. Ἀδρίας, εἰ καὶ Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προςῳδίᾳ ψιλοῦσθαί φησι. Qui illud παρ' Ὁμήρῳ quid sit recte interpretatur, caeterum negligentia rem pervertit.

101. βῆ ῥ' Ἴσον: κατὰ διάστασίν ἐστι, βῆ ῥα, εἶτα Ἶσόν τε καὶ Ἄντιφον. Α.

141. ἕμεν: δασυντέον· τὸ γὰρ εἶναι καὶ ἀφεῖναι παραγωγῶς γέγονεν ἕμεναι, ὡς τὸ θεῖναι θέμεναι. Α.

160. κεῖν': λέγει ὁ τεχνικὸς ἐν τῷ ὑπομνήματι τοῦ περὶ παθῶν Διδύμου· τὰ ὀξύτονα ἡνίκα ἐκθλίβηται τὴν ὀξυνομένην συλλαβήν, ἀναπέμπει τὴν ὀξεῖαν ἐπὶ τὴν ὀπίσω συλλαβήν, καὶ ἐὰν ᾖ ἡ ἐκθλιβεῖσα συλλαβὴ ἡ ἔχουσα τὴν ὀξεῖαν βραχεῖα, ἡ δὲ ὀπίσω συλλαβὴ φύσει μακρά, τῷ τονικῷ παραγγέλματι γίνεται περισσώμενον. περισπᾷ γοῦν τὸ δῆλον (δεῖλ' Heyn.) ἐν δὲ τῇ Ὁμηρικῇ προσῳδίᾳ ἐναντιοῦται τούτῳ. Α. Cf. Ρ, 201 et Λ, 441.

192. ἄλεται. ψιλοῦται εἴτε ἐπὶ τοῦ ἐκκλίνειν τάσσηται, ὥς φησιν ὁ Ἀσκαλωνίτης, εἴτε ἐπὶ τοῦ συστραφῆναι, ὡς καὶ Τυραννίων, ᾧ καὶ μᾶλλον συγκατατίθεμαι. πολλὴ δὲ ἡ κίνησις αὐτοῦ παρὰ τῷ ποιητῇ· ὁριστικὸς μὲν γὰρ δεύτερος ἀόριστος „τῇ ὕπο πᾶς ἐάλη" (Il. 13, 408) καὶ πληθυντικὸν τρίτον κατὰ συγκοπὴν „οἱ δή τοι εἰς ἄστυ ἄλεν" (Il. 22, 12), ἀπαρέμφατόν τε „ἢ λαοὺς εἰς τεῖχος ὁμοκλήσειεν ἀλῆναι" (Il. 16, 714) .καὶ ὥσπερ ἡ φανείς μετοχὴ οὕτως καὶ ἡ ἀλείς· „οἴμησεν δὲ ἀλείς" (Il. 22, 308) καὶ οὐδέτερον „ᾗ χειμέριον ἀλὲν ὕδωρ" (Il. 23, 420), καὶ πληθυντικὸν ἀρσενικὸν „αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες" (Il. 21, 534), καὶ γενικὴ „πόλις δ' ἔμπλητο ἀλέντων" (Il. 21, 607). ταύτου τοίνυν ὑποτακτικὸν ἄληται ὡς λάβηται. συστολὴ οὖν ἐγένετο ἡ μεταβολὴ ἐγκλίσεως ὁμοίως τῷ „ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων" (Il. 9, 409)· „ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύτής" (Od. 14, 400) καὶ τὸ „ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ" (Il. 20, 173). τὸ δὲ ὅλον γέγονεν ἀπὸ τοῦ ἀλῶ, ὃ σημαντικόν ἐστι τοῦ πλανῶ, ὅπερ ψιλοῦται. Α. Cf. Σ, 76. — Initium Et. M. 59.

223. Κισσῆς: ὡς Ἑρμῆς· καὶ μήποτε παρὰ τὸ Κισσὸς παρώνυμόν τι ἐγένετο Κισσέας καὶ κατὰ συναλοιφὴν Κισσῆς. Α.

239. οἷ: ὀρθοτονητέον· εἰς γὰρ σύνθετον ἡ μετάληψις. Α.

λίς: ὁ μὲν Ἀρίσταρχος ὀξύνει· ὁ δὲ Αἰσχρίων περισπᾷ. ὡς γὰρ παρὰ τὸ μῦς μῦν φησὶ καὶ νοῦς νοῦν οὕτως καὶ λῖς λῖν· „ἐπί τε λῖν ἤγαγε δαίμων" (480). καὶ ἔστι συγκατατίθεσθαι τῷ Αἰσχρίωνι, ὅτι μᾶλλον ὀφείλει περισπᾶσθαι, εἰ καὶ

μηδὲν τῶν εἰς ις ληγόντων καὶ ἀρσενικὸν γένος ὑπισχνουμένων περιεσπάσθη. καὶ τάχα καθ' ἕτερον λόγον, ἵνα τὸ ἐπιθετικὸν καὶ σημαῖνον γένος θηλυκὸν καὶ ὀξυνόμενον ἀποφύγῃ. λέγω δὲ τὸ „λίς πέτρη" (Od. 12, 64). τῷ μέντοι χαρακτῆρι τοῦ κίς καὶ θίς καὶ ῥίς, καίτοιγε διαφόρως κλιθεῖσι πρὸς τὸ λίς, συνεξωμοίωσεν αὐτὸ κατὰ τόνον ὁ Ἀρίσταρχος· καὶ οὕτως ἐπείσθη ἡ παράδοσις. A.

249. κρατερὸν ῥά ἑ πένθος: ὁ ῥά σύνδεσμος ἐγκλιτικὸς ὢν φυλάξει τὴν ἰδίαν ὀξεῖαν διὰ τὴν ἕ ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖσαν. A.

251. τὸ εὐράξ ὀξύνεται, καθότι τὰ εἰς αξ λήγοντα ἐπιῤῥήματα ὀξύνεται, ὑπεσταλμένου τοῦ ἅπαξ· σημαίνει δὲ τὸ ἐκ πλαγίου. A.

257. ὄπατρον: ψιλωτέον, οὐχ ὥς οἴονται διὰ τὴν συγκοπήν· πολλὰ γάρ φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι. ἀπεδείξαμεν δὲ ἡμεῖς ἐν ἑτέροις, ὡς καὶ δασύνεται· ἑστήκαμεν γοῦν καὶ ἕσταμεν, Ἡράκλεες Ἥρακλες· τί οὖν ἐκώλυεν, εἰ καὶ ἀπὸ τοῦ ὁμόπατρος ἦν, τὸ κατὰ συγκοπὴν πάλιν δασύνεσθαι; ἄμεινον οὖν λέγειν ὅτι φιλεῖ τὸ ο πρὸ τοῦ π κείμενον μὴ κατὰ ἀναφορικὴν ἔννοιαν ψιλοῦσθαι, ὀπιπεύω, ὀπή, ὀπώρα. παρὰ τὸ ἕπω δασυνόμενον ψιλούμενον ἐγένετο ὀπάων. οὕτως οὖν ἔχει καὶ τὸ ὄπατρος. προσέθηκα δὲ εἰ μὴ ἀναφορικὴ σημασία, διὰ τὸ ὁποῖος, ὅπως καὶ τὰ τοιαῦτα. ἀντιπίπτει δὲ τῷ προκειμένῳ κανόνι τὸ ὁπλή καὶ τὸ ὅπλον καὶ τὰ ἀπὸ τούτων παρηγμένα. A.

263. τὸ ἔδυν συσταλτέον· ἐστὶ γὰρ πληθυντικὸν κατὰ συγκοπὴν γενόμενον ἐκ τοῦ ἔδυσαν. A.

270. προιεῖσι: ὡς τιθεῖσι· καὶ γὰρ ἐν ἑτέροις „ὄπα λειριόεσσαν ἱεῖσιν" (Il. 3, 152). ὁμοτονεῖν δὲ θέλει τὰ εἰς ι λήγοντα τοῦ ἐνεστῶτος ταῖς πληθυντικαῖς δοτικαῖς τῶν μετοχῶν, ὁπότε καὶ ὁμοφωνοῦσιν. ἱέντες ἱέντων ἱεῖσι· οὕτως οὖν καὶ τὸ ῥῆμα. μάχεται τὸ φασί· ῥῆμα γὰρ ὀξύνεται, μετοχὴ δὲ ὂν βαρύνεται. A. Cf. Γ, 152.

μογοστόκοι: Ἀρίσταρχος παρξύνει· δραστικὴ γάρ φησιν ἔννοιά ἐστιν. οὐ γὰρ αἱ Εἰλείθυιαι πάσχουσιν, ἵνα προπαροξύνωμεν, ἀλλ' ἐνεργοῦσι κατὰ τῶν τικτουσῶν. ἔφαμεν δὲ τὰ τοιαῦτα τῶν συνθέτων ἐνέργειαν ὑπισχνούμενα παροξύνεσθαι, εἰ μὴ κανών τις κωλύοι·

(Γ, 354). εἰσὶ γάρ τινες κανόνες καθ' οὓς κἂν ἐνέργεια σημαίνηται πάντως προπαροξύνεσθαι δεῖ. μάχεται μέντοι ἄντικρυς τὸ „ὄρνυσθ' ἱππόδαμοι Τρῶες“ (Il. 4, 509)· ἐνεργητικὸν γὰρ ὂν καὶ μὴ ὑποπῖπτον κανόνι τῷ προπαροξυτονοῦντι προπαρωξυτονήθη. A.

297. ὑπεραέϊ: ὡς εὐσεβέϊ, κατὰ διάστασιν. ἔφαμεν γὰρ τὰ παρὰ τὸ ἄω συντιθέμενα καὶ εἰς ης λήγοντα ὀξύνεσθαι, ἀκραής, δυςαής· οὕτως ὑπεραής. A.

301. Ἀσαῖον: προπερισπαστέον· παρὰ γὰρ τὸ αἶσα γέγονεν, καὶ ἐξέστη πρότερον τὸ ι· τὰ δὲ ἀπὸ τῶν εἰς α ληγόντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ αιος προπερισπᾶσθαι θέλει, μοῦσα Μουσαῖος, γενναῖος, Πισαῖος, ἐρσαῖος est enim propria forma ἔρσα non ἔρση. (v. Ξ, 351). οὕτως καὶ Ἀσαῖος. οὐ μάχεται τὸ Ἥραιος προπαροξυνόμενον· πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ προπερισπωμένου ἐπιθετικοῦ ἐγένετο. (cf. N. 791.) τὸ μέντοι Πείραιος προπαροξυνόμενον παρὰ ῥῆμα τὸ πειρῶ ὡς παρὰ τὸ φιλῶ Φίλαιος. οὕτως καὶ παρὰ τὸ βέβηκα ὁ βέβαιος. A. Cod. ἐρσαῖος. Et inserui ῥῆμα — παρά.

306. ἀπὸ τοῦ ἀργεστῆς ὀξυτόνου Βοιωτιακὴ γενικὴ ἡ ἀργεστᾶο προπερισπωμένως. A.

326. παλινορμένω: Τυραννίων δύο ποιεῖ, ὁ δὲ Ἑρμαπίας σύνθετον ἐκδέχεται καὶ Ἀρίσταρχος. εἴρηται δὲ περὶ τῆς συνθέσεως τοῦ πάλιν ὡς πρὸς τὰς μετοχὰς ἐν τῇ Α, ὅτε περὶ τοῦ πλαγχθέντας διελαμβάνομεν. Significat A, 59. Cf. Π, 95. Transiit in Et. M.

358. καταείσατο: ψιλωτέον· ἀπὸ γὰρ τοῦ εἴδω βαρυτόνου ὁ σχηματισμός. A.

365. ἦ θήν σ' ἐξανύω: τὸ ἀνύω φυλακτέον ἐπὶ τοῦ αὐτοῦ τόνου, λέγω δὲ τοῦ βαρέος· ἐνεστὼς γάρ ἐστιν ἀντὶ μέλλοντος. A.

370. Τυδείδῃ ἔπι τόξα τιταίνετο: οἱ ἀκριβῶς ἀναγινώσκοντες ἀναστρέφουσι τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστιν ἐπὶ Τυδείδῃ. A.

383. οἵ τέ σε πεφρίκασιν: οὐκ ἀναγκαῖον ἀντιδιαστέλλειν, ὡς οἴεται Ἀλεξίων· δύναται γὰρ καὶ ἀπόλυτος εἶναι. A.

385. χέρα ἀγλαέ· σὺν τῷ ι ἔγραψάν τινες τὸ χέρᾳ ἵνα ᾖ δοτική, ὁμοίως τῷ „δέπᾳ μελιηδέος οἴνου" (γ, 46, nunc δέπας) καὶ „γήρᾳ ὑπὸ λιπαρῷ" (Od. 11, 136). οὕτως δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοσις, ὡς καὶ Ἀλεξίων ἀξιοῖ. οἱ δὲ συνέστειλαν, πληθυντικόν ἐκδεχόμενοι οὐδέτερον, ὁμοίως τῷ „κρέα ἔδμεναι" (Il. 4, 345), ἐξεδέξαντό τε ἐκ τῆς λέξεως τὴν τρίχωσιν καὶ ἐμπλοκῆς εἶδος. οἱ δὲ ἐξέτειναν τὸ α πάλιν πληθυντικὸν ἐκδεχόμενοι, τιθέντες δὲ τὴν λέξιν ἐπὶ τοῦ τόξου, ὥςτε εἶναι κατὰ κέρας, συναλοιφὴν ἐκδεχόμενοι τοῦ κέραα. περὶ δὲ τῆς τοιαύτης ἀναγνώσεως δεδήλωται ἡμῖν, ὁπότε διελάβομεν περὶ τοῦ „κέρα ἐκ κεφαλῆς" (Il. 4, 109). τοσοῦτον δὲ ἔχω νῦν παραφυλάξαι ἐπὶ τοῦ νοητοῦ, ὡς ὅτι σπάνιόν ἐστιν ἐπὶ ἀνθρωπίνης φύσεως παρὰ τῷ ποιητῇ τὸ κέρας ἐπὶ τριχὸς τάσσεσθαι· κόμην δὲ λέγει καὶ τρίχας καὶ πλοκάμους καὶ ἐθείρας. A.

395. οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες: περὶ πλέες: Τυραννίων περίπλεες συνθέτως ἀνέγνω, τὴν ρι συλλαβὴν ὀξύνων· ὁ δὲ Ἀσκαλωνίτης κατὰ παράθεσιν, λέγων λείπειν τὴν αὐτόν, ἵνα ᾖ περὶ αὐτὸν πλέες. οὕτως δὲ καὶ Ἀλεξίων, λόγῳ τούτῳ ὅτι καὶ κατ' ἰδίαν ἄνευ προθέσεως εὑρέθη τὸ πλέες καὶ τὰ ἀπ' αὐτοῦ κινήματα· „τόσσον ἐγώ φημι πλέας ἔμμεναι" (Il. 2, 129)· οὐ γὰρ πολλούς, ἀλλὰ πλέονας. ὡμολογημένου τοίνυν ὅτι τοῦ „πλέονές κεν μνηστῆρες" (Od. 18, 247) συγκοπή ἐστιν ἡ πλέες φωνή, μὴ ὄντος δὲ ἄρα τοῦ συνθέτου, περιπλέονες, δοθήσεται μηδὲ τὸ ἀπ' αὐτοῦ συγκεκομμένον. ἔνθεν ἐπείσθησαν κατὰ παράθεσιν ἀναγινώσκειν, λειπούσης τῆς αὐτόν. A. Scripsi περιπλέονες pro πλέονες.

409. Ἀλεξίων τὸ τόνδε ἓν μέρος λόγου ἐκδέχεται, καὶ παροξύνει ἵνα ἰσοδυναμῇ ἀναφορικῇ τῇ τοῦτον. Τυραννίων δὲ δύο μέρη λόγου ποιεῖ, ἵνα ᾖ τοῦτον δέ, κατὰ ἀναφορὰν ὁμοίως. ἔφαμεν δὲ ὅτι παρὰ τῷ ποιητῇ ἡ διὰ τοῦ δε ἐπὶ ταύτης τῆς ἀντωνυμίας ἐπέκτασις σπανίως μὲν εὑρέθη ἐπ' ἀναφορᾶς ὁπότε διελαμβάνομεν περὶ τοῦ „τοῦςδε δ' ἔα φθινύθειν" (Il. 2, 346), ὥςτε οὐδὲν κεκώλυκε καὶ ἐνθάδε τὸ τοιοῦτο παραδέξασθαι διὰ τὸ ἤδη πεπεῖσθαι τὴν παράδοσιν· βεβαιοτέρα μέντοι ἐστὶν ἡ τοῦ Τυραννίωνος ἀνάγνωσις· οὐδὲν γὰρ ἐναντιοῦται. A.

413. ψιλωτέον τὸ ἕλσαν, ὅτι Αἰολικωτέρα ἡ κλίσις. Α. σφίσι: ὀρθοτονητέον· εἰς σύνθετον γὰρ ἡ μετάληψις καὶ κατέχεται ὑπὸ τῆς προθέσεως. Α.

432. τοιώδ' ἄνδρε κατακτείνας: ἔφαμεν τὴν διὰ τοῦ δε ἐπέκτασιν προπερισπᾶσθαι, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν· διὸ σημειούμεθα τὸ τώδε δ' ἐνόει (l. δὲ νῶϊ, Θ, 109, ubi vid.) παροξυνόμενον. Α.

441. ἆ δειλ': ἐπεὶ μετὰ τὰς προςαγορευτικὰς ἀνάγκη στίζειν, ὡς καὶ ἡ συνήθεια μαρτυρεῖ στίζουσα μετὰ τὴν δευτέραν λέξιν, οὐκ ἔστι δὲ πλήρης ἀλλὰ συνήλειπται, οὕτως δὲ ἡμῶν ἀναγινωσκόντων πεπονθυῖαν τὴν λέξιν βαρβαρισμὸς γίνεται, εἴτε ὀξύνοιμεν εἴτε περισπάσοιμεν (sic), ἀναγκαίως ἐκ πλήρους γράφειν τὴν λέξιν, ἆ δειλέ, δεῖ, ἵνα καὶ ἡ στιγμὴ καὶ ὁ τόνος ἀναλόγως καὶ Ἑλληνικῶς ἔχῃ. οὕτως δὲ καὶ Ἀρίσταρχος ἔγραψεν ἐκ πλήρους, ὡς Δίδυμος μαρτυρεῖ· τὸ μὲν γὰρ μέτρον οὐκ ἂν δόξαι βλάπτεσθαι τοῦ στοιχείου προστιθέντος, ἐπεὶ ὅταν δέῃ ὑγιὲς αὐτὸ παριστάναι, πάλιν ἀφαιρεθήσεται, ὡς „βουκόλε ἐπεὶ οὔτε κακῷ" (Od. 20, 227) „ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω" (Il. 15, 18). οὕτως δὲ καὶ ἐν τοῖς ἑξῆς „ἆ δειλέ, οὐ μὲν σοί γε" (452). Α. Cf. ad Α, 160. — Sic ipsi illi grammatici citantes non ferunt hunc barbarismum, ut scribant e. g. non ὕλην στεγαστῆρ, sed plene scribunt στεγαστῆρα. v. ad μον. λ. s. κρείσσων. — Cod. ἦ οὐ in versu Hom.

446. φύγαδε ὡς οἴκαδε. ἰσοδυναμεῖ δὲ τῷ εἰς φυγήν, οὐ μὴν ἐν τῷ „τοὺς ἕλεν, οἱ δ' ἄλλοι φύγαδε μνώοντο" (Il. 16, 697). ἀντὶ γὰρ αἰτιατικῆς οὐ μετὰ τῆς εἰς, διὸ καί τινες ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου εἰσίν. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. Α. Inserui ἐν post οὐ μὴν.

454. ὠμησταί: Ἀρίσταρχος ὡς ἀθληταί, Τυραννίων δὲ ὡς κομῆται, σύνθετον ἐκδεχόμενος τὴν λέξιν. ἄμεινον δὲ λέγειν ὡς ὅτι τὰ εἰς στης λήγοντα, τῷ η παραληγόμενα, ἔχοντα πρὸ τοῦ τ τὸ σ, ὑπὲρ δύο συλλαβὰς ὄντα ὀξύνεται, ἑρπηστής, ὀρχηστής. οὕτως οὖν καὶ ὠμηστής. Α. Scripsi ἐκδεχόμενος pro ἐκδεχόμενοι. Illud et per se verisimilius et certe Eustathius sic legisse videtur. Caeterum multo explicatior annotatio erat, ut Herod. ipse significat ad Χ, 67.

ἐρύουσιν: προπαροξύνεται· ἐνήλλακται γὰρ ὁ ἐνεστὼς χρόνος ἀντὶ μέλλοντος. οὕτως καὶ Ἀρίσταρχος. ὁ δὲ Ἀλεξίων περισπᾷ, οὐκ εὖ, ἐπεί, φησίν, ἐν τῷ ἑξῆς στίχῳ ὁ μέλλων παρελήφθη περισπώμενος· „αὐτὰρ ἐπεί κε θάνω, κτεριοῦσί με δῖοι Ἀχαιοί". ἔλαθε δὲ τὸν ἄνδρα ἡ τοιαύτη ὕφεσις του σ Ἀττικὴ οὖσα καὶ περισπῶσα τοὺς μέλλοντας διά τι αἴτιον, εἰ παραλήγοιτο τῷ ι συνεσταλμένῳ, ὅπερ καὶ ἐπὶ τοῦ „τόνδε δ' ἐγὼ κομιῶ" (Od. 15, 546). τὸ μέντοι ἐρύω οὐ δύναται ἔχεσθαι ταύτης τῆς φύσεως, ἀλλ' ἐστὶν ἐνεστὼς ἀντὶ μέλλοντος. A. cf. de praesente pro futuro Herod. ap. Choerob. 279. b.

461. αὖε: ψιλῶς· τέτακται γὰρ ἐπὶ τοῦ φωνεῖν. (Hoc αὔω ut secundum alios, sic secundum Herodianum est ἄω v. Epimerism. Cram. I, 88, 27). ὅταν δὲ ἐπὶ τοῦ ξηραίνειν ἢ ἅπτειν τότε δασυντέον· ἔστι γὰρ σύνθετον τὸ ἀφαύω. A. Addidi τὸ ἀφαύω. Aliter Lob. Technol. p. 11.

480. λῖν: περισπαστέον κατὰ νόμον τῶν μονοσυλλάβων αἰτιατικῶν· πᾶσα γὰρ αἰτιατικὴ μονοσύλλαβος εἰς ν λήγουσα περισπᾶται, ἀπέστραπται δὲ τὸν ὀξὺν τόνον, μῦν, μνᾶν, σῦν, ὗν. ταύτῃ καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περισπᾶται τῆς εὐθείας ὀξυνομένης. ταῦτα Ἡρωδιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ τῆς καθόλου. A.

495. ἀφυσγετόν: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ὑετόν, ὁ δὲ Τυραννίων βαρύνει ὁμοίως τῷ ἀτρύγετον. ἔστι δὲ ἐκεῖνο ὑπὲρ τοῦ Ἀριστάρχου λέγειν ὅτι τὰ ὑπὲρ τρεῖς συλλαβάς, διὰ τοῦ ετος ἐκφερόμενα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ, ἐπιθετικῶς μὲν λαμβανόμενα τρίτην ἀπὸ τέλους θέλει ἔχειν τὴν ὀξεῖαν, ὥςπερ ἔχει ὁ ἀμαιμάκετος, περιμήκετος· τὸ δὲ λαιλαπετός μὴ ὂν ἐπιθετικὸν ὠξύνθη καὶ τὸ Ἰαπετός ἐπὶ κυρίου. εἴπερ οὖν καὶ τὸ ἀφυσγετός οὐκ ἔστιν ἐπιθετικόν, ὑγιῶς ὀξυτονηθήσεται κατὰ τὸν Ἀρίσταρχον. ἢ εἴπερ αὐτὸ βαρύνομεν, δώσομεν αὐτὸ καὶ ἐπικεῖσθαί τινι. A.

503. νεῶν δ' ἀλάπαξε φάλαγγας: οἱ μὲν πλείους ἀνέγνωσαν νέων ὡς ξένων, ἵνα τῆς οἱ νέοι εὐθείας γενικὴ ὑπάρχοι. ὁ μέντοι Ἀρίσταρχος καὶ Ἀλεξίων καὶ ὁ Ἀσκαλωνίτης περιέσπασαν, ἵνα ἀπὸ τοῦ „τῶν νέες ὠκεῖαι" (Od. 7, 36) ᾖ, ἐπεί, φησί,

νοῦν οὐκ ἔχει τὸ βαρυνόμενον, τὸ μέντοι περισπώμενον, τοιαύτης ὑπαρχούσης τῆς διανοίας, τὰς πρὸ τῶν νεῶν τάξεις. A.

551. χρειῶν: περισπαστέον· ἡ γὰρ χρεῶν γενικὴ ἐπλεόνασε τῷ ι, ἥτις περισπᾶται διὰ τὸ ἔχειν ἐντελεστέραν τὴν χρεάων. A.

610. ὀξύνεται τὸ ἀνεκτός· προείρηται δέ (v. ad Θ, 355). A.

627. ἢ σφωϊν: ἐγκλιτικῶς ἀναγνωστέον, ἵνα δηλωθῇ τρίτον πρόςωπον. A.

635. δύω δ' ὑπὸ πυθμένες ἦσαν: Ἀρίσταρχος τὴν ὑπὸ συντάσσει τῷ ἦσαν, καί φησιν ὑπῆσαν οἱ πυθμένες. οὕτως καὶ Ἀλεξίων. A.

636. ἄλλος: ὁ Ἀσκαλωνίτης ψιλοῖ καί φησιν ὅτι ἐπὶ τοῦ γέροντος κεῖται· ἄλλος μὲν γὰρ ἄν τις αὐτὸ μόγις ἐκίνησε γέρων, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. πολὺ πρότερον δὲ οὕτως καὶ Ἀρίσταρχος. τινὲς δὲ βούλονται δασύνειν τὸ α καὶ ἐκτείνειν, ἵν' ᾖ ὁ ἄλλος μὲν μογέων, τουτέστιν ὁ Μαχάων· ἡμεῖς δὲ ἐκεῖνο παραφυλάξαι ἔχομεν, ὡς ὅτι παρὰ τῷ ποιητῇ οὐ δύναται ἡ τοιαύτη κρᾶσις εἶναι· εἰ γὰρ καὶ κρᾶσιν ἠβούλοντο παραλαμβάνειν, ἐχρῆν εἰς τὸ ω, ὁμοίως τῷ „οἴχετ' ἀνὴρ ὤριστος" (288). εἰσὶ δὲ οἳ διέστειλαν ἀλλ' ὅς, τὸ ὅς δασύνοντες, ἀλλ' ὃς μὲν μογέων, ἵνα τὸ αὐτὸ ὑπάρχῃ νοητόν· ἐπὶ γὰρ τοῦ Μαχάονος πάλιν βούλονται τὴν διαστολὴν λαμβάνειν· ἡμεῖς δὲ συγκατατιθέμεθα τῷ Ἀριστάρχῳ ψιλοῦντι, ἐπεὶ βούλεται ὁ ποιητὴς καὶ διὰ τούτου τὸ εὔρωστον τοῦ γέροντος παριστάνειν. A. (Cf. N, 510). Scripsi γέροντος pro Νέστορος v. schol. BL. et addidi deinde γέρων post ἐκίνησε.

641. τὸ χυχειῶ περισπαστέον· τοῦ γὰρ χυχεῶνά ἐστιν ἀποκοπὴ καὶ ἐπλεόνασε τὸ ι. A. Scripsi χυχεῶνα pro χυχειῶνα.

652. πάλιν ἄγγελος εἶμ Ἀχιλῆϊ: κατ' ἰδίαν τὸ πάλιν. οὕτως Ἀρίσταρχος καὶ Ἀλεξίων καὶ ὁ Ἀσκαλωνίτης· οὕτως δὲ ἔχει καὶ τὰ τῆς ἀναγνώσεως. πρὸς γὰρ τὸ ῥῆμα ἡ σύνταξις ἐγένετο, πάλιν εἶμ' ἄγγελος. A.

659. οὐτάμενοι: Ἀρίσταρχος ὡς ἱστάμενοι καὶ κιχράμενοι. Πάμφιλος δὲ ὡς δεδαρμένοι, ἐπεὶ καὶ τὸ βεβλημένοι συντελικόν. καὶ δοκεῖ τὸ τοιοῦτον ἀπὸ ἑνικοῦ ἀριθμοῦ πολὺ πρό-

τερον τεθεωρῆσθαι παρ' αὐτῷ. φησὶ γὰρ „οὔτ' ἄρ βεβλημένος ὀξέϊ χαλκῷ οὔτ' αὐτοσχεδίην οὐτασμένος" (Od. 11, 536)· συντελικῇ γὰρ μετοχῇ συντελικὴν ἐπήνεγκεν. οὕτως οὖν καὶ ἐπὶ τῶν πληθυντικῶν ἀναγινώσκειν ἔδει, εἰ μὴ ἄρα ἐκεῖνό τις ὑπὲρ τοῦ Ἀριστάρχου λέγοι, ὅτι οὐκ ἐνεστῶτα ἐκδεχόμενος οὕτως ἀνεγίνωσκεν, ἀλλὰ παρακείμενον πεπονθότα. ἔχει δὲ οὕτως. παρὰ τὸ οὐτῶ περισπώμενον ἐκπίπτει παραγωγὸν εἰς μι λῆγον τὸ οὔτημι, ἀφ' οὗ ἀπαρέμφατον τὸ οὐτάναι καὶ οὐτάμεναι. ἀπὸ δὴ τοῦ οὔτημι γίνεται παθητικὴ μετοχὴ οὐτάμενος καὶ οὐτάμενοι ὡς κιχράμενοι. ἀλλ' οὔ φαμεν ταύτην εἶναι ἐν τῇ συντάξει (in hac structura, in huius loci structura; fortasse ἐν τῇ νῦν συντάξει), ἀλλ' ἕτερόν τι αὐτῷ σύνηθες ῥῆμα εἶναι, τὸ οὐτάζω, ὅθεν καὶ οὔτασεν ὁ ἀόριστος· οὐ γὰρ δὴ συστολὴ τοῦ οὔτησεν, ὡς πρόδηλον κἀκ τοῦ ἀπαρεμφάτου „οὐτάσαι οὐδὲ βαλεῖν" (Il. 14, 424) καὶ ἐκ τοῦ „οὔτασται δ' Ὀδυσεύς" (661). τούτῳ δὴ τῷ οὔτασται παρέθηκε μετοχὴν τὴν οὐτασμένος „οὔτ' αὐτοσχεδίην οὐτασμένος" (Od. 11, 535), ἥτις κατ' ἔλλειψιν τοῦ σ γίνεται οὐτάμενος. προπαρωξύνθη δὲ ὑπὸ τοῦ Ἀριστάρχου διὰ τὸν χαρακτῆρα, ἐπεὶ αἱ τοιαῦται μετοχαὶ προπαρωξύνοντο, ἱστάμενος, κιχράμενος· ὁ γὰρ ἀνὴρ τῷ χαρακτῆρι μᾶλλον τοὺς τόνους προσνέμει. ἄλλως τε καὶ ἡ γινομένη τοῦ σ ὕφεσις καὶ ἀναδρομὴν ἐργάζεται τόνου. (Cf. Apollon. adv. 500. 545.) A. Scripsi φησὶ γὰρ „οὔτ' ἄρ βεβλημένος ὀξέϊ χαλκῷ οὔτ' αὐτοσχεδίην οὐτασμένος pro φησὶ γὰρ „οὔτ' αὐτοσχεδίην οὐτασμένος ὀξέϊ χαλκῷ. Deinde cod. Ὀδυσσεύς.

677. Ἀρίσταρχος ληΐδα ὡς Χαλκίδα, Μενεκράτης ὡς Ἤλιδα. ἔστι δὲ οὕτως ὁρίσασθαι περὶ τῆς προσῳδίας, ὡς πάντα τὰ εἰς ις λήγοντα καθαρόν, μόνως θηλυκά, ὀξύνεσθαι θέλει, οἷον Κιρφηΐς, Βρισηΐς, Θαΐς, Λαΐς. ὁ δὲ λόγος ἐπὶ Ἑλληνικῶν ὀνομάτων, μή τις τὸ Ξόϊς καὶ Σάϊς Αἰγύπτια ὄντα καὶ παρ' Ἡροδότῳ (sic Ξ, 387) λεχθέντα παράθηται. περὶ μέντοι τοῦ δαΐς ὀξυνομένου, τετολμημένου δὲ καὶ βαρύνεσθαι ἐπὶ ἑτέρου σημαινομένου, εἰρήσεται ἡμῖν ἀλλαχόθι (Ξ, 387). τὸ δὲ Κραταιις δοκεῖ ἐπὶ τοῦ κυρίου βεβαρυτονῆσθαι διὰ τὴν αἰτιατικὴν „βωστρεῖν δὲ Κράταιιν" (Od. 12, 124)· τάχα δὲ καὶ τοῦτο πρὸς ἀντιδιαστολήν. A. Scripsi Κιρφηΐς pro Κριφηΐς cum Lobeckio

Paral. I, p. 197. Et παρ' Ἡροδότῳ pro παρὰ Ζηνοδότῳ cum Bekk. ex Ξ, 387. Sed Ξόϊς quod dicit apud Herodotum esse, fallitur memoria.

719. ὀφείλει τὸ τί ὀξύνεσθαι διὰ τὴν μέ ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖσαν. A.

720. 21. ἀλλὰ καὶ ὥς ἱππεῦσι μετέπρεπον ἡμετέροισιν καὶ πεζὸς περ' ἐών· ἐπεὶ ὥς ἄγε νεῖκος Ἀθήνη: τὸ μὲν πρότερον ὡς περισπωμένως, τὸ δὲ ἕτερον κατ' ἔγκλισιν, ἐπειδήπερ τὸ μεταφραστικὸν αὐτοῦ ἐστιν, ἐπεὶ οὕτως ἦγε τὸ νεῖκος ἡ Ἀθηνᾶ. A.

754. ὁ Ἀσκαλωνίτης δι' ἀσπιδέος, ἐπεὶ ἐπιφέρει „ἀνά τ' ἔντεα καλὰ λέγοντες“, τοιοῦτό τι λέγων τοῦ πολλὰς ἔχοντος ἀσπίδας. ὁ δὲ Ἀλεξίων καὶ ἀμφότερα κρίνει, καὶ ἀσπιδέος καὶ σπιδέος. ὅ τε Ἀρίσταρχος ἐκεῖνο ἀποφαίνεται, ὡς ὅτι τινὲς μὲν ἀπὸ τοῦ α ποιοῦνται τὴν διαστολήν, ἵν' ᾖ ἀσπιδέος, ὡς εἰκαστικώτερον τοῦ ποιητοῦ ἀσπιδὲς τὸ πεδίον εἰρηκότος τῷ τὰ μακρὰ τῶν πεδίων καὶ εὐρέα περιφερῆ φαίνεσθαι, μηδενὸς ἄλλου ὁρωμένου τέρματος, ἀλλὰ τοῦ ὁρίζοντος ἀέρος. ἄλλοι δὲ ἐκδέχονται ἀσπιδέος τοῦ ἔχοντος πολλὰς ἀσπίδας, καθότι ἐπιφέρει „ἀνὰ τ' ἔντεα καλὰ λέγοντες.“ οἱ δέ φασιν ἐκ πλήρους σπιδέος καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ. καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ „σπίδιον μῆκος ὁδοῦ“ καὶ ὁ Ἀντίμαχος „οὐδὲ σπιδόθεν προνοῆσαι“ τουτέστι μακρόθεν. καὶ ταῦτα μὲν ὁ Ἀρίσταρχος. Κράτης δὲ προκρίνει τὴν διὰ τοῦ α γραφήν· [καὶ] Ζηνόδοτος δὲ συναινεῖ τῇ δίχα τοῦ α γραφῇ, καί φησι σπιδέος τοῦ ἀπόρου καὶ τραχέος [καὶ μεγάλου]. καὶ Ἀμερίας δὲ λέγει σπιδέος τοῦ πολλοῦ καὶ εὐρέος καὶ μεγάλου. κἀγὼ δὲ συγκατατίθεμαι τοῖς ἀνδράσιν· ὁρῶ γὰρ πολλὴν τὴν τοιαύτην χρῆσιν παρὰ τοῖς ἀρχαίοις. A.

799. ἴσχοντες: Ἀρίσταρχος ἀξιοῖ διὰ τῆς ει διφθόγγου γράφειν, ἐπεὶ ἐν ἑτέροις, φησί, τὸ κατὰ διαίρεσιν αὐτοῦ ὁρᾶται, ἐίσκω λεγόμενον· „ἐίσκω πηγεσιμάλλῳ“ (Il. 3, 197). οἱ δὲ περὶ τὸν Ἀλεξίωνα διὰ τοῦ ι μόνου συνεσταλμένου. κἀγὼ δὲ τούτοις συγκατατίθεμαι τὸ μὴ δύνασθαι τὰ τοιαῦτα τῶν ῥημάτων, λέγω δὲ τὰ διὰ τοῦ σκω, ἔχειν πρὸ τέλους δίφθογγον ἐκφωνουμένην, ὅτι μὴ τὴν διὰ τοῦ υ, πιφαύσκω. ὁ δὲ λόγος παραιτεῖται τὴν Αἰολίδα

διάλεκτον διὰ τὸ μιμναίσκω καὶ θναίσκω. ὥςτε ὅτε λέγει ἐίσκω κατὰ διαίρεσιν, ὑγιῶς πάνυ ἀποφαίνεται, εἴγε παρὰ τὸ εἴδω ἐξέπιπτε μέλλων ὁ εἴσω, ὃς ὤφειλεν ἐπενθέσει τοῦ κ ποιῆσαι τὸ εἴσκω, ὡς μεθύσω μεθύσκω, δράσω δράσκω. ἀλλ' ἐπεὶ ἀνέφικτον ἦν χωρῆσαι τὴν τοιαύτην δίφθογγον πρὸ τῆς σκω παραγωγῆς, διαιρέσει ἐχρήσατο· ὅπου δὲ οὐ παραδέχεται αὖ τὸ τῆς διαιρέσεως, ἐκεῖ ἐκβάλλει τὸ ε. A. Cf. Π, 41 et Choer. Cram. II. p. 268. Et „ὅθεν ἐπίμεμπτος Ἀρίσταρχος τὸ αἴ κέ σε τῷ εἴσκοντες διὰ τῆς ει διφθόγγου γράφων“ E. M. 272, 13.— Scripsi χωρῆσαι pro χωρίσαι et οὐ παραδέχεται αὖ τὸ τῆς διαιρέσεως pro οὐ παραδέχεται αὐτὸ ἡ διαίρεσις.

ΕΙΣ ΤΗΝ Μ.

20. Κάρησος: Τυραννίων ὀξύνει τὸ Κάρησος ὡς Παρνασσός· οὕτως γὰρ ὑπὸ Κυζικηνῶν ὀνομάζεσθαι τὸν ποταμόν. ὁ δὲ Ἀρίσταρχος βαρύνει ὡς Κάνωβος. εἴπομεν δὲ ἐν ἑτέροις ὅτι οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν, ὁπότε περὶ τοῦ Γλισᾶντα“ (Il. 2, 504) διελάβομεν, εἴγε Διονύσιος ἱστορεῖ τοὺς ἐγχωρίους συστέλλειν τὸ ι καὶ μὴ περισπᾶν. τό τε Λύκαστος ὁ αὐτὸς ἱστορεῖ ὀξύνεσθαι, ἡμῶν ἀναγινωσκόντων βαρυτόνως (Il. 2, 647). οὕτως οὖν εἰκὸς καὶ ἐπὶ τοῦ Κάρησος μὴ πεισθῆναι τὸν Ἀρίσταρχον ὁμοίως τοῖς ἐγχωρίοις προενέγκασθαι τὴν λέξιν. τάχα δὲ ἐπεὶ ἑώρα τὰ εἰς ος λήγοντα ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενα, τῷ η παραληγόμενα, ἕτερον ἔχοντα σ, τοῦτο δὲ ἓν ἀναδεξάμενον, διὰ τοῦτο καὶ ἐξήλλαξεν αὐτὸ τῆς ἐκείνων τάσεως, εἴγε τὸ Ἁλικαρνησσός δισσὸν ἔχει τὸ σ, Λυκαβησσός, Ταρτησσός, τὸ μέντοι Κάρησος ἓν ἔχει τὸ σ. ἴσως οὖν διὰ τοῦτο ἐξηλλάγη. A.

Ῥοδίος παροξυτονητέον ὡς χόριον. A.

26. ἀλίπλοα: τὴν λι, φασί, συλλαβὴν ὀξυτονητέον· κατὰ γὰρ αὐτῶν τῶν ἐρειπίων ἡ λέξις κεῖται, οὐχὶ τὰ ἐν τῇ ἁλὶ πλέοντα σημαίνεται. οὕτως Ἀλεξίων καὶ οἱ ἄλλοι. κἀγὼ δὲ συγκατατίθεμαι τῇ προςῳδίᾳ. ἐκεῖνο γὰρ ἔχω ἀποφήνασθαι, ὡς

ὅτι ὁπότερον ἐὰν (sic) σημαίνῃ προπαροξυνθήσεται· οὕτως γὰρ ἐμελέτησε τὰ παρὰ τὸ πλέω, εἴγε καὶ τὸ πρωτόπλοος προπαροξύνομεν· καὶ δῆλον ὅτι εἰς ἀποφυγὴν τῶν οὕτως παραγομένων, διπλόος τριπλόος. A.

33. ἶεν: οὕτως φέρουσι τὴν γραφήν, ιεν ὡς τίθεν· καὶ γίνεται ἀμφίβολον πότερον αὐτοὶ οἱ ποταμοὶ ἶεν, ἵνα τοῦ ἵεσαν συγκοπὴ ὑπάρχῃ, ὡς ἀπὸ τοῦ ἐτίθεσαν τὸ ἔτιθεν· καὶ δέον δασύνειν. εἰ δὲ ἑνικὸν εἴη τὸ ιεν ἀντὶ τοῦ ἐπορεύετο, ψιλωτέον, ὁμοίως τῷ „ἄσσον ἴεν πολυκάρπου ἀλωῆς“ (Od. 24, 221)· ὅπερ οὐ πιθανόν. ἡ μέντοι κοινὴ ἵει ἐστὶν ὁμοίως τῷ „ἐννῆμαρ δ' ἐς τεῖχος ἵει ῥόος“ (25). καὶ μήποτε εἴη (sic) πιθανώτερον· πάντα γὰρ ὁρᾶται τὰ παρακείμενα ἑνικῶς τεθειμένα „τεῖχος ἀμαλδύνας, ποταμοὺς δ' ἔστρεψε νέεσθαι“. A. Fuit ἄσσον.

55. 56. τὸ μὲν πρότερον ἕστασαν δασύνει ὁ Ἀρίσταρχος ἐπειδήπερ τὸ αὐτό ἐστι τῷ ἑστήκεισαν. ἔφαμεν δὲ καὶ ἡμεῖς (B, 777) δασύνεσθαι τὸ ε τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου ἐπὶ τούτου τοῦ ῥήματος. τὸ μέντοι δεύτερον ψιλοῖ· ἰσοδυναμεῖ γὰρ τῷ ἔστησαν· οὓς ἔστησαν γὰρ οἱ Ἀχαιοί. τὸ δὲ ε τοῦ ἀορίστου ἐπὶ τούτου τοῦ ῥήματος ἐψιλοῦτο. συγκατατίθεται δὲ καὶ ὁ Ἀσκαλωνίτης τῇ τοιαύτῃ ἀναγνώσει· καὶ ἡμεῖς. A.

66. προπερισπαστέον τὸ στεῖνος· οὐδετέρως γὰρ ἐξενήνεκται, πᾶν δὲ οὐδέτερον εἰς ος λῆγον ἐν ὀνόμασι βαρύνεσθαι θέλει. οὕτως οὖν καὶ μακρός ὀξύνομεν ἀρσενικὸν ὕπαρχον· εἰ δὲ οὐδέτερον γένοιτο, βαρύνεται. οὕτως καὶ τὸ κλειτός· οὐδέτερον γὰρ γενόμενον βαρύνεται παρ' Ἀλκμᾶνι „τῷ ἐν Θεσσαλίῳ κλείτει.“ A. Emendat Lob. Techn. 293 ἐν τῷ Θεσσαλικῷ, et κλισμὸν Θεσσαλικὸν significari vult. Transiit in Et. 727.

125. κεκλήγοντες: ὡς ἀρήγοντες. οὐ γὰρ τὸ κεκληγότες ἐπλεόνασε τῷ ν, οὐδὲ παρὰ τὸ „ὀξέα κεκληγώς“ (Il. 2, 222) ἐκλίθη, ἀλλὰ παρὰ τὸ κέκληγα γέγονεν ὁ Συρακούσιος ἐνεστὼς κεκλήγω, ὡς παρὰ τὸ ἄνωγα ἀνώγω, πέπληγα πεπλήγω, ἔνθεν τὸ „ἐπέπληγον πόδες ἵππων“ (Il. 5, 504). ἀκόλουθος δὲ τῷ κεκλήγω μετοχὴ ἡ κεκλήγων βαρυνομένη, ἔνθεν τὸ κεκλήγοντες. AV.

137. αὔας: (Herod. scripsit αὖας Ψ, 327). βαρυτονοῦσιν οἱ πλείους. Νικίας ὀξύνει διὰ τὸ μεταφραζόμενον, ἐπεὶ καὶ τὸ

ξηρὰς ὀξύνεται. εἴρηται δὲ περὶ τῶν τοιούτων, ὅτι οὐ δεῖ πρὸς μεταφραζόμενα τὰς λέξεις τονοῦν. ὁ δὲ Ἀσκαλωνίτης βαρύνει. χρὴ μέντοι γινώσκειν ὅτι μονήρης ἐστὶν ἡ λέξις· οὐδὲν γὰρ εἰς ος λῆγον καθαρὸν δισύλλαβον, τῇ αυ διφθόγγῳ κατὰ τὴν ἡμετέραν διάλεκτον παραληγόμενον, τριγενές ἐστιν, διὸ οὐδὲ ἀντιπαράθεσιν ἔσχεν. ἴσως δὲ βεβαρυτόνηται, ἐπεὶ καὶ τὸ ναῦος (Cod. ut videtur ναῦς; illud recte scriptum, Arc. 37, 7) ἐβαρύνετο καὶ τὸ Τραῦος κύριον καὶ τὸ ψαῦος παρ' Ἀλκμᾶνι. A.

148. δοχμώ: ὀξυτονητέον· ἔστι γὰρ δυϊκόν. τὸ δὲ δοχμός ὀξύνεται, ἐπεὶ τὰ εἰς μος μετ' ἐπιπλοκῆς τοῦ χ ὀξύνεσθαι θέλει, αὐχμός, ἰωχμός. ταύτῃ καὶ πλοχμός, εἴτε συγκέκοπται εἴτε καὶ ἐντελές ἐστιν, ὀξυτονηθήσεται. οὕτως οὖν καὶ τὸ δοχμός. A.

περὶ σφίσιν: ὀρθοτονητέον· εἰς γὰρ σύνθετον μεταλαμβάνεται. A.

149. πρυμνήν: ὡς πυκνήν. εἴπομεν δὲ περὶ τούτου (E. 292.). A.

157. ζαής: ὡς ὑγιής· οὕτως καὶ ὁ Ἀσκαλωνίτης. παραιτητέον δὲ τοὺς βουλομένους βαρύνειν, ἴσως πλανηθέντας ἐκ τῆς αἰτιατικῆς τῆς εἰς ν περατωθείσης (Od. 12, 313). ῥηθήσεται δὲ ἐν τῇ Μ τῆς Ὀδυσσείας περὶ τῆς προσῳδίας. A. cf. μον. λ. 17

158. ταρφειάς: Ἀρίσταρχος ὀξύνει ὡς πυκνάς· ὁ δὲ Θρᾷξ Διονύσιος ὁμοίως προεφέρετο τῷ ταχείας, παρὰ τὸ ταρφύς ἀρσενικόν, οὗ πολλαὶ ἦσαν χρήσεις παρὰ τοῖς παλαιοῖς καὶ παρ' Ὁμήρῳ. καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ, ἐπεκράτησε δὲ ἡ Ἀριστάρχου. A. Cod. Θρᾴξ. — Transiit in Et.

164. φιλοψευδής: ὀξυτονητέον ὁμοίως τῷ ἁπλῷ· τὰ γὰρ εἰς ης λήγοντα ὑπὲρ μίαν συλλαβήν, ὀξυνόμενα, συντιθέμενα πάντα θέλει φυλάσσειν τὸν αὐτὸν τόνον, ὑπεσταλμένου τοῦ ἀληθής, σαφής, ἀσαφής, ἀντεραστής, φιλαθλητής· οὕτως καὶ φιλοψευδής. τὸ δὲ κριτής ἔσθ' ὅτε καὶ μεταβολὴν ποιεῖται τόνου οἷον ἐν τῳ ξενοκρίτης. A. Addidi οἷον.

193. Ἰαμενόν: Ἀρίσταρχος ψιλοῖ· ὁ δὲ Ἀσκαλωνίτης φησίν, ἐὰν μὲν ἀπὸ τῆς ἰάσεως, ψιλωτέον, ἐὰν δὲ ἀπὸ τῆς ὁρμῆς, δασυντέον. ἄμεινον δὲ προκρίνειν τὴν Ἀριστάρχου· οὐδὲν γάρ ἐστι κωλῦον τὴν ἀνάγνωσιν αὐτοῦ. A. Transiit in Et.

202. ὑψιπέτης: Ἀρίσταρχος ἐβάρυνεν εὑρὼν τὸ „ὠκυ-

πέτα χρυσέῃσιν ἐθείρῃσιν“ (Il. 7, 42) οὕτως κεκλιμένον. ὥςεὶ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπῶλα. πρόδηλον δὲ κἀκ τῶν διαλέκτων· ὑψιπέτας γὰρ εὑρέθη κατὰ τροπὴν τοῦ η εἰς τὸ α, ὅπερ ζητεῖ καὶ ἡ κλίσις καὶ ἡ βαρεῖα τάσις· τινὲς μέντοι ἐτόλμησαν ὡς τὸ „τιμῆς ἔσεται“ (Il. 9, 605), οὕτως ὑψιπετήεις ὑψιπετῆς. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆς εὕρομεν αἰτιατικὴν „καὶ χρυσὸν τιμῆντα“ (Il. 18, 475), ἥτις ἐδίδασκε τὸ τῆς εὐθείας πάθος· ἐπὶ δὲ τοῦ προκειμένου οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείσθημεν τῷ Ἀριστάρχῳ. A. Addidi ὡς post ἐτόλμησαν.

214. γάρ αὐτον: οὕτως ἐγκλιτέον τὴν ἀντωνυμίαν κατ' αἰτιατικὴν πτῶσιν. μέμνηται καὶ Ἡρωδιανὸς καὶ Ἀπολλώνιος. A.

205. ἰδνωθείς: ψιλωτέον τὸ ι. οὕτως καὶ Ἀλεξίων καὶ οἱ ἄλλοι. προείρηται δὲ ἡμῖν ἐν τῇ A. (sine dubio 266). A.

213. δῆμον: βαρυτονητέον πρὸς ἀντιδιαστολὴν τοῦ δημὸν ὀξυνομένου ἐν τῇ Θ ῥαψῳδίᾳ (240). ὁ Ἡρωδιανός. A.

260. ἔχματα: ψιλωτέον· πᾶν φωνῆεν πρὸ τοῦ χ ψιλοῦται. περὶ δὲ τοῦ ἦχι δασυνομένου εἴπομεν. A.

276. τὸ δίεσθαι ἡ παράδοσις προπαροξύνει, καὶ ἔχομεν ἐκεῖνο λέγειν, ὅτι εἰ οἶδεν ὁ ποιητὴς τὸ „δίενται“ (Il. 23, 475) ὡς τίθενται καὶ „ἐνδίεσαν“ (Il. 18, 584) ὡς ἐτίθεσαν, δῆλον ὅτι εἴσεται καὶ τὸ δίεσθαι προπαροξυνόμενον· ὡς γὰρ ἀπὸ τοῦ τίθενται καὶ ἐτίθεσαν τὸ ἀπαρέμφατον τίθεσθαι, οὕτως καὶ ἀπὸ τοῦ „ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται“ καὶ „αὔτως ἐνδίεσαν“ γένοιτ' ἂν τὸ ἀπαρέμφατον δίεσθαι, ὥστε καὶ ἀπὸ τῶν εἰς μι ἐσχημάτισται· καὶ δέον ἐστὶ τὸ δίω βαρυνόμενον πολὺ πρότερον περισπᾶσθαι, ἵνα ἀποτελέσῃ τὸ δίημι, ἐξ οὗ τὸ ἐνδίεσαν καὶ δίεσθαι. A. Cf. e. g. Ψ, 475.

286. εἴλυται: προπερισπῶσιν, ἵνα ἐκ τοῦ ειλύαται συναλοιφὴ ὑπάρχῃ ἢ τοῦ εἰλύεται· δύναται γὰρ καὶ ἑνικῶς συντάσσεσθαι καὶ πληθυντικῶς. οὐκ ἀήθης δὲ ἡ τοιαύτη συναλοιφή, εἴγε καὶ τὸ ἐρύεσθαι ῥῦσθαι ἔφη· „πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε“ (Il. 15, 141), καὶ τὸ „ἄρχετε νῦν νέκυας φορέειν“ (Od. 22, 437) ἐν τοῖς ἑξῆς ἔφη „ἐκ δὲ νέκυς οἴκων φόρεον“ (Od. 24, 417). τινὲς δὲ προπαροξύνουσιν ὡς ἀπὸ τοῦ εἵλυμι. A. Addiderat Herodianus δ καὶ μᾶλλον. δύναται γὰρ ἐκ

τοῦ εἵλυτο ἐκτετάσθαι v. Π, 542. Caeterum Cod. in versu Hom. peccat οἶκον.

295. ἐξήλατον: Ἀρίσταρχός φησιν ὡς δεῖ δασύνοντας προφέρεσθαι. σημαίνει γὰρ κατὰ ἀριθμὸν ἐκ τοσούτων ἐλασμάτων συγκειμένην αὐτήν. ὁ δὲ Ζηνόδοτος, φησίν, ἔοικε ψιλῶς προφέρεσθαι, ἐκδεχόμενος τὴν ἐξηλασμένην, οὐκ εὖ. οὐκ ἀπιθάνως δὲ ὁ Ἀρίσταρχος, εἴγε καὶ ἑπταβοέιον σάκος που λέγει καὶ ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος „πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες“ (Il. 18, 481) καὶ „ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων“ (Il. 20, 270). A.

297. τὸ περικυκλον ἄμεινον δύο ποιεῖν περὶ καὶ κύκλον, ἵνα ᾖ περὶ τὸν τῆς ἀσπίδος κύκλον. οὕτως καὶ ὁ Ἀσκαλωνίτης. A.

337. γεγωνεῖν: ὁ Ἀσκαλωνίτης βαρύνει ὡς ἀνύειν, Ἀρίσταρχος δὲ περισπᾷ ὡς φιλεῖν, καὶ ἔοικε μᾶλλον περισπώμενον εἶναι παρὰ τῷ ποιητῇ· ὡς γὰρ ἐνόεον καὶ ἐφίλεον, οὕτως καὶ ἐγεγώνεον ἔφη· „ἠμὲν δσ' ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνεον“ (Od. 17, 161). ἀπαρέμφατόν τε προηνέγκατο τὸ γεγωνέμεν· „ἤ ρ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν“ (Il. 8, 223). προςέθηκα δὲ παρὰ τῷ ποιητῇ, ἐπεὶ οἱ μετ' αὐτὸν καὶ ὡς βαρύτονον αὐτὸ ἔκλιναν καὶ ὡς περισπώμενον. A. Cod. μεσάτῳ.

360. ζαχρηεῖς: περισπαστέον ὡς εὐγενεῖς. A.

379. Σαρπήδοντος: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ὡς Χαλκώδοντος. οὐ γὰρ δύναται ἔτι φυλάσσεσθαι ὁ τόνος τῆς Σαρπηδόνος γενικῆς διὰ τὸ μηδέποτε. τὰ εἰς ων ὀνόματα ὀξύτονα ἐπιδέχεσθαι τὴν διὰ τοῦ τ κλίσιν. ἔνθεν γὰρ καὶ τὸ ἑκὼν μετοχή. A.

391. ἀθρήσειε: ψιλωτέον. πᾶν γὰρ φωνῆεν πρὸ δασέος καὶ τοῦ ρ ψιλοῦται, ἴθρις, Ὄθρυς, ἄχρις, ἀφρός, ὄφρα, ὑπεσταλμένου τοῦ ἄθρους πρὸς διάφορον σημαινόμενον. πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς ὅτι ψιλοῦται „ἡ δ' οὔτ' ἀθρῆσαι δύνατο“ (Od. 19, 478). A.

430. πάντῃ δή: ὁ μὲν Ἀρίσταρχος τὸν δή σύνδεσμον παρέλαβεν· Τυραννίων δὲ ἐκδέχεται τὸ ῃ ἐπίρρημα τοπικόν, ἵνα δύο μέρη λόγου ὑπάρχῃ, δέ καὶ ᾗ, καὶ προςτίθησι τὸ ι καὶ δα-

σύνει ὁμοίως τῷ „ἦ ῥ' ὅ γ' ὁ λυσσώδης“ (Il. 13, 53)· οὐκ ἀναγκαῖον δέ· ἤδη γὰρ πρόκειται τὸ πάντῃ τοπικόν. Α.

462. λᾶος: προπερισπαστέον ὡς κλῆρος· ἀπὸ γὰρ εὐθείας πέπτωκε δισυλλάβου κατὰ τὴν τοῦ ποιητοῦ χρῆσιν. καὶ ὤφειλε τρισυλλαβεῖν ἡ γενική, συναλοιφὴν δὲ λαβοῦσα βαρύνεται. τὴν δὲ πρόθεσιν Τυραννίων ἀναστρέφει, ἵνα τὸ ἑξῆς ὑπάρχῃ ὑπο λίθου ῥιπῆς. οὐκ ἀναγκαῖον δέ· τί γὰρ κωλύει φυλάσσεσθαι τὸν τόνον τῆς προθέσεως καὶ εἶναι ὑπὸ ῥιπῆς λίθου. Α.

471. τὸ μὲν ὅμαδος δασυντέον· ἔχει γὰρ τὸ ὁμοῦ ἐγκείμενον· τὸ δὲ ἀλίαστος ψιλωτέον· ἔστι γὰρ στέρησις ἀπὸ τοῦ λιαστός, ὅπερ πέπτωκεν ἀπὸ τοῦ λιάζω· „ἡγεῖτ', ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα“ (Il. 24, 96). Α.

ΕΙΣ ΤΗΝ Ν.

15. ἔνθ' ἄρ' ὅγ': τρεῖς παράλληλοι ὀξεῖαι, μία μὲν ἡ ἄρχουσα, δευτέρα ἡ τοῦ ἄρα, τρίτη δὲ ἡ τοῦ ὅγε. Α.

29. γηθοσύνη: Ἡρόδικος τὴν θος συλλαβὴν ὀξύνει, ἵνα ᾖ τὸ πλῆρες γηθόσυνα, εἶτα ἡ δὲ θάλασσα· ὁ δὲ Ἀρίσταρχος γηθοσύνη δὲ θάλασσα, ἀντὶ τοῦ γηθόσυνος, χαίρουσα. εἰσὶ μέντοι οἳ ἀναγινώσκουσι γηθοσύνῃ καὶ δοτικὴν πτῶσιν ἐκδέχονται, ὥσπερ καὶ Ἀριστοφάνης, οἷς ἐγὼ συγκατατίθεμαι, ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον, τῇ χαρᾷ ἡ θάλασσα διΐστατο, ἵνα καὶ ἔθει Ὁμηρικῷ δοτικὴ ἀντὶ γενικῆς παρειλημμένη ὑπάρχοι, ὑπὸ χαρᾶς ἡ θάλασσα διΐστατο ὁμοίως τῷ „ὃς δὴ γήραϊ κυφὸς ἔην“ (Cod. ἔη) (Od. 2, 16). τί δέ ἐστι τὸ κινοῦν με ἐκθήσομαι. ὁρῶ τὰ διὰ τοῦ συνη θηλυκὰ μὴ κατὰ θηλειῶν ἐπιθετικῶς τιθέμενα, πραγμάτων δὲ ὄντα κατηγορικά. πρόδηλος δὲ ἡ παρ' αὐτῷ τῷ ποιητῇ χρῆσις· ἔστι γάρ τι κερδοσύνη πρᾶγμα, οὐχὶ κερδοσύνη γυνή· „ὡς φαμένη καὶ κερδοσύνῃ ἡγεῖτο“ (Il. 22, 247)· „ἀρχὴν ξεινοσύνης“ (Od. 21, 35)· „πλαγκτοσύνης δ' οὐκ ἔστι κακόν“ (Od. 15, 343)· „τὴν δ' ἤνησ' ἥ οἱ πόρε μαχλοσύνην“ (Il. 24, 30)· „δρηστοσύνῃ δ' οὐκ ἄν μοι“ (Od. 15, 321). „ταρβοσύνῃ, φάν γάρ μιν“ (Od. 18, 342). εἴπερ οὖν ταῦτα

πάντα εὑρέθη οὐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος, πῶς ἂν γένοιτο γηθοσύνη θάλασσα; οὐ γὰρ ἀγαθοφροσύνη γυνή. ἄμεινον οὖν ἐπὶ πράγματος παραλαμβάνειν καὶ δοτικὴν πτῶσιν ἐκδέχεσθαι. εἰκός τινα φήσειν ὑπὲρ Ἀριστάρχου καὶ τῶν ἄλλων ὡς ὅτι αὐτὸς ἤδη ὁ ποιητὴς ἀρσενικῶς τοῦτο ἀπεφήνατο „γηθόσυνος δ' οὔρῳ" (Od. 5, 269)· οὕτως ἀκόλουθον θηλυκὸν γένοιτ' ἂν τὸ γηθοσύνη. ὃν διδάξομεν ὡς ὅτι τὰ διὰ τοῦ συνος εἰ παράγοιτο ἐπιθετικῶς ἀρσενικὰ ὑπάρχοντα μηκέτι ποιεῖ κατὰ τὸ πλεῖον θηλυκοῦ γένους παρασχηματισμόν. τὸ οὖν δικαιόσυνος Ζεὺς οὐκ ἔχει τὸ δικαιοσύνη θηλυκὸν ἔτι ἐπιθετικῶς κατά τινος θεοῦ τασσόμενον. A.

52. τῇ δὲ δὴ αἰνότατον περιδείδια (περὶ δείδια) μήτι πάθωμεν: ἔφαμεν ὅτι ἡ περὶ οὐκ ἀναστρέφεται, ὅτε σημαντικὴ ὑπάρχει τοῦ περισσῶς. A.

63. περιμήκεος: ὡς Διομήδεος. τὰ γὰρ εἰς ης σύνθετα, παρ' οὐδέτερα γενόμενα τὰ εἰς ος, τῷ η παραληγόμενα βαρύνεσθαι θέλει, ὥςπερ ἔχει παρὰ τὸ κῆτος τὸ μεγακήτης, ἦθος κακοήθης. διὸ τὰ λαθικηδής, οἰνοπληθής ὀξυνόμενα παρὰ ῥήματά φαμεν συντεθεῖσθαι τὸ κήδω καὶ τὸ πλήθω. A.

71. ἴχνια: τὸ ἴχνιον προπαροξυτονητέον, ὁμοιοτόνως τῷ ἀράχνιον· οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ' ἀπὸ ῥήματος ἐσχημάτισται. ὅτι δὲ ὁ ποιητὴς οὐδὲ ὑποκοριστικοῖς χρῆται, ἐδηλώσαμεν ἐν τῇ A. A. Venit in Et. 480, 49.

96. ἁμάς: ἡμετέρας. τὸ ἁμάς ἐκτείνεται κατὰ τὸ τέλος, καίτοι Δώριον ἔχον τὴν πρὸ τέλους συλλαβήν, ἐπεὶ ἑνικῷ παράκειται τῷ διὰ τοῦ η λεγομένῳ, ἁμήν, ὅπερ ὁλόκληρον ἂν ἦν Δωρικόν, εἴπερ εἰς αν κατέληγεν. A. Cf. Apollon. pron. 142.

102. φυζακινῆς: ὁμοίως ἀναγνωστέον τῷ ἐαρινῆς. πῶς δ' ἐσχημάτισται, δεδήλωται ἐν τῷ περὶ παρωνύμων. A.

103. θώων: Ἀρίσταρχος βαρύνει τὸ θώων, καὶ ἐπείσθη ἡ παράδοσις· ὁ δὲ Πάμφιλος περισπᾷ, ἐπεὶ τὰ εἰς ες λήγοντα δισύλλαβα ὀνόματα ἐπ' εὐθείας πληθυντικῆς ἔχει γενικὴν περισπωμένην. διὸ καὶ τὸ Τρώων καὶ δμώων καὶ παίδων ἀνεγίνωσκε περισπῶν, ἔτι δὲ καὶ τὸ πάντων καὶ λάων καὶ τίνων, περὶ ὧν λόγον ἔδωκαν καὶ οἱ πρὸ ἡμῶν καὶ ἡμεῖς. A.

132. προπαροξυτονητέον τὸ ἱππόκομοι· ἡ γὰρ κόμη

ἔγκειται, οὐ τὸ κομῶ· οὕτως οὖν ἀναγνωστέον, ὡς κυπαρισσόκομος, καλλίκομος. τὰ δὲ ἀπὸ τῶν εἰς η ληγόντων θηλυκῶν συντιθέμενα καὶ μεταβάλλοντα τὸ τέλος εἰς τὴν ος κατάληξιν προπαροξύνεται, ἄφωνος, ἄναυδος· οὕτως ἱππόκομος. τότε μέντοι παροξυτονητέον τὸ ἱππόκομος, ὅτε τὸ κομεῖν ἔγκειται· „Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην“ (Il. 8, 113). A. Addidi ὡς.

140. ὕψι: ὡς οἴκοθι καὶ ἄγχι, ὥς φησι Πτολεμαῖος. τινὲς δὲ τοῦτο ὀξύνουσιν, ὑψί. A.

191. ἀλλ' οὔ πῃ χροὸς εἴσατο: Ἀλεξίων φησὶν ὡς Ἀρίσταρχος ὡς σοφός προηνέγκατο, Τυραννίων δὲ ὡς πόλος, καὶ ἔχει λόγον ἑκατέρα ἡ ἀνάγνωσις. ἐὰν μὲν χρόος ὡς πόλος κατ' εὐθεῖαν πτῶσιν ἀναγνῶμεν, ἔσται τὸ λεγόμενον, ἀλλ' οὐδαμῶς ὁ χρὼς ἐφάνη. ἐὰν δὲ χροός ὡς σοφός κατὰ γενικὴν πτῶσιν, ἔσται, ἀλλ' οὐδαμῶς τοῦ χρωτὸς διῆλθε· τὸ γὰρ εἴσομαι καὶ τὸ φανῆναι σημαίνει καὶ τὸ διελθεῖν. ἐπικρίνομεν δὲ ἡμεῖς περὶ τῆς ἀναγνώσεως ἐκεῖνο, ὡς ὅτι πιθανόν ἐστι μᾶλλον τὴν γενικὴν ἐκδέχεσθαι ἤπερ τὴν εὐθεῖαν· ἦν γὰρ αὐτῷ ἔθος εὐθεῖαν μὲν ἐπίστασθαι εἰς ως περατουμένην „ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος“ (Il. 4, 510)· καὶ ἀκόλουθος αἰτιατικὴ „χρῶτ' ἀπονιψαμένη“ (Od. 18, 172)· τὰς δὲ ἄλλας πλαγίους οἶδεν ἀπὸ τῆς ους εὐθείας· „χροῒ δ' ἔντε' ἐδύσετο παμφανόωντα“ (Il. 9, 596)· καὶ τὴν αἰτιατικὴν „μή τις χρόα καλόν“ (τ, 263 ?). ὥστε εἰ οὐ κεκώλυται τῆς γενικῆς ἡ σύνταξις, τί ἐστι τὸ κατεπεῖγον μὴ τῇ συνήθει κλίσει τὴν ἀνάγνωσιν ποιεῖσθαι; A. Scripsi ἦν γὰρ pro οὐ γάρ (fort. ἀεὶ γάρ). Et εἰς ως ante περατουμένην pro εἰς ος.

246. θεράπων ἐύς: ὁ Ἀσκαλωνίτης φησὶν ὅτι ὁ Ἀρίσταρχος δύο ποιεῖ θεράπων καὶ ἐύς· τινὲς δὲ ὑφ' ἓν ἀνέγνωσαν ὡς Ἐτεωνεύς. ὅτι δὲ δεῖ κατὰ διάλυσιν ἀναγινώσκειν καὶ οὐ παρωνύμῳ τύπῳ, διδαχθησόμεθα ἐξ αὐτῆς τῆς φωνῆς. ἐγίνετο γὰρ ἂν θεραποντεύς· ἀπὸ γὰρ γενικῶν φιλεῖ ὁ τοιοῦτος τύπος παράγεσθαι, εἴγε καὶ παρὰ τὴν λέοντος ὁ λεοντεύς, οὐχὶ λεωνεύς, παρά τε τὴν Αἰθίοπος Αἰθιοπεύς. A.

308. ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους, ἢ ἐπ' ἀριστερόφιν: τίνες τὸν ἢ δεύτερον καὶ τρίτον

περιέσπασαν· διαπορητικὸς γάρ ἐστιν. A. Inserui δεύτερον καὶ quaest. ep. p. 57.

377. τὸ ταῦτα περισπαστέον κατὰ τὴν πρὸ τέλους συλλαβήν, ἵνα ᾖ ἡ φράσις δεικτική. τινὲς μὲν ὤξυναν, ἵνα τοῦ τὰ αὐτὰ ὑπάρχῃ συναλοιφή· ὅπερ οὐ πιθανόν. AV.

381. συνώμεθα: τοῦτο Ἀρίσταρχος δασύνει, ὑγιῶς· ταὐτὸν γὰρ τῷ συνθώμεθα. ἐσχημάτισται οὖν ἀπὸ τοῦ ἵημι. δηλοῖ οὖν τὸ κατὰ τὸ αὐτὸ ἀφῶμεν τὰ τῆς διανοίας (v. X. 261). εἰσὶ μέντοι οἵ ἐψίλωσαν, οὐκ εὖ. A.

382. ἐεδνωταί: ὡς χρυσωταί καὶ ποιηταί. οὕτως πάντες. Τυραννίων δὲ προπερισπᾷ, οὐχ ὑγιῶς· προείρηται δὲ ἡμῖν (E, 158) τὰ τῆς προσῳδίας ὡς τὰ εἰς της ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραληγόμενα ὀξύνεσθαι θέλει, αὐλητής, πειρατής, χηρωστής, βραβευτής. οὕτως οὖν καὶ τὸ ἐεδνωτής, σχηματισθὲν παρὰ τὸ „ἐεδνώσαιτο θύγατρα“ (Od. 2, 53). περὶ δὲ τῶν ἀήτης καὶ κυβερνήτης βαρυνομένων λόγον δίδομεν (v. l. l.). A.

388. διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν: τινὲς περισσεύειν φασὶ τὴν πρό, ἵν' ᾖ διήλασεν, ὁ δὲ Ἡρωδιανός φησιν ὅτι εἰς τὸ πρόσθεν διήλασεν. BL. An recte refert? v. Π, 669.

390. οὔρεσι τέκτονες: Νικίας ὑφ' ἕν, κακῶς· ἔδει γὰρ καὶ τὸ οὔρεσι βουκόλοι (571) συνάπτειν. ἄλλως τε ἔσονται οἱ ὄρη κατασκευάζοντες. δύο οὖν μέρη λόγου ἐστὶ καὶ λείπει τὸ οὖσαν. BL. cf. Π, 483.

391. νεήκεσι: ὡς εὐμήκεσιν ἀνεγνώσθη. οὕτως δὲ καὶ Ἀλεξίων. ὁ δὲ Ἀσκαλωνίτης ὡς εὐγενέσιν, ὅπερ καὶ ἐχρῆν· παρὰ γὰρ τὴν ἀκὴν ἡ σύνθεσις. τὰ δὲ παρὰ τὰ εἰς η λήγοντα θηλυκὰ συντιθέμενα καὶ εἰς ης περατούμενα ἐπιθετικὰ τότε ὀξύνεσθαι θέλει, ὅταν ἔχῃ οὐδετέρου παρασχηματισμὸν καὶ τὴν γενικὴν εἰς ους περατουμένην. εὐτυχοῦς, εὐτυχές, εὐτυχεῖς, εὐρυπυλοῦς, εὐρυπυλές, εὐρυπυλεῖς. οὕτως οὖν ἐχρῆν καὶ τὸ προκείμενον. ὅμως μέντοι ἡ παράδοσις τὸ νεήκης καὶ ταναήκης (v. Π, 768. Arcad. 117) βαρύνει κατὰ συνεκδρομὴν τοῦ εὐμήκης, μεγακήτης quaest. ep. 152. AB.

424. Ἰδομενεύς: τινὲς περισπῶσιν Ἰδομενεῦς ἀντὶ τοῦ Ἰδομένους, οἱ δὲ ὡς „μέθυ χίλια μέτρα“ (Il. 7, 471). οἱ δὲ μέγα ἵετο μεγάλως ἐπεθύμει. ἄμεινον δὲ τὸ εὐθεῖαν εἶναι ὡς τὸ „οὐδέ

Σκάμανδρος ἔληγε τεὸν μένος' (Il. 21, 305). V. Cod. ab initio: τινὲς περισπῶσιν, οἱ δὲ μένευς ἀντι τοῦ μένους, ὡς χίλια μέτρα.

441. τὸ αὖον δασυντέον· σημαίνει δὲ τὸ ξηρόν. A.

450. Κρήτῃ ἐπιουρον: τοῦτο τριχῶς ἀνεγνώσθη. Ζηνόδοτος γὰρ ὡς ἐπίκουρον, ἐκδεχόμενος βασιλέα καὶ φύλακα. καὶ Ἀρίσταρχος δὲ οὕτως, ἐκδεχόμενος τὸν φύλακα, μέμνηται δὲ καὶ ὁ Δίδυμος τῆς ἀποδόσεως καὶ Τρύφων. ἐκεῖνο δὲ προστίθησιν ὁ Τρύφων, ὅτι ὁ ἐπίουρος ὡς ἐπίσκοπος οὐ πάντως ἔχει ἐγκείμενον τὸν οὖρον τὸν φύλακα κατὰ ταύτην τὴν ἀπόδοσιν· τί γὰρ κεκώλυκε παρὰ τὸ ὁρῶ εἶναι ἐπίορον καὶ ἐπίουρον τὸν ἐπιορῶντα, ἐψιλῶσθαι δὲ διὰ τὴν ἐπένθεσιν τοῦ υ; καὶ ἡμεῖς δὲ συγκατατιθέμεθα τούτοις. εἰσὶ δὲ οἳ ἀνέστρεψαν τὴν πρόθεσιν, Κρήτῃ ἔπι. ὁ δὲ Ἀσκαλωνίτης παρέλκειν ἡγεῖται τὴν ἐπί· διὸ καὶ τὸν τόνον φυλάσσει τῆς προθέσεως, ὁμοίως τῷ „βοῶν ἐπιβουκόλος ἀνήρ" (Od. 3, 422) A.

520. ἔτ' ἄλλα: οἱ μὲν τὸ πλῆρες ἐκδέχονται τὰ ἄλλα, ἐν συναλοιφῇ δὲ γενέσθαι τἄλλα, ὡς τὰ ἆθλα τἆθλα. προείρηται δὲ περὶ τῆς τοιαύτης παρ' αὐτῷ συναλοιφῆς τε καὶ συντάξεως τῶν ἄρθρων (Λ, 636). ἄμεινον οὖν ἐκδέχεσθαι ἔτι καὶ ἄλλα. A.

542. τὴν οἵ ὀρθοτονητέον· μεταλαμβάνεται γὰρ εἰς σύνθετον. A.

543. ἑάφθη: Ἀρίσταρχος δασύνει, ἀπὸ τοῦ ἕπεσθαι· φησὶ γὰρ ὅτι ἐπηκολούθησεν αὐτῷ· καὶ δῆλον ὅτι παρὰ τὸ ἕπω ἥφθη ἢ εἵφθη ὤφειλεν εἶναι ὁ ἀόριστος, καὶ κατὰ διαίρεσιν ἐγίνετο ἑάφθη, ὡς τὸ ἧγη ἑάγη, ἧλη ἑάλη, ἧλω ἑάλω, τῆς δασείας ἐπὶ τὴν ἀρχὴν χωρούσης, ὡς ἔθος. ταῦτα ὁ Τρύφων ἀπεφαίνετο ὑπὲρ τοῦ Ἀριστάρχου, πιθανῶς πάνυ. ἡμεῖς δ' ἔχομεν περὶ τὸν σχηματισμόν τι ἐξαίρετον συμβεβηκὸς ἐπιστῆσαι. πρὸς τὸ πρῶτον· ἡ ει δίφθογγος ἐν τοῖς παρῳχημένοις ἄρχουσα εἰ διαιροῖτο, εἰς δύο εε διαρεῖται, εἶρτο ἔερτο „ἄταρ ἠλέκτροισιν ἔερτο" (Od. 15, 460) εἶργνυ ἐέργνυ „κατὰ συφεοῖσιν ἐέργνυ" (Od. 10, 238). οὐχ ἄρα ἐκ τοῦ εἵφθη ἐγένετο ἡ διαίρεσις. δῶμεν δὲ ἀπὸ τοῦ η ἄρχεσθαι τὸ ἥφθη, ἐπεὶ ἀδιαφόρως τὰ ἀπὸ τοῦ ε ἀρχόμενα ῥήματα εἴωθε κλίνεσθαι καὶ διὰ τῆς ει διφθόγγου κατ' ἀρχὴν καὶ διὰ τοῦ η· ἀπὸ γοῦν τοῦ ἑλκῶ περι-

σπωμένου εἷλκεον (ρ, 395: ubi hoc, non ἕλκεον Herodianum habuisse videmus) φήσας τὸν παρατατικὸν διὰ τοῦ η τὸν ἀόριστον ἐξήνεγκεν ἐν τῷ „Λητὼ γὰρ ἥλκησε Διός" (Od. 11, 580). ἀλλ' οὐ θέλει πάλιν τὸ η τὸ κατ' ἀρχὴν τῶν παρῳχημένων εἰς ε καὶ α διαλύεσθαι, ὁπότε ὁ ἐνεστὼς ἄρχει ἀπὸ τοῦ ε, ἀπὸ μέντοι τοῦ α καὶ η, ὡς δῆλον ἐκ τῶν τοιούτων· ἥλη ἑάλη (ἁλῶ γὰρ τὸ θέμα· πρόδηλον κἀκ τῆς ἁλείς μετοχῆς), ἥγη ἑάγη, ἧδον ἕαδον. πῶς οὖν παρὰ τὸ ἕπω καὶ ἥφθη τὸ ἑάφθη δύναται διαιρεῖσθαι; διὸ ὁ Τυραννίων ἐκδέχεται ἀπὸ τοῦ ἅπτω, οὗ γίνεται ἀόριστος, φησίν, ἥφθη καὶ ποιητικῶς ἅφθη, προςόδῳ δὲ τοῦ ε ἑάφθη. ὅτι δὲ τὸ προςερχόμενον ε ταῖς δασυνομέναις λέξεσι μεταληπτικὸν γίνεται τῆς ἐκείνων δασύτητος, πρόδηλον κἀκ τοῦ ἕερσα, ἕεδνα, ἑήνδανε, ἑώρων. οὕτως οὖν καὶ τὸ ἑάφθη ἔχει· σημαίνει δὲ τὸ οἱονεὶ συνήφθη αὐτῷ. ταῦτα μὲν ὁ Τυραννίων. εἰ δὲ ἠβούλετο καὶ διαίρεσιν παραλαμβάνειν ὁ ἀνήρ, οὐδὲν ἦν τὸ κωλῦον. A. Addidi ἧδον ἕαδον (v. Ξ, 340): quamquam jam in Epim. Hom. 168 exciderat. Praeterea editum erat ἥλη, ἑάλη, ἁλῶ, ἁλείς, ἑάγη haec omnia cum aspero, falso. v. Λ, 192.

693. Φθίων ὡς Χίων βαρυτόνως· καὶ γὰρ Φθῖοι ὡς Χῖοι, „Λοκροὶ καὶ Φθῖοι" (686). A.

707. τέλσος ὡς χέρσος· γέγονε δὲ κατὰ μεταβολήν, παρὰ τὸ τέλος πλεονάσαντος τοῦ σ. A. Dubium an Herodiani propter Σ, 547.

727. οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα: τὸ περὶ ἀντὶ τοῦ περισσῶς· τὸ δὲ δῶκε προπερισπαστέον. A.

734. περισπαστέον τὸ πολεῖς ὡς ταχεῖς, ὁμοίως τῷ „πολεῖς ὀλέσαντ' αἰζηούς" (Il. 15, 66). τοῦτο δέ φημι, ἐπεί τινες βούλονται ἕνεκα ἐμφάσεως μείζονος βαρυτόνως ἀναγινώσκειν, οἷς μάχεται καὶ ἡ ὀρθογραφία ἡ κατ' Ἴωνας. A.

759. Ὑρτάκου ὡς θυλάκου· τὰ γὰρ εἰς χος λήγοντα τρισύλλαβα, τὴν πρώτην συλλαβὴν εἰς ἀμετάβολον καταλήγουσαν ἔχοντα, προπαροξύνεται, Λάμψακος, Ῥύνδακος· „Ῥύνδακον ἀμφὶ βαθύσχοινον." οὕτως οὖν καὶ Ὕρτακος. A.

791. Ὀρθαῖος: ὡς Ἀλκαῖος. ἐπεί, φησί, τὰ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα τὴν πρώτην συλλαβὴν εἰς σύμφωνον

Σκάμανδρος ἔληγε τεὸν μένος' (Il. 21, 30
τινὲς περισπῶσιν, οἱ δὲ μένευς ἀντὶ τοῦ
441. τὸ αὖον δασυντέον· σημα
450. Κρήτῃ ἐπιουρον:
νόδοτος γὰρ ὡς ἐπίκουρον, ἐκδεχ
Ἀρίσταρχος δὲ οὕτως, ἐκδεχ
καὶ ὁ Δίδυμος τῆς ἀποδόσεω
ὁ Τρύφων, ὅτι ὁ ἐπίουρος
μενον τὸν οὖρον τὸν φύλ
κεκώλυκε παρὰ τὸ ὁ
ρῶντα, ἐψιλῶσθαι
συγκατατιθέμεθα ... ως τῆς
Κρήτῃ ἔπι. ὁ ... τῆς ἀντωνυμίας
καὶ τὸν τόνον
βουκόλος ἂν ... ων περισπᾷ, οὐχ ὑγιῶς· ὁ γὰρ
520 ... ιτεῖ, εἴτε ἀπὸ τοῦ βιβῶ βιβάθω γε-
ἐν συν ... , περιπλεονάσαντος τοῦ σ, ὥς φησι Φι-
εἰρητ ... πὸ ὀνόματος τοῦ βιβαστός βιβάσθων ὡς ἀϊστός
συν ... εται γάρ τινα ἀπὸ τῶν εἰς τος κατὰ μεταβολὴν τοῦ
κ ... , εἰς θω βαρύτονα ῥήματα, ἐγερτός ἐγέρθω, ἐρεκτός
ρέχθω, ἀϊστός ἀΐσθων· οὕτως καὶ παρὰ τὸ βιβαστός βιβάσθων.
παραιτητέον δὲ καὶ τοὺς ὀξύνοντας ὡς δεύτερον ἀόριστον. A.

ΕΙΣ ΤΗΝ Ξ.

7. θερμήνῃ καὶ λούσῃ ἄπο βρότον αἱματόεντα: τὴν πρόθεσιν ἀναστρεπτέον· τὸ γὰρ ἑξῆς ἐστιν ἀπολούσῃ. A.

21. διχθάδι': τὸ πλῆρές ἐστι διχθάδια, ὥσπερ καὶ Ἀρίσταρχος βούλεται· διὸ τὴν χθα συλλαβὴν ὀξυτονητέον. παραιτητέον δὲ τοὺς βουλομένους εἶναι „διχθαδίῃ μεθ' ὅμιλον" καὶ τὴν δι συλλαβὴν ὀξύνοντας. A. cf. P, 279: unde intelligitur in hac disputatione de ἔτραφ' dictum fuisse. Ceterum cod. διχθαδίῃ ἢ μεθ.

ᵓξυτονητέον τὸ πρύμνησιν· Κράτης μέντοι ἐπὶ ταῖς ἐσχάταις, πλανηθεὶς ἐκ τοῦ „τὰς ˀουσαν". ἀγνοεῖ δὲ ὅτι ὁ ποιητὴς ὡς ἐπὶ ʼʼησιν ἐπὶ διεστῶτος σώματος ἀλλ' ἐπὶ ʽναρος" (Il. 5, 339)· „τοῦ δ' ἀπὸ ʼʼ. 292)· „πρυμνὴν ἐκτάμνοντες."

νδε, Villoiso πεδιον δε.

ʼς καὶ ὁ Ἀσκαλωνίτης φησί, ·εχθήρω" (Il. 3, 415). A.

ως χουρίξ. καὶ εἴπομεν ὅτι ·μι, σημειωσάμενοι τὸ πέριξ βαρυ-

ͺάνει: βαρυτονητέον ὁμοίως τῷ „οἰδάνει ἐν στή-ͺων" (Il. 9, 554). A.

164. τὸ ᾗ δασυντέον καὶ περισπαστέον· ἔστι γὰρ δοτικὴ πτῶσις κτητικῆς ἀντωνυμίας. A.

168. ἀνῷγεν: προπερισπαστέον· πρόσκειται δὲ τῷ ω̄ τὸ ῑ· ἀπὸ γὰρ θέματος τοῦ ἀνοίγω πέπτωκεν. A.

171. κάθηρε: τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ἀπὸ θέματος τοῦ καθαίρω. ὡς οὖν ἀπὸ τοῦ μεγαίρω ἐμέγηρε καὶ ποιητικῶς „μέγηρε γάρ οἱ τότ' Ἀπόλλων" (Il. 23, 865), οὕτως ἐκάθηρε κάθηρε. A.

172. δασυντέον τὸ ἑδανῷ· τὸ γὰρ ἡδύ βούλεται σημᾶναι, γίνεται δέ τινα ἀπὸ ῥημάτων διὰ τοῦ ανος παραγόμενα ὀξύτονα, ἅπερ τὴν τρίτην ἀπὸ τέλους ἔχει βραχεῖαν, ἢ αὐτόθεν ἀπὸ τῶν ῥημάτων μετειληφότα, ὡς ἀπὸ τοῦ ἄγω ἀγανός, στέγω στεγανός, ἢ ἐκ τῆς μακρᾶς τῆς κατὰ τὰ ῥήματα εἰς βραχεῖαν μεθιστάμενα, ὡς παρὰ τὸ ἵκω ἱκανός καὶ παρὰ τὸ πείθω πιθανός, τρώγω τραγανός, εἴδω ἰδανός. „τὰς (vel potius σὰς v. μον. λ. 7) ἰδανὰς χάριτας" ὁ Καλλίμαχος. οὕτως οὖν καὶ παρὰ τὸ ἥδω τὸ ἑδανός γένοιτ' ἄν, τοῦ η̄ εἰς τὸ ε̄ τραπέντος· διὸ δασυντέον τὴν λέξιν. μὴ ἄρα ἐπιζητείτωσαν πόθεν τὸ ε̄ ἐγένετο. ὁ γὰρ χαρακτήρ, ὡς ἔφαμεν, τὴν βραχεῖαν ἀσπάζεται. A.

183. μορόεντα· οὕτως Ἀρίσταρχος ἀπὸ τοῦ μ̄ ποιεῖται τὴν διαστολὴν καὶ ὁ Ἀσκαλωνίτης. καὶ οὕτως ὁ λόγος ἔχει. τὰ

καταλήγουσαν, προπερισπᾶσθαι θέλει, χερσαῖος, ὀρφναῖος, ἑρσαῖος, ἀρχαῖος, Ἀρναῖος, Τρικκαῖος, Ἑρμαῖος· ὅθεν τὸ Ἑρμαῖον κάρα παρὰ Σοφοκλεῖ. τὸ δὲ „ὅθι θ' Ἕρμαιος λόφος ἐστίν" (Od. 16, 471) ὡς εἰς ἰδιότητα καὶ τὸ ἐπὶ τοῦ χορίου πρὸς ἀντιδιαστολὴν διάφορον τόνον ἀνεδέξατο, ὡς Ἀθηναῖος καὶ Ἀθήναιος, ἀγοραῖος καὶ ἀγόραιος (cf. Λ, 301). οὕτως οὖν καὶ Ὀρθαῖος προπερισπωμένως ἀναγνωστέον· οὐδεμία γὰρ ἀντιδιαστολὴ ἐπὶ τοῦ ὀνόματος κεχώρηκεν. A. ἑρσαῖος scripsi pro ἐρσαῖος. — Ἑρμαῖον κάρα non dubito quin nihil commune habeat cum Soph. Philoct. 459. quo Dindorf. rettulit, sed nota paraphrasi dictum fuerit pro Ἑρμῆς.

803. πρὸ ἔθεν: ὁμοίως τῷ ἀπὸ ἔθεν (Il. 6, 62) ἀναγνωστέον κατ' ὀρθὴν τάσιν. προείρηται δὲ περὶ τῆς ἀντωνυμίας (Γ, 128). A. Quaest. ep. 120.

809. βιβάσθων: Τυραννίων περισπᾷ, οὐχ ὑγιῶς· ὁ γὰρ χαρακτὴρ βαρεῖαν τάσιν ἀπαιτεῖ, εἴτε ἀπὸ τοῦ βιβῶ βιβάσθω γενομένου τοῦ ῥήματος, περιπλεονάσαντος τοῦ σ, ὥς φησι Φιλόξενος, εἴτε ἀπὸ ὀνόματος τοῦ βιβαστός βιβάσθων ὡς ἀϊστός ἀΐσθων· γίνεται γάρ τινα ἀπὸ τῶν εἰς τος κατὰ μεταβολὴν τοῦ τέλους εἰς θω βαρύτονα ῥήματα, ἐγερτός ἐγέρθω, ἐρεκτός ἐρέχθω, ἀϊστός ἀΐσθων· οὕτως καὶ παρὰ τὸ βιβαστός βιβάσθων. παραιτητέον δὲ καὶ τοὺς ὀξύνοντας ὡς δεύτερον ἀόριστον. A.

ΕΙΣ ΤΗΝ Ξ.

7. θερμήνῃ καὶ λούσῃ ἄπο βρότον αἱματόεντα: τὴν πρόθεσιν ἀναστρεπτέον· τὸ γὰρ ἑξῆς ἐστιν ἀπολούσῃ. A.

21. διχθάδι': τὸ πλῆρές ἐστι διχθάδια, ὥσπερ καὶ Ἀρίσταρχος βούλεται· διὸ τὴν χθα συλλαβὴν ὀξυτονητέον. παραιτητέον δὲ τοὺς βουλομένους εἶναι „διχθαδίῃ μεθ' ὅμιλον" καὶ τὴν δι συλλαβὴν ὀξύνοντας. A. cf. P, 279: unde intelligitur in hac disputatione de ἔτραφ' dictum fuisse. Ceterum cod. διχθαδίῃ ἢ μεθ.

32. προπαροξυτονητέον τὸ πρύμνησιν· Κράτης μέντοι προπερισπᾷ, ἀκούων ἐπὶ ταῖς ἐσχάταις, πλανηθεὶς ἐκ τοῦ „τὰς γὰρ πρώτας πεδίον δὲ εἴρυσαν". ἀγνοεῖ δὲ ὅτι ὁ ποιητὴς ὡς ἐπὶ τὸ πολὺ τὸ πρυμνὸν οὐ τίθησιν ἐπὶ διεστῶτος σώματος ἀλλ' ἐπὶ ἡνωμένου „πρυμνὸν ὑπὲρ θέναρος" (Il. 5, 339)· „τοῦ δ' ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε" (ib. 292)· „πρυμνὴν ἐκτάμνοντες." (Il. 12, 149.) A. Bekker. πεδίονδε, Villoiso πεδιον δε.

48. κεῖνος τώς: ἄμεινον, ὡς καὶ ὁ Ἀσκαλωνίτης φησί, τὸ τώς εἶναι ὁμοίως τῷ „τὼς δέ σ' ἀπεχθήρω" (Il. 3, 415). A. Cf. ad B, 330.

60. ἐπιμίξ: Ἀρίσταρχος ὡς χουρίξ. καὶ εἴπομεν ὅτι τὰ εἰς ιξ ἐπιῤῥήματα ὀξύνεται, σημειωσάμενοι τὸ πέριξ βαρυνόμενον. A.

73. κυδάνει: βαρυτονητέον ὁμοίως τῷ „οἰδάνει ἐν στήθεσσι νόον" (Il. 9, 554). A.

164. τὸ ᾗ δασυντέον καὶ περισπαστέον· ἔστι γὰρ δοτικὴ πτῶσις κτητικῆς ἀντωνυμίας. A.

168. ἀνῷγεν: προπερισπαστέον· πρόσκειται δὲ τῷ ω τὸ ι· ἀπὸ γὰρ θέματος τοῦ ἀνοίγω πέπτωκεν. A.

171. κάθηρε: τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ἀπὸ θέματος τοῦ καθαίρω. ὡς οὖν ἀπὸ τοῦ μεγαίρω ἐμέγηρε καὶ ποιητικῶς „μέγηρε γάρ οἱ τότ' Ἀπόλλων" (Il. 23, 865), οὕτως ἐκάθηρε κάθηρε. A.

172. δασυντέον τὸ ἑδανῷ· τὸ γὰρ ἡδύ βούλεται σημᾶναι. γίνεται δέ τινα ἀπὸ ῥημάτων διὰ τοῦ ανος παραγόμενα ὀξύτονα, ἅπερ τὴν τρίτην ἀπὸ τέλους ἔχει βραχεῖαν, ἢ αὐτόθεν ἀπὸ τῶν ῥημάτων μετειληφότα, ὡς ἀπὸ τοῦ ἄγω ἀγανός, στέγω στεγανός, ἢ ἐκ τῆς μακρᾶς τῆς κατὰ τὰ ῥήματα εἰς βραχεῖαν μεθιστάμενα, ὡς παρὰ τὸ ἴκω ἱκανός καὶ παρὰ τὸ πείθω πιθανός, τρώγω τραγανός, εἴδω ἰδανός. „τὰς (vel potius σὰς v. μον. λ. 7) ἰδανὰς χάριτας" ὁ Καλλίμαχος. οὕτως οὖν καὶ παρὰ τὸ ἥδω τὸ ἑδανός γένοιτ' ἄν, τοῦ η εἰς τὸ ε τραπέντος· διὸ δασυντέον τὴν λέξιν. μὴ ἄρα ἐπιζητείτωσαν πόθεν τὸ ε ἐγένετο. ὁ γὰρ χαρακτήρ, ὡς ἔφαμεν, τὴν βραχεῖαν ἀσπάζεται. A.

183. μορόεντα· οὕτως Ἀρίσταρχος ἀπὸ τοῦ μ ποιεῖται τὴν διαστολὴν καὶ ὁ Ἀσκαλωνίτης. καὶ οὕτως ὁ λόγος ἔχει. τὰ

γὰρ μετὰ πολλοῦ μόρου καὶ κακοπαθείας γινόμενα δηλοῖ. παραιτητέον δὲ τοὺς ἀπὸ τοῦ α τὴν διαστολὴν ποιουμένους, ἵνα τὸ α ἐπιτατικὸν ὑπάρχῃ μηδενὸς κατεπείγοντος. A. Inserui οὕτως ante ὁ λόγος ἔχει.

209. ὁμωθῆναι: δασυντέον τὸ ο. ὡς χρυσωθῆναι δὲ ἀναγνωστέον. A.

221. ἄπρηκτόν γε νέεσθαι: τουτέστι πορεύεσθαι. οὕτως Ἀρίσταρχος. Δημήτριος δὲ γενέεσθαι ἀντὶ τοῦ γενήσεσθαι, βιαίως πάνυ· οὐδὲ γὰρ τὸ πυθέσθαι πυθέεσθαι γίνεται οὐδὲ τὸ λαβέσθαι λαβέεσθαι, ἵνα καὶ τὸ γενέσθαι γενέεσθαι γένηται. A.

249. ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή: Ἀρίσταρχος ἐλλείπειν φησὶ τὴν κατά, καὶ ἐκδέχεται τὴν ἀντωνυμίαν εὐθείας πτώσεως, καὶ κατ' ἄλλο ἡ σὴ ἐσωφρόνισεν ἐντολή, ὥςτε εἶναι ἡ τεή. Παρμενίσκος δὲ ἐκδέχεται ἐπίρρημα τὸ ἄλλοτε καὶ δασύνει τὸ η, καὶ περισπᾷ ἐπὶ δοτικῆς πτώσεως, ἵνα ὑπάρχῃ ὁ Ζεὺς τῇ ᾗ με ἐσωφρόνισεν ἐντολῇ. Ἀλεξίων δὲ προκρίνει τὴν Ἀριστάρχου· φησὶ γὰρ ἀπὸ τοῦ τ ἀρκτέον· καὶ ἡμῖν δὲ δοκεῖ· πρὸς γὰρ τὴν Ἥραν ἡ ἀπότασίς ἐστιν. αὐτὸς γοῦν ἐπεξηγεῖται αὐτό· „νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι“ (Il. 15, 262). A.

265. ἦ φῂς ὣς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν' ὡς Ἡρακλῆος περιχώσατο: ὁ Ἀσκαλωνίτης βαρύνει τὸν η· ἄμεινον δὲ περισπᾶν. καὶ γὰρ εἰ διαπορεῖ, οὐκ ἀναγκαῖον ἐγκλίνειν αὐτόν. οὐ γὰρ ἕτερος αὐτῷ ἐπιφέρεται περισπώμενος, ὡς ἐπὶ τοῦ „ἢ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα“ (Od. 11, 172). A.

309. τὴν σεῦ περισπαστέον: ἔστι γὰρ ἀντιδιαστολή. A.

328. σέο: ὀρθοτονητέον· ἀντιδιαστολὴ γὰρ πρὸς ἄλλα πρόςωπα. A.

340. τὸ εὔαδεν ὁ Ἀσκαλωνίτης ψιλοῖ, λέγων ὡς ὅτι τὰ δασυνόμενα ἐν τῇ ἐπενθέσει τοῦ υ ψιλοῦται, ὡς ὅλος οὖλος· οὕτως οὖν καὶ τὸ ἕαδεν εὔαδεν γένοιτο ψιλούμενον. ἐγὼ δὲ (opinor ἐρείδει δὲ) πρὸς τὴν συνήθη ἀνάγνωσιν δασύνουσαν τὸ α, ψιλοῦσαν δὲ τὴν ευ δίφθογγον. καὶ ἔχομεν ἐκεῖνο εἰπεῖν ὡς εἰ ἴδιον συνθέτων λέξεων τὸ καὶ κατὰ μέσον δασύνεσθαι, οἴδαμεν δὲ καὶ τὸ ἅδε ῥῆμα συνεχῶς παρὰ τῷ ποιητῇ, „ἅδε δ

Ἕκτορι μῦθος ἀπήμων" (Il. 12, 80), εἰκότως ἂν φήσαιμεν ὅτι τὸ εὖ ἐπίῤῥημα προςῆλθε καὶ οὕτως ἐφυλάχθη τοῦ ῥήματος ἡ δασεῖα ὡς ἐν λέξει συνθέτῳ· τὸ μέντοι ἕαδε διαίρεσίς ἐστι τοῦ ἧδε. A. Herodiano ex εὖ et ἅδε compositum existere potuisse nullo modo credimus: sed vana species est, quod aut in medio scholio lacuna est aut oratione sequente ἀνεσκευάσθη hoc quod nunc quasi fieri posset posuerat.

351. στιλπναί: ὁμοίως τῷ ἰσχναί. τὰ γὰρ εἰς νος δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ὀξύνεσθαι θέλει, πρυμνός, ἰσχνός, πυκνός. ἐναντιοῦται τὸ λίχνος. τὸ γὰρ λάγνος ἔννοιαν ἔχει συνθέσεως. A. Cur ἔννοιαν? non notionem quaerimus sed formam. An igitur dixerat: significationem quidem habet compositi (quamquam magis placeret ὑπόνοιαν), unde quidam compositum habuerunt. Sed etiamsi id non ita sit, causa accentus est „ὅτι οὐκ ἔχει ἴδιον θηλυκόν", ut in catholica certe dixerat si Arcadio fides 62, 2. Porro vero de λίχνος an dixerat hoc vere esse compositum? Nam apud Arcad. certe est p. 62, 8 τὸ λίχνος βαρύτονον ὡς σύνθετον παρὰ τὸ λίαν χαίνειν. Ut totum hoc fortasse modo procederet: ἐναντιοῦται τὸ λίχνος· ὡς σύνθετον. τὸ γὰρ λάγνος ἔχει μὲν καὶ αὐτὸ ἔννοιαν (vel ὑπόνοιαν) συνθέσεως, εἰ δὲ καὶ ἁπλοῦν εἴη, ἀλλ' οὐ τριγενές. Femininum λίχνη quin notum habuerint, quo nihil aptius feminae δειπνολόχῃ, non dubitandum videtur. Nisi potius hoc modo: ἐναντιοῦται τὸ λίχνος, ἔννοιαν γὰρ ἔχει συνθέσεως (h. e. at compositum est, ut significatio potius est ὁ λίαν χαίνων quam solum ὁ λείχων)· τὸ γὰρ λάγνος οὐδὲ τριγενές.

351. ὁ Ἀσκαλωνίτης ἀξιοῖ παροξύνειν τὸ ἐερσαι ὁμοίως τῷ Εὐτέρπαι. καὶ γὰρ τὸ ἑνικὸν ἐέρση ἐστί „μή μ' ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση" (Od. 5, 467), τὰ δὲ εἰς η λήγοντα θηλυκὰ μονογενῆ ὁμότονα ἔχει τὰ πληθυντικά, Ἑλένη Ἑλέναι· οὕτως εἰ ἐέρση, καὶ ἐέρσαι. ἠλιθίως πάνυ. οὐ γὰρ ἐνόησεν ὅτι τὸ ἑνικὸν διὰ τὴν μετάληψιν τοῦ α εἰς η πρὸ τέλους ἔσχε τὸν τόνον, ὁμοίως τῷ ἄελλα ἀέλλη, οὕτως ἔερσα καὶ ἐέρση. εἰ δὲ τὸ πληθυντικὸν οὐκέτι ἀντιθέσεως ἔχεται, ἀπολήψεται τοῦ ἔερσα προπαροξυνομένου τὸν τόνον. A. Vocabulum, de quo sermo,

quotiescunque hic occurrit, cum spiritu leni scriptum erat. Item falso fuit ἄμυδις.

372. τὸ παναίθῃσιν οἱ πλείους προπερισπῶσιν, Εὐφράνωρ δὲ βαρύνει. φιλεῖ δὲ τὰ εἰς η λήγοντα θηλυκὰ διαύλλαβα ὀξυνόμενα συντιθέμενα καὶ μὴ γινόμενα κύρια τότε μὲν φυλάσσειν τὸν τόνον ὅτε μετὰ προθέσεως συντίθεται, τότε δὲ ἀναβιβάζειν ὅτε οὐ μετὰ προθέσεως. ἐπιτομή, ἀνοχή, ἱστοδόκη δὲ καὶ καπνοδόκη, λατύπη, οἰνοχόη. εἴπερ οὖν καὶ τὸ παναίθη οὐ μετὰ προθέσεώς ἐστι βαρυτονηθήσεται. τάχα δὲ καὶ παρώνυμόν ἐστι, καὶ πάλιν ὀφείλει βαρύνεσθαι. ὡς γὰρ παρὰ τὸ καλός ἐγένετο πάγκαλος καὶ παγκάλη, οὕτως καὶ παρὰ τὸ αἰθός πάναιθος, ᾧ ἀκόλουθον τὸ παναίθη. A. Scilicet πάγκαλος, item πάναιθος si hoc praestruitur, ex regula compositorum femininum non fingit, sed est κοινόν. Quare si horum forma feminina reperitur in η, sunt haec iam non σύνθετα sed παρασύνθετα (Π, 149), h. e. ab illis facta sunt nomina παρώνυμα. Sic δουρικτήτη dicit τοῦ δουρίκτητος παρώνυμον I, 343 et ἀμφιρύτη, περιξέστη. Sic ἀσβέστη Γ, 123. εὐποιήτη Π, 636: plane ut in alia terminatione ἠεροφοῖτις, πρωθῆβις παρώνυμα θηλυκὰ παρακείμενα τοῖς εἰς ης ἀρσενικοῖς I, 571. Caeterum falso fuit αἶθος pro αἰθός (v. Arcad. 49, 13).

387. δαΐ: ὁ Ἀσκαλωνίτης βαρύνει ὡς Θέτι, οἱ δὲ πλείους ὡς φλεβί ὀξύνουσιν, οἷς συγκατατίθεμαι. εἰ μὲν γὰρ ἦν ἡ εὐθεῖα, ὡς οἴεται ὁ Ἀσκαλωνίτης, δάϊς ὡς Θέτις βαρυνομένη καὶ ὡς „πάντα Θέτι καλλιπλοκάμῳ“ (Il. 18, 407) οὕτως δάϊ, πρῶτον ἐκτείνεσθαι δεήσει τὸ ι. δεύτερον ἐκεῖνο ὁρῶμεν ἐναντιούμενον. τὰ γὰρ εἰς ις λήγοντα καθαρὸν θηλυκά, εἴτ' ἄλλῳ εἴτε καὶ τῷ α παραληγόμενα, οὐ φιλεῖ βαρύνεσθαι, τοὐναντίον δὲ ὀξύνεσθαι — ὁ δὲ λόγος ἐπὶ τῶν Ἑλληνικῶν, ἵνα μή τις τὸ Ξόϊς ἢ Σάϊς ἀντιθῇ κείμενα παρ' Ἡροδότῳ — οἷον Θηβαΐς, Δαναΐς, Λαΐς, Θαΐς. οὕτως ἄρα δαΐς· χωρὶς εἰ μὴ λέγοι τις τοῦτο βεβαρυτονῆσθαι πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου, ὥσπερ καὶ τὸ ἀκρίς. ἄμεινόν ἐστιν ἐκεῖνο λέγειν ὡς ὅτι εἴτε ἀπὸ τῆς δάϊς βαρυνομένης εἴτε ὀξυνομένης ἡ προκειμένη ἐστὶ δοτική, ὀφείλει ὀξύνεσθαι τῷ τὰς εἰς ι συνεσταλμένον ληγούσας δοτικὰς καὶ

μὴ συναλειφθείσας ἐπ' ὀνομάτων ἀρσενικάς τε καὶ θηλυκὰς ὀξύνεσθαι, μηνί, χηνί· ταύτῃ καὶ λιτί. οὕτως καὶ ἡ δαΐ, εἴτε ἀποκέκοπται εἴτε συγκέκοπται, ὀξυτονηθήσεται. A. Scripsi φλεῷ pro φλεαὶ cum Lobeckio Paral. I. p. 90. Deinde inserui εἴτ' ἄλλῳ εἴτε καί. Nam sic demum potest Ξόϊς inferri. Ceterum de Ξόϊς error est: nam hoc non occurrit apud Herodotum. Sed is error ipsius est Herodiani. v. A. 677.

396. τόσσος γε: Ἀρίσταρχος φυλάσσει τὴν ὀξεῖαν ἐπὶ τῆς τοσ συλλαβῆς, ὁ δὲ Τυραννίων τοσσόςγε ἀνέγνω τὴν σος συλλαβὴν ὀξύνων. οὐκ εὖ. ὁ γὰρ γέ οὐκ ἀλλάσσει τὸν τόνον τῶν πρὸ ἑαυτοῦ λέξεων. εἰ δέ τις λέγοι ἐπέκτασιν εἶναι, μὴ σύνδεσμον, ἴστω ὅτι τὸ ἐναντίον χωρήσει. ἡ γὰρ διὰ τοῦ γέ ἐπέκτασις τρίτην ἀπὸ τέλους ἐποίει τὴν ὀξεῖαν, ἔγωγε, ἔμοιγε. A.

463. λικριφίς: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ „ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς" (Od. 5, 481). (Cf. ad Σ, 506). καὶ οὕτως ἐπεκράτησεν ἡ ἀνάγνωσις. A.

509. ἀνδράγρια: ὡς ἀντάξια. καὶ γὰρ σύνηθες αὐτῷ τὸ τοιοῦτον εἶδος· καὶ γὰρ ζωάγρια εἶπε καὶ βοάγρια. καὶ μοιχάγρια. A.

521. τὸ μὲν ὁμοῖος ὡς ἀλλοῖος ἀναγνωστέον· τὸ γὰρ προπαροξύνειν μεταγενεστέρων ἐστὶν Ἀττικῶν. Τὸ δὲ ἐπισπέσθαι παροξυτονητέον ὁμοίως τῷ ἀποθέσθαι· ἔστι γὰρ τὸ ἁπλοῦν σπέσθαι. προείρηται δὲ ἐπὶ τῶν τοιούτων ἀπαρεμφάτων. A. Δ, 126.

ΕΙΣ ΤΗΝ Ο.

2. δάμεν: ὁμοίως τῷ „πολλοὶ δ' Ἀργείων οἱ μὲν δάμεν, οἱ δ' ἐλίποντο" (Il. 12, 14) καὶ τῷ „φάνεν δὲ οἱ εὐρέες ὦμοι" (Od. 18, 68) ἀνεγνώσθη κατὰ ἀφαίρεσιν τοῦ ἄρχοντος χρόνου· ἔφαμεν δὲ τὰ τοιαῦτα ἀδιαφόρως εὑρεθῆναι παρὰ τῷ ποιητῇ (Δ, 3. B, 808). A.

4. ὑπαὶ δείους: ἡ ὑπό πρόθεσις ὑπαί ἐγένετο ὁμοίως

τῇ „ὑπαὶ πόδα νείατον Ἴδης“ (Il. 2, 824)· καὶ ἔστι τὸ ἑξῆς ὑπὸ δέους. οὕτω καὶ Ἀρίσταρχος. διὸ παραιτητέον τὸν Τυραννίωνα βαρύνοντα τὴν ὗπαί, καὶ ἡγούμενον ἀπὸ τοῦ ὕπαιθα εἶναι πάθος τὸ τῆς ἀποκοπῆς. A.

10. εἵαθ'·: ἔνιοι τὸ εἶαθ' ψιλῶς· „ἔνθ' ἄρα οἱ μύλαι εἵατο“ (Od. 20, 106). ἀντὶ τοῦ ἦσαν. καὶ Ἀρίσταρχος δὲ ψιλοῖ τὸ εἶατο. ὁμοίως καὶ ἐπὶ τοῦ „εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι εἵαθ' ὁμηγερέες“ (Il. 24, 83)· ἐκδέχεταί τε κλίσιν τὴν ἀπὸ τοῦ εἰμί εἰς παθητικοῦ ὑπερσυντελίκου χρόνον, καὶ μεταλαμβάνει εἰς τὸ ὑπῆρχον. ἔχει δὲ ἐπίστασιν εἰ τοῦ εἰμί τὰ παθητικὰ δύναται συστῆναι κατὰ σημαινόμενον ἢ χρῆσιν Ἑλληνικήν (cf. Z, 336). διὸ ἄμεινον δασύνειν καὶ ἐκδέχεσθαι ἐνδιέτριβον καὶ ἐκάθηντο· καὶ γὰρ ἁρμόζον τοῖς ὑποκειμένοις κεῖσθαι μὲν τὸν Ἕκτορα, περικαθέζεσθαι δὲ αὐτὸν τοὺς ἑταίρους συγκάμνοντας. αὐτός τε ὁ ποιητὴς ἔκλινε τὸ ῥῆμα τοῦτο τριχῶς, πῇ μὲν κοινῶς εἰπών „τοῖσι δ' ἄρα Τρώων ἡγήτορες ἧντ' ἐπὶ πύργων“ (Il. 3, 153), πῇ δὲ Ἰωνικῶς „οἱ δὲ ἕατ' εἰν ἀγορῇ“ (Il. 7, 414), πῇ δὲ ἐπενθέσει τοῦ ι πάλιν χρησάμενος Ἰωνικῶς „εἵατο καὶ προὔχοντες“ (Od. 3, 8), ὡς καὶ τὸ προκείμενον. A.

κῆρ ἀπινύσσων: Ἀρίσταρχος τὸ κῆρ οὐδετέρως ἐκδέχεται καὶ μετοχὴν τὴν ἀπὸ τοῦ α ἀρχομένην, ἵνα τοιοῦτόν τι σημαίνῃ τὸ κῆρ ἀσύνετος ὤν, διδασκόμενος καὶ ἐξ ἐκείνου „δοκέεις δέ μοι οὐκ ἀπινύσσειν“ (Od. 5, 342). τούτῳ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ σχεδὸν πάντες, καὶ ἡμεῖς. εἰσὶ μέντοι οἳ ἄλλως διέστειλαν, οὓς ἐλέγχει ὁ Ἡρωδιανός. A. Delendum erat τὸ post ἐκείνου.

17. προπαροξυτονητέον τὸ ἐπαύρηαι, ὁμοίως τῷ „εἰςόκε τοὺς ἀφίκηαι“ (Od. 11, 122)· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος. ταὐτὸν δὲ λέγομεν καὶ περὶ τοῦ „σὺ δέ κεν κακὸν οἶτον ὄληαι“ (Il. 3, 417)· καὶ γὰρ οὗτος μέσος δεύτερος ἀόριστος. A. Cod. οὐδὲ pro σὺ δέ in versu Hom.

26. πεπιθοῦσα: ὡς δραμοῦσα· ἔστι γὰρ δεύτερος ἀόριστος δεδιπλασιασμένος, ὥςπερ ἤδη καὶ ἐπὶ τοῦ ῥήματος ἔθος αὐτῷ ποιεῖν· „ῥηϊδίως πεπιθεῖν“ (Il. 9, 184) A.

105. 106. ἔφαμεν τὸν η κατ' ἀρχὴν ὄντα διαπορητικὸν

περισπᾶσθαι, ὥςπερ καὶ ἐνθάδε. τοὺς μέντοι ἑξῆς ἐγκλιτέον, ἐν τῇ συντάξει· εἰσὶ γὰρ ἤτοι διαζευκτικοὶ ἢ παραδιαζευκτικοί, ὡς τὸ „ἢ ἔπει ἠὲ βίῃ" (puto ἢ ἔπει ἢ ἔργῳ A, 504). A.

127. ἡ δ' ἐπέεσσι καθάπτετο: δασυντέον τὸ ἡ ἄρθρον. δύναται μέντοι καὶ σύνδεσμος ἐξακούεσθαι, ἵνα γένηται καὶ ἐπέεσσι καθάπτετο. καὶ ἔστιν ὅμοιον τοῖς τοιούτοις „βεβλήκει γλουτὸν κατὰ δεξιόν, ἡ δὲ διὰ πρό" (Il. 5, 66)· „ἡ δὲ χιτῶν' ἐνδῦσα" (ib. 736)· καὶ γὰρ ἐπὶ τούτων διχῶς ἀνέγνωσαν, ὥςπερ καὶ ἐπὶ τοῦ ἐν τῇ Ὀδυσσείᾳ (5, 391) „αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη". ἄμεινον δὲ ἐπὶ πάντων ἄρθρον ἐκδέχεσθαι, ὥςπερ καὶ Ἀριστάρχῳ ἐδόκει. A.

128. τὸ ἠλέ ὡς καλέ ἐπιθετικῶς. εἴτε δὲ ἀποκόπη εἴτε συνεκόπη ἐκ τοῦ ἠλεέ, ἔῤῥωται τὰ τοῦ τόνου. A.

138. προπερισπαστέον τὴν υἷος γενικήν. προείρηται δὲ πῶς γέγονεν (E, 266). A.

142. θρόνῳ ἔνι: ἀναστρεπτέον τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστὶν ἐν θρόνῳ, ὁμοίως τῷ „υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι" (111). A. Cod. ὀλώλῃ.

146. καὶ τὸ Ζεύς καὶ τὸ σφώ ἐγκλιτέον, τουτέστι βαρυτονητέον, ἐπεὶ δευτέρου προςώπου ἐστὶ μεταλαμβάνεται καὶ εἰς τὸ ὑμᾶς. A.

159. προπερισπαστέον τὸ ἀγγεῖλαι· ἔστι γὰρ ἀπαρέμφατον ἀντὶ προςτακτικοῦ κείμενον, διὰ τὸ ἐπιφερόμενον „μηδὲ ψευδάγγελος εἶναι". οὐκ ἀναγκαῖον γὰρ διὰ τὸ ἄνωχθι προςτακτικῶς ἀναγινώσκειν. καὶ ἔστιν ὅμοιον τῷ „τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοισι τανύσσαι" (Od. 5, 346)· καὶ ἐνθάδε γὰρ ἀπαρέμφατόν ἐστιν. A.

162. εἰ δέ μοι: τὸν δέ ὀξυτονητέον· ἔστι γὰρ νῦν ἡ μοί ἐγκλιτικὴ καὶ ἀπόλυτος. A.

165. καὶ ἐκὶ τούτου ἐγκλιτική ἐστιν ἡ ἀντωνυμία καὶ ἀπόλυτος· διὸ τὸν ἐπεί σύνδεσμον ὀξυτονητέον ὁμοφώνως τῷ „καί εὐ κράτος ἐστὶ μέγιστον" (Il. 24, 293). A.

187. Ῥέα: οἱ μὲν ἐκτείνουσι τὸ $\bar{α}$, ἐπὶ δὲ τοῦ ἐπιῤῥήματος συστέλλουσιν· οἱ δέ φασι δεῖν συστέλλειν, ἵνα δάκτυλος γένηται, ὡς τὸ „πὺξ ἀγαθὸν Πολυδεύκεα" (Il. 3, 237) „ἀνδρόμεα κρέα" (Od. 9, 347) „εἴσατο τεύχεα". A.

199. οἷ ἔθεν ὀτρύνοντος: ἡ ἕθεν νῦν ἀπολυτός ἐστι καὶ ἐγκλιτική. διὸ τὸ οἱ ἄρθρον ὀξυτονοῦμεν. Α.

209. ὁμῇ: περισπαστέον κατὰ δοτικὴν πτῶσιν, ὁμοίως ἐπιθετικῷ τῷ θερμῇ· καὶ γὰρ ὁμός αὐτοῦ τὸ ἀρσενικὸν ὁμοίως κατ' ὀξεῖαν τάσιν „οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος“ (Il. 4, 437)· καὶ τὸ οὐδέτερον „ἢ μὰν ἀμφοτέροισιν ὁμὸν γένος“ (Il. 13, 354). παράκειταί τε τὸ ἐπίῤῥημα τὸ εἰς ως λῆγον περισπώμενον ὡς θερμῶς· „ὁμῶς δέ τοι ἤπια οἶδεν“ (Od. 13, 405). Α.

226. ἀλλὰ τόδ' ἡμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῷ ἔπλετο: οἷ αὐτῷ: ὁ Ἀσκαλωνίτης ἀξιοῖ ἐγκλιτικῶς ἀναγινώσκειν, ἐπεὶ ἀπὸ προσώπου ἐπὶ πρόσωπον ἡ ἀναφορὰ καὶ εἰς ἁπλῆν ἡ μετάληψις· ἀντὶ γὰρ τῆς αὐτῷ δισυλλάβου. ἄμεινον δὲ πείθεσθαι τοῖς περισπῶσι διὰ τὸ ἤδη διαστολὴν γεγενῆσθαι διὰ τῆς ἐμοί· τὸ γὰρ ἑξῆς τοιοῦτόν ἐστιν ἐμοὶ καὶ αὐτῷ ἔπλετο, ὥςτε ἀπὸ κοινοῦ λαμβάνεσθαι τὸ ἔπλετο ῥῆμα. ὁμοίως δὲ καὶ ἐπ' ἐκείνου κατ' ὀρθὸν τόνον ἀνέγνωμεν τὴν οἷ· „Μέντορ μή σ' ἐπέεσσι παραιπεπίθῃσιν Ὀδυσσεὺς μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δὲ οἷ αὐτῷ“ (Od. 22, 213)· καὶ τὸ ἑξῆς ἐστὶ τοιοῦτον, μὴ πεισάτω σε Ὀδυσσεὺς ἡμῖν μάχεσθαι, αὐτῷ δὲ ἀμύνειν. καὶ καθόλου ἡ οἷ ὁπότε προηγεῖται τῆς αὐτός ἀντωνυμίας κατὰ δοτικὴν πτῶσιν, ὀρθοτονεῖσθαί θέλει, εἴτε εἰς ἁπλῆν εἴη ἡ μετάληψις εἴτε καὶ εἰς σύνθετον. διὸ μεμπτέον ἐκείνην τὴν ἀνάγνωσιν „ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσσῃ“ (Od. 4, 667)· ἐχρῆν γὰρ διὰ τὴν ἐπιφερομένην ἀντιδιαστολὴν κατ' ὀρθὸν τόνον ἀναγινώσκεσθαι. Α.

241. κατ' ὀρθὸν τόνον ἀναγνωστέον, ἀμφὶ ἓ γινώσκων· ἔστι γὰρ εἰς ἑκάτερον ἑαυτοῦ μέρος σκοπῶν. Α.

245. δασυντέον τὸ ἧσαι· προείρηται δὲ περὶ τούτου (v. Ζ, 336. Ο, 10). τὸ δὲ ὀλιγηπελέων ἕν ἐστιν, ὅμοιον τῷ ὀλιγοδρανέων. τὸ δὲ ἦ που τί σε, ὁ ἦ διαπορητικός ἐστι· διὸ περισπαστέον. Α.

288. ἦ: διαβεβαιωτικός ἐστι· διὸ περισπαστέον αὐτόν. Α.

302. Μέγην: Ἀρίσταρχος βαρύνει ὡς „Μέσθλην τε Γλαῦκόν τε“ (Il. 17, 216)· καὶ ἐπείσθη ἡ παράδοσις. ὁ δὲ Ἀσκαλωνίτης καὶ ἄλλοι περισπῶσιν ὡς Ἑρμῆν καὶ Ποδῆν· τὰ γὰρ εἰς ης λήγοντα, φασί, βαρύτονα δισύλλαβα, ἀπὸ βραχείας

ἀρχόμενα, περισσοσυλλάβως κλίνεται, λέβητα, Λάχητα· εἰ δ' οὐχ οὕτως ἐκλίθη, δῆλον ὅτι περισπασθήσεται· ἄλλως τε εἰ εὑρέθη αὐτοῦ ἡ αἰτιατικὴ ὡς ἀπὸ βαρυτόνου „Φυλλείδην τε Μέγητα" (Il. 19, 239), ὅτε μὴ οὕτως ἔχῃ, περισπασθήσεται, ὡς Θαλῆν καὶ Θάλητα καὶ Φαλῆν καὶ Φάλητα. ἔστι δὲ ὑπὲρ τοῦ Ἀριστάρχου πρὸς αὐτοὺς πρῶτον μὲν ἐκεῖνο εἰπεῖν, ὅτι οὐχ ἁπλῶς τὰ εἰς ης ἀλλὰ τὰ εἰς της λήγοντα (an τὰ ῥηματικὰ μὴ εἰς της λήγοντα?) τὴν προειρημένην ἀναδέχεται κλίσιν, ἐπεὶ τὰ (an κλίσιν. ἔπειτα?) πολλά ἐστι διχῶς κεκλιμένα. τὸ γοῦν Μόνης ὁ μὲν ποιητὴς περιττοσυλλάβως ἔκλινεν „πέρσεν δὲ πόλιν θείοιο Μύνητος" (Il. 19, 296). ὁ δὲ Σοφοκλῆς (sc. ἐν Αἰχμαλωτίσι ut Choerob. testatur) ἰσοσυλλάβως „Μόνου τ' Ἐπιστρόφου γε" (imo τε ut iam alii dixerunt cl. B, 692), μύκητά τε καὶ μύκην, εἰ καὶ πολλὰ σημαίνει ἡ λέξις (v. Choeroboscus, qui omnino ad haec inspiciendus, 90. a). καὶ ὅτι οὐ τὸ μέτρον αἴτιόν ἐστι, δῆλός ἐστιν Ἑκαταῖος οὕτως κλίνας· φησὶ γὰρ „καὶ ἐπαφήσας τὸν κολεὸν τοῦ ξίφεος, τὸν μύκην (Cod. μυκῆν) εὗρεν ἀποπεπτωκότα". ὁ δὲ Ἄρατος (Dios. 244) περιττοσυλλάβως ἔκλινεν· „ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν" (Cod. μοῖραν). καὶ μή ποτε ταῦτα συναγωνίζεται τῷ Ἀριστάρχῳ· καὶ γὰρ ταῦτα διχῶς κλιθέντα οὐ μετέβαλε τὸν τόνον, οἷς ὅμοιον δύναται εἶναι καὶ τὸ Μέγης. A.

309. ἀμφιδάσειαν: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ὁμοίως τῷ χαλκοβάρεια. ὅτι δὲ οὐχ, ὡς οἴεται ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων, σύνθετόν ἐστιν ἀλλὰ παρασύνθετον, εἴρηται ἡμῖν ἐν τῷ περὶ τοῦ ἠριγένεια. A.

320. κατένωπα: Ἀρίσταρχος ὡς κατὰ δῶμα, ἀπ' εὐθείας τῆς ὤψ, ἥτις αἰτιατικὴν ἔχει τὴν ὦπα· ὁ δὲ Ἀλεξίων καὶ οἱ πλείους ὡς κατέναντα, οἷς καὶ βέλτιον πείθεσθαι, ἵνα ᾖ ἀπὸ τοῦ κατενώπια κατὰ συγκοπὴν κατένωπα, ὡς μηρία μῆρα, σιτία σῖτα. ἔνεστι μέντοι βοηθῆσαι καὶ τῷ Ἀριστάρχῳ οὕτως, ὡς ἐνωπή ἡ πρόσοψις „ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ" (Il. 5, 374), παρ' ἣν ἐστιν αἰτιατικὴ ἐνωπήν. ὃν οὖν τρόπον τὴν ἰωκὴν ἴωκα εἶπε μεταπλάσας, οὕτως καὶ τὴν ἐνωπὴν ἐνῶπα προπερισπωμένως. A. Transiit in Etymologicum.

335. Φυλάκη πόλις Θεσσαλίας. βαρυτόνως δὲ ἀνα-

γνωστέον ὡς Ἰθάκη, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ δεσμωτηρίου. AD. Transiit in Et.

338. Σφήλοιο: ὡς φίλοιο. ἔστι δὲ καὶ κανὼν ὡς τὰ εἰς λος δισύλλαβα, τῷ η παραληγόμενα, κύρια ὄντα βαρύνεσθαι θέλει, Τῆλος, Μῆλος, Βῆλος· οὕτως οὖν καὶ Σφῆλος. τὰ μέντοι προσηγορικὰ καὶ ὀξυτονεῖται, πηλός χηλός, καὶ βαρύνεται, ὡς δῆλος τὸ ἐπιθετικὸν καὶ ἧλος καὶ ζῆλος, περὶ ὧν εἰρήσεται ἡμῖν ἐν τοῖς περὶ καθολικῆς προσῳδίας. A. Cod. ἧλος. v. Arcad. 198, 16. Eust. 155, 39 sqq.

339. Μηκιστῆ: ὁμοίως τῷ „ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί“ (Il. 4, 384). καὶ ἤτοι ἀπεκόπη ἡ Μηκιστῆα αἰτιατική, ἢ Δωρικῶς κέκλιται, ὅπερ μοι δοκεῖ καὶ ἄμεινον. A.

351. τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐπὶ τὸ ἐρύουσι. εἴρηται δὲ περὶ τῆς προσῳδίας ἐν τῇ Λ (454). AB.

359. ἐπεκτέταται τό ησιν· ἀντὶ γὰρ τοῦ ῃ ἐστὶν ὑποτακτικοῦ, ὅπερ ἡ συνήθεια λέγει μετὰ προθέσεως ἀφῇ. διὸ καὶ μετὰ τοῦ ι γράφεται καὶ δασύνεται· ἀπὸ γὰρ τοῦ ἵημι δασυνομένου κέκλιται. A.

365. ἧϊε Ἀρίσταρχος δασύνει, ἀπὸ τῆς ἕσεως τῶν βελῶν. οἱ δὲ περὶ τὸν Κράτητα ψιλῶς, ἀπὸ τῆς ἰάσεως. καὶ οὕτως ἐπείσθησαν οἱ γραμματικοὶ πρὸς διάφορον ἐτυμολογίαν διαφόρως ἀναγινώσκειν. ἀγνοοῦσι δὲ ὅτι ὁ χαρακτὴρ μάχεται· ἀεὶ γὰρ τὸ η πρὸ φωνήεντος ψιλοῦται, ἠώς, ἠϊα. ταύτῃ καὶ τὸ „ἧτε ξείνων Θέμις ἐστί“ (Od. 9, 268) δασύνεται, τὸ δέ ἠΰτε ψιλοῦται· καὶ τὸ ἕως δασύνεται, τὸ δὲ ἠώς ψιλοῦται· καὶ τὸ ἥλιος δασύνεται, τὸ δὲ ἠέλιος ἐψιλώθη. ὥστε εἴτε ἐκ τοῦ ἧϊος δασυνομένου ἐστὶν εἴτε ἐκ τοῦ ψιλουμένου, μόνως ψιλωτέον. A. ἠΰτε scripsi pro ἠώς. v. Apollon. adv. 559 et schol. B, 87.

382. νηὸς ὑπὲρ τοίχων καταβήσεται: οὐκ ἀναγκαῖόν ἐστιν ἀναστρέφειν τὴν πρόθεσιν, ἀλλὰ συντάσσειν τῇ τοίχων γενικῇ. A.

389. ναύμαχα: οὕτως ὡς θαύματα. ἐξαιρέτως δὲ τὰ παρὰ ῥῆμα οὐδέτερα σύνθετα μονογενῆ, εἰς ον περατούμενα, προπαροξύνεται, χαρτότομον, χειρόγραφον, ἀκρατόφορον· οὕτως

„ναύμαχον ἐν παλάμῃσιν“ (677), ἵνα εἶδος δόρατος νοηθῇ ἐν διαφόρῳ μεγέθει. A.

394. φάρμαχ' ἀκήματα: τὸ πλῆρες, φάρμακα, εἶτα ἀκήματα· παρὰ γὰρ τὸ ἀκέσασθαι τὸ ἀκήματα ἐσχημάτισται. εἴρηται δὲ ἡμῖν ἐν ἑτέροις διότι καὶ ἡ ἄκεσις καὶ τὸ „ἀκεσταί τοι φρένες ἐσθλῶν“ (Il. 13, 115) τὸ ε̄ ἔχει κατὰ τὴν παραλήγουσαν. A.

444. ἰοδόκον: πιθανώτερον Ἀλεξίων παροξύνει, ὡς ξεινοδόκον, ἐπεὶ αὐτὴ ἡ φαρέτρα δέχεται καὶ ἔστιν ἐνεργητικόν. A. Cod. αὕτη pro αὐτή.

445. Κλειτός ὄνομα κύριον· ὀξυντέον δὲ ὁμοίως τῷ ἐπιθέτῳ, ἐπειδὴ κόσμου ἐστὶ τὸ ἐπίθετον. A.

463. ἐϋστρεφέα: οὐκ ἀναγκαῖον ἐκτείνειν τὸ ᾱ· ἀπήρτισε γὰρ εἰς μέρος λόγου ὁμοίως τῷ „ἀμφηρεφέα τε φαρέτρην“ (Il. I, 45). A. (cf. E, 887.)

491. τὸ ὅτοισι τρισύλλαβον ἐπὶ τὴν πρώτην ἔχει συλλαβὴν τὴν ὀξεῖαν, τὸ μέντοι ὀτέοισιν οὐκέτι, ἐπεὶ ἤμελλε τετάρτη ἀπὸ τέλους πίπτειν ἡ ὀξεῖα· διὸ ἐπὶ τὴν δευτέραν ἀπὸ τῆς ἀρχούσης μετέστη. A. Cod. τρίτη pro τετάρτη. Initium usque ad ὀξεῖαν transiit in Etym. 636, 34.

494. τὸ ὕμεων ἀντωνυμία ἀπόλυτός ἐστι καὶ οὐκ ἔχουσα ἀντιδιαστολήν· διὸ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. A.

548. ἐν Περκώτῃ: ὁμοίως τῷ [ἐν] Οἰνώνῃ. τὴν δὲ ἀπό πρόθεσιν οὐκ ἀναστρεπτέον· πρὸς γὰρ τὴν ἐόντων μετοχὴν συντέτακται. A.

554. ἀνεψιοῦ: τὴν ψῑ συλλαβὴν ἐκτατέον διὰ τὸ μέτρον. (cf. B, 731). A.

555. οὐχ ὁράᾳς οἷον Δόλοπος περὶ τεύχε᾽ ἕπουσιν: ὁ Ἀσκαλωνίτης οὐκ ἀναστρέφει τὴν περί· εἶναι γὰρ τὸ ἑξῆς περιέπουσι. κἀγὼ δὲ αὐτῷ συγκατατίθεμαι, ἐπεὶ καὶ τὸ ῥῆμα τοῦτο τὸ ἕπω παρὰ τῷ ποιητῇ ἐν τοῖς ἐνεργητικοῖς κινήμασιν ὡς ἐπὶ τὸ πλεῖστον θέλει ἔχειν πρόθεσιν συντεταγμένην. A.

606. τάρφεσιν ὡς βέλεσιν οἱ πλείους· καὶ ἡμεῖς δὲ συγκατατιθέμεθα· οὐ γάρ ἐστιν ἐπιθετικόν, ὡς ἀξιοῖ Τυραννίων. ὁ μέντοι Ἀριστοφάνης ἐκεῖνό φησιν, ὅτι ἐὰν μὲν τοῖς δάσεσιν, ὡς βέλεσι τάρφεσιν· ἐὰν δὲ τὸ ἐπιθετικόν, ταρφέσιν ὡς ὀξέσιν. A.

607. ἀφλοισμός: ὀξυτόνως ἀναγνωστέον· τὰ γὰρ εἰς μος λήγοντα ὑπὲρ δύο συλλαβάς, ἔχοντα πρὸ τοῦ μ τὸ σ, ὀξύνεσθαι θέλει, μερισμός, ὁπλισμός. ἔνιοι δὲ αὐτὸ παρὰ τὸ ἀφρισμός, μεταβολῆς γενομένης τοῦ ρ εἰς τὸ λ καὶ πλεονάσαντος τοῦ ο. οἱ δὲ παρὰ τὸ φλέω καὶ φλύω, φλοισμός καὶ ἀφλοισμός ἐν πλεονασμῷ τοῦ α. διὸ οὐ δεόντως ὁ Τυραννίων προπαροξύνει. Α.

619. ἠλίβατος: ψιλῶς· ἀπὸ γὰρ τοῦ ἀλιτεῖν ἐσχημάτισται· καὶ ὤφειλεν ὅμοιον εἶναι τῷ ἠλιτόμηνος, συγκοπὴν δὲ ἔπαθεν. διδάσκει δὲ καὶ τὸ τῆς συναλοιφῆς ὅτι ψιλοῦται· „τὸν μέν τ' ἠλίβατος πέτρη" (273). οἱ μέντοι δασύνοντες ἐτυμολογοῦσι παρὰ τὸν ἥλιον, τὴν ἡλίῳ βατὴν οὖσαν μόνῳ· οὐκ ἐπείσθη δὲ ἡ παράδοσις, ὡς πρόδηλον ἐγένετο ἐκ τῆς συναλοιφῆς. Α.

631. εἱαμενῇ: δασυντέον, ἀπὸ τῆς ἕσεως τῶν ὑδάτων (cf. Δ, 483). Α.

665. τῶν ὕπερ: ἀναστρεπτέον τὴν πρόθεσιν. Α.

676. ἴκρια ὡς δέμνια· ἔστι γὰρ ῥηματικόν, ὡς ἐν ἑτέροις εἴρηται. Α.

βιβάσθων: βαρυτονητέον· γέγονε δὲ ἤτοι, ὥς φησι Φιλόξενος, κατὰ πλεονασμὸν τοῦ σ (v. N, 809) ἤ, ὅπερ καὶ βέλτιον, παρὰ τὸ βιβαστός βιβάσθω, ὡς καὶ ἀϊστός, κατ' ὀξεῖαν τάσιν, ἀΐσθων· „ὁ δ ἔβραχε θυμὸν ἀΐσθων" (Il. 16, 468). Α.

678. τὸ μὲν βλῆτρον βαρυτονητέον, ἐπεὶ πάντα τὰ εἰς τρον λήγοντα μονογενῆ οὐδέτερα βαρύνεται, σεσημειωμένου τοῦ λουτρόν. τὸ δὲ δυωκαιεικοσίπηχυ ὑφ' ἓν ἀναγνωστέον. τοὺς γὰρ ἀριθμοὺς οὕτω προφέρει, διὰ τοῦ ι, ὡς εἰκοσινήριτα (X, 349). τινὲς δὲ καὶ κατὰ παράθεσιν, ὡς τὸ τρεῖς καὶ δέκατος, ὥςτε καὶ τὸ θηλυκὸν τρεῖς καὶ δεκάτη. ΑV. Cod. τριςκαιδέκατος et τριςκαιδεκάτη.

679. κελητίζειν: παραγωγόν ἐστι τὸ ῥῆμα παρὰ τὴν κέλητος γενικήν· ἀντὶ γὰρ τοῦ ἱππεύειν. κακῶς οὖν ὅσοι διαστέλλουσι· καὶ γὰρ ἐλέγχονται ἐκ τῆς τοῦ τ ψιλότητος. Α.

698. ἄντεσθ': Τυραννίων παροξύνει, ὡς λαβέσθαι, πυθέσθαι, ἐκδεχόμενος μέσον δεύτερον ἀόριστον, οὐχ ὑγιῶς. σημαίνει γὰρ παρατατικόν. καὶ ἔστι τὸ ῥῆμα παρ αὐτῷ καὶ περισπώμενον καὶ βαρυνόμενον. τὸ γὰρ „ἤντησ' οὐδὲ ἴδον" (Od. 4, 201) καὶ „ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος" (Il. 16, 423) ἀπὸ

περισπωμένου κέκλιται. τὸ δὲ „ὥς ἄν τίς σε συναντόμενος“ (Od. 17, 165) ὡς ἁπτόμενος καὶ „ἤντετο γάρ τοι Φοῖβος“ (Il. 16, 788) ὡς ἥπτετο ὁμολογεῖ τὴν βαρεῖαν τάσιν. οἷς ἀκόλουθον καὶ τὸ ἄντεσθαι. A. Inserui καὶ περισπώμενον.

705. ὠκυάλου: ἐψίλωσαν τὸ α, παραγωγὴν δεξάμενοι καὶ οὐ σύνθεσιν· καὶ οὕτως ἡ παράδοσις ἐπείσθη. καὶ τάχα ἐπεὶ μηδὲν ἄλλο ἢ τὸ ὠκὺ ἐκ τῆς λέξεως σημαίνεται. ἡ δὲ ἁλός γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρεται τὸ πνεῦμα, Εὐρύαλος, Ἀμφίαλος, Ἀστύαλος· ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα „πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ“ (Od. 1, 395) „ἀγχίαλόν τ' Ἀντρῶνα“ (Il. 2, 697), ὕφαλος, ὥςτε καὶ κατὰ τοῦτο ἐλέγχεται τὸ ὠκύαλος ψιλούμενον. A.

709. ἀϊκάς: ὡς παλλακάς· καὶ ἐγένετο παρὰ τὸ ἀΐσσω ἀϊκή ὡς φυλάσσω φυλακή, ὑλάσσω ὑλακή. ἔστι μέντοι καὶ ἑτέρα εὐθεῖα ἡ ἄϊξ (potius ἀΐξ), ἥτις ἐν συνθέσει ἐστὶ καὶ παρ' αὐτῷ „πολυάϊξ γυῖα δ' ἔθηκεν (Il. 5, 811) καὶ „πολυάϊκος πολέμοιο“ (Il. 1, 165) καὶ „κορυθάϊκι πολεμιστῇ“ (Il. 22, 132). καὶ δῆλον ὅτι εἰ παρὰ ταύτην τὴν ἄϊξ εὐθεῖαν τὴν πληθυντικὴν αἰτιατικὴν σχηματίζοιμεν, ὀφείλομεν κατὰ συστολὴν ἀναγινώσκειν (scil. ultimam κας), ὅπερ οὐχ οὕτως ἔχει· δῆλον γὰρ ἐκ τοῦ μέτρου. χρὴ μέντοι ἐκεῖνο ἐπιστῆσαι, ὡς τὰ εἰς κη λήγοντα ὑπὲρ δύο συλλαβάς, τῷ ι παραληγόμενα, φιλεῖ βαρύνεσθαι, ὡς ἔχει τὸ ἑλίκη, ἐρίκη, μυρίκη, φοινίκη. τὸ μέντοι ἀϊκή ὠξυτονήθη, ἴσως ὅτι ῥηματικὸν ὑπῆρχε, τῶν ἄλλων οὐχ οὕτως ἐχόντων. A.

725. ἀνώγει: βαρυτόνως ἀναγνωστέον. εἰ δὲ καὶ ὡς ἀπὸ περισπωμένου δείκνυταί τινα ἔχων κινήματα, ὥςπερ ἐπὶ τοῦ „καὶ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔπος“ (Il. 7, 364), οὐκ ἀναγκαῖον ξενίζειν τὴν ἀνάγνωσιν καὶ περισπᾶν· κλίνεται γὰρ καὶ ὡς βαρύτονον, ὥςπερ ἐπὶ τοῦ „ὁππότ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν“. πρόδηλον κἀκ τῶν προςτακτικῶν ἀνώγετον, ἀνωγέτω. „ἄνωχθι δέ μιν γαμέεσθαι“ (Od. 2, 113). διὸ καὶ βαρυτόνως ἀναγνωστέον. A.

735. τὸ φαμέν ἐντελές ἐστι καὶ ἐνεστῶτα χρόνον σημαίνει· διὸ τὰς δύο συλλαβὰς βαρυτονητέον. εἰ μέντοι παρατατικὸς γένοιτο, δῆλον ὅτι ἀποβολὴν χρόνου τοῦ κατ' ἀρχὴν

πάσχει, καὶ ἐπὶ τὴν φα συλλαβὴν ἡ ὀξεῖα τάσις ἔσται, ὅμοιον ὡς τὸ ἔφαμεν ἐντελές, ὥςπερ ἐπ' ἐκείνου „φάμεν δέ οἱ οὐ τελέεσθαι" (Od. 4, 664), ὅπερ οὐκ ἐπιζητεῖ νῦν ἡ διάνοια. A.

. ΕΙΣ ΤΗΝ Π.

12. ἦ: πάντες περιεσπάσθησαν οἱ σύνδεσμοι κατὰ λόγον τῶν ἐρωτηματικῶν. A.

24. οὐτάμενοι: ὡς ἱστάμενοι. προείρηται δέ (Λ, 659). A.

41. ἴσχοντες: ὁ Ἀσκαλωνίτης κατὰ ἀφαίρεσίν φησιν εἶναι τοῦ ε τὸ ἴσχοντες. Ἀρίσταρχος δὲ ἐκτεταμένως ἀναγινώσκει παρὰ τὸ εἴσχω (l. εἴσκω, fortasse πλῆρες τὸ εἴσκω) ἐκδεξάμενος. ἄμεινον δὲ ἡ τοῦ Πτολεμαίου ἀνάγνωσις· πρὸ γὰρ τῆς διὰ τοῦ σκω παραγωγῆς σπάνιόν ἐστι δίφθογγον εὑρεθῆναι, ὅτι μὴ τὴν αυ. ταύτη οὖν μοι δοκεῖ ἀπὸ τοῦ εἴδω εἶναι ὁ μέλλων εἴσω· καὶ ἅμα τῇ ἐπενθέσει τοῦ κ εἴσκω γεγενῆσθαι κατὰ τὴν διαίρεσιν, ἵνα μὴ δίφθογγος γένηται, καὶ ἀποβολῇ τοῦ ε ἴσκω. οὕτως οὖν καὶ τὸ ἴσκοντες ὀφείλομεν κατὰ ἀποβολὴν τοῦ ε ἀναγινώσκειν· οὐ γὰρ μέτρον κωλύει (V. Λ, 799: quo loco comparato omnia, quae hic obscura videri possunt, illustrantur). A.

44. ἀκμῆτες: ὡς ἀδμῆτες· καὶ καθόλου, ὅσα ἀπὸ παρακειμένου συντέθειται ὀνόματα εἰς ης λήγοντα, ὧν τὸ τέλος μίαν συλλαβὴν ἀποφέρεται τοῦ ῥήματος μετὰ δύο συμφώνων, ὀξύνεται, οἷον ἰθυτμής, μία συλλαβὴ ἐπὶ τέλους ἀπὸ παρακειμένου, καὶ δύο σύμφωνα πρὸ τοῦ η. φλεβοτμής, ἀβλής, προβλής. οὕτως ἀκμής. A. Scripsi, ut iam Lobeckius monuit Paral. I. 237, ὅσα ἀπὸ παρακειμένου pro ὅσα παρακείμενα et ἰθυτμής pro ἰθυτνής.

47. λιτέσθαι: ὁ Ἀσκαλωνίτης ἀξιοῖ ὁμοίως τῷ λίσσεσθαι, ἐπεὶ ἐνεστῶτος χρόνου ἀπὸ ὁριστικοῦ τοῦ λίτομαι (Cod. λίττομαι). εἰσὶ δὲ οἱ παροξύνουσιν ὁμοίως τῷ λαβέσθαι. ἐγὼ δ' ἐπαινῶ τὸν Ἀσκαλωνίτην προπαροξύνοντα ἐπὶ ἐνεστῶτος. τοῦτο γάρ ἐστι καὶ τὸ δηλούμενον· ἔμελλε γὰρ αὐτῷ θάνατον λίσ-

σεσθαι. δοκεῖ δέ μοι ἡ πλείων παράδοσις παροξύνειν οὐκ ἀπιθάνως. ὅνπερ γὰρ τρόπον ἐν ἑτέροις διαλαμβάνων περὶ τοῦ „μεταλλῆσαι καὶ ἔρεσθαι“ (Od. 3, 69), ἀξιούντων πάντων τὸ (Cod. τῷ) ἐρέσθαι ὁμοίως τῷ πυθέσθαι, ἐπειδήπερ μέσος δεύτερος ἀόριστός ἐστιν, ἀπεφηνάμην ὡς ἡ παράδοσις τρίτην ἀπὸ τέλους ἐποίησε τὴν ὀξεῖαν οὐ τῷ σημαινομένῳ πεισθεῖσα ἀλλὰ τῷ χαρακτῆρι τῆς φωνῆς, ἐπεὶ τὰ τοιαῦτα τῶν ἀπαρεμφάτων προπαρωξύνετο, ὄντα ἐνεστῶτος, οἷον φέρεσθαι δέρεσθαι, ἃ (Cod. καὶ) εἶχε τὴν ρε συλλαβὴν πρὸ τέλους, τῆς ἀρχούσης συλλαβῆς εἰς τὸ ε ληγούσης, — οὕτως καὶ τὸ ἔρεσθαι ἀναδεξάμενον τὸν αὐτὸν χαρακτῆρα προπαρωξύνετο, οὐ τῷ λόγῳ τοῦ ἀορίστου, τῇ δὲ ὁμοιότητι τῆς φωνῆς, — τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ προκειμένου. ὀφείλει γὰρ τὸ λιτέσθαι προπαροξύνεσθαι. τοῦτο γὰρ αἰτεῖ καὶ τὸ νοητὸν καὶ ὁ σχηματισμός, παρὰ τὸ λίτομαι. ἀλλ᾽ ἐπεὶ τὰ εἰς σθαι ἀπαρέμφατα τῷ ε παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ τὸ ι συνεσταλμένον, μὴ ἐπιφερομένων αὐτῷ μήτε δύο συμφώνων μήτε διπλοῦ, παρωξύνετο, ὥσπερ ἔχει τὸ λιπέσθαι, πιθέσθαι, ἰδέσθαι, ἱκέσθαι, οὕτως καὶ τὸ λιτέσθαι παρώξυνεν ἡ παράδοσις, οὐ τῷ λόγῳ τοῦ ἐνεστῶτος πεισθεῖσα, τῷ δὲ τοῦ χαρακτῆρος. παρεκτέταται τὸ κεφάλαιον τῷ Ἡρωδιανῷ. A. Hinc est Et. M. λιτέσθαι.

57. ἡ τετριμμένη ἀνάγνωσις προπαροξύνει τὸ εὐτείχεα, τοῦ λόγου ἀξιοῦντος παροξύνειν, εἴγε τὸ εὐτειχής ὀφείλει ὀξύνεσθαι. τὰ γὰρ παρ᾽ οὐδέτερα δισύλλαβα εἰς ος λήγοντα, μὴ τῷ η παραληγόμενα, συντιθέμενα, εἰς ης λήγοντα, ἀρσενικὰ ὀνόματα ὀξύνεται ἐπιθετικὰ ὄντα, εἶδος εὐειδής, βάθος „ἀγχιβαθὴς δὲ θάλασσα“ (Od. 5, 413). τὸ η παρῃτησάμην διὰ τὸ εὐμήκης, τὴν δισυλλαβίαν διὰ τὸ εὐμεγέθης, τῶν παρὰ τὸ ἔτος ὑπεξαιρουμένων· „ὄτριχας“ γὰρ „οἰέτεας“ ἀνέγνωμεν (Il. 2, 765)· μόνως οὖν εὐτειχής καὶ εὐτειχέα. δευτέρῳ λόγῳ, ὅσοις κυρίοις εἰς ης λήγουσι βαρυτόνοις συνθέτοις παράκειται ἐπιθετικὰ ὀξυνόμενα, Διογένης — αὐτὰρ ὁ διογενής, Πολυνείκης — ἀλλὰ πολυνεικὴς δι᾽ Ἑλένα, Παγκράτης — παγκρατὴς ἀλήθεια (Bacchyl. fr. 20), Εὐρυσθένης — ὁ πλοῦτος εὐρυσθενής (Pind. Pyth. V, 1). εἰ δὴ Εὐτείχης ὄνομα κύριον παρὰ Ἀλκμᾶνι, ὀξύνεται τὸ ἐπιθε-

τικόν. πόθεν οὖν ἡ τετριμμένη βαρεῖα τάσις; δώσομεν ἀφορμήν. τὰ εἰς ος λήγοντα οὐδέτερα συντιθέμενα ἀπ' εὐθείας συντίθεται, ξίφος ἄξιφος· μόνον τὸ τεῖχος καὶ ἀπὸ γενικῆς, τείχεος εὐτείχεος, ἀφ' οὗ τὸ „δῶσι πόλιν Τροίην (l. δῴσι π. Τροίην) εὐτείχεον ἐξαλαπάξαι" (Il. 1, 129). μεταπλασμὸς εὐτείχεα, ὡς πυργοκέρατον πυργοκέρατα.. πάθος παρέλαβον, ἵνα βοηθήσω τῇ τετριμμένῃ τάσει. A. Cod. Πολυνίκης — ἀλλὰ πολυνικὴς διελένα. Quod dedi δι' Ἑλένα Hermanni est, Lobeck. Par. I. p. 180 coniecit Δυςελένα.

75. ἀπὸ λοιγὸν ἀμῦναι: τὸ ἑξῆς ἐστιν ἀπαμῦναι· διὸ οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν. A.

85. τὸ οἱ ἄρθρον ἐστὶ πληθυντικόν· διὸ ἐν τῇ συντάξει ἐγκλιτέον. A. ἐστὶ πληθυντικόν scripsi pro ἐστὶν ἐγκλιτικόν.

87. τὸ αὖ περισπαστέον· δύο γάρ ἐστιν, αὖ καὶ τοί A.

88. ἀρέσθαι: παροξυτονητέον· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος. A.

90. ὁ Ἀσκαλωνίτης ἀπόλυτον καὶ μονοσύλλαβον ἐξεδέξατο τὴν μέ ἀντωνυμίαν· διὸ καὶ ἐγκλιτικῶς ἀνέγνω· οὐ γὰρ πρὸς ἕτερον πρόςωπόν ἐστιν αὐτῷ ἡ διαστολή. καὶ οὕτως ἔχει ἡ ἀμείνων ἀνάγνωσις· κεῖται γὰρ καὶ ὁ δὲ ἀντὶ τοῦ γάρ. A.

95. Νικίας ὑφ' ἓν ἀνέγνω παλιντροπάασθαι, Ἀπολλόδωρος δὲ κατὰ διάλυσιν. ἔφαμεν δὲ περὶ τῆς τοῦ πάλιν συνθέσεως, ὁπότε καὶ περὶ τοῦ παλιμπλαγχθέντας διελαμβάνομεν (Il. 1, 59), ὡς ὅτι τὸ πάλιν ἀεὶ θέλει τοῖς ῥήμασι κατὰ διάλυσιν προςγίνεσθαι. A.

99. ἐκδύμεν: παροξυτονητέον· τὸ γὰρ πλῆρές ἐστιν ἐκδύμεναι, ὁμοίως τῷ „θοῶς ζευγνύμεν ἄνωγεν" (145). καὶ δῆλον ὅτι λείπει τὸ γένοιτο. A.

117. χόλον: οὕτως ὡς λόγον ὁ Ἀσκαλωνίτης. κἀγὼ δὲ συγκατατίθεμαι. A.

123. τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυται φλόξ. Ἀρίσταρχος κατὰ βαρεῖαν τάσιν ἀσβέστη, παρώνυμον ἐκδεχόμενος τοῦ „ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως", ὑγιῶς πάνυ· οὕτως γὰρ ἔχει τὸ ἀνάλογον ἥ τε ἔμφασις τοῦ δηλουμένου, καὶ πολὺς ὁ τοιοῦτος σχηματισμὸς Ὁμηρικός. A. Scripsi οὕτως pro οὐ.

149. παροξυτονητέον τὸ Βαλίον. καὶ εἴρηται περὶ τῶν τοιούτων (B. 495. Aristarch. stud. 278). A.

150. Ποδάργη: εἴτε σύνθετόν ἐστιν εἴτε παρασύνθετον, παροξυτονητέον εἰς ἰδιότητα. Α.

173. στιχός ὡς τριχός, ἀπ' εὐθείας τῆς στίξ. τὸ δὲ ἰῆς περισπῶσιν, καὶ τὸ „ἰῇ ἐν νυκτὶ γένοντο" (Il. 18, 251), οὐκ ἀκολούθως εὐθείᾳ τῇ ἴα βαρυνομένῃ· „οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς" (Il. 4, 437). εἴπομεν δὲ ἤδη περὶ αὐτοῦ (Ζ, 422). Α.

177. υἱι: διὰ τοῦ ι μόνου γράφεται ἡ τελευταία συλλαβή. διὸ προπερισπαστέον ὁμοίως τῷ „Νηληΐῳ υἷι ἐοικώς" (Il. 2, 20). εἰ μέντοι διὰ τῆς ει διφθόγγου ἐγράφετο ἡ τελευταία, περιεσπᾶτο, ἀπ' εὐθείας οὖσα τῆς υἱεύς, ὁμοίως τῷ „υἱεῖ ἐμ' ὠκυμόρῳ" (imo ἐμωκυμόρῳ. Il. 18, 458). Α.

185. Ἀρίσταρχος προπαροξύνει ἀκάχητα· οἱ δὲ ἄλλοι ἀναλογίᾳ πειθόμενοι προπερισπῶσιν. ἐπείσθη δὲ ἡ παράδοσις. Α.

207. ταῦτα μ' ἀγειράμενοι θάμ' ἐβάζετε: ἐπὶ τὴν τα συλλαβὴν ὀξεῖα· ἐγκλιτικὴ γάρ ἐστιν ἡ μέ· ταῦτά με ἀγειρόμενοι. οὕτω καὶ Ἀρίσταρχος. ὁ μέντοι Κρατήτειος Ἑρμείας τὸ ἅμα λέγει ἐγκεῖσθαι. οὕτω δὲ δώσει καὶ διὰ τοῦ θ τὴν γραφήν, οὐκ ἔχουσαν οὕτως. Α.

211. ἄρθεν: Ἀρίσταρχος δασύνει. δεῖ δὲ ψιλοῦν, ὡς ἐπεδείξαμεν ἐν τῇ Α ῥαψωδίᾳ (137), διαλαμβάνοντες περὶ τοῦ „ἄρσαντες κατὰ θυμόν". Α.

224. οὔλων ὡς δούλων· προείρηται δὲ ἡμῖν τὰ τῆς ἀναλογίας (Κ, 134). Α.

234. ὀξύνεται τὸ ὄνομα· τὰ γὰρ εἰς λος ἑτέρῳ λ παραληγόμενα, οὗ τὸ α μὴ προηγεῖται, ὀξύνεται. κιλλός εἶδος χρώματος, ἐν Στεφανοπώλισιν Εὐβούλου „εὔχρων τι κιλλὸν μανθάνεις θερίστριον", πολλός (recte; v. Κ, 134), κυλλός, Ἑλλός ἢ Σελλός, „ἀμφὶ δὲ Σελλοί", σκελλός, Φελλός τὸ προσηγορικόν (cf. περὶ μον. 11, 23). τὸ δὲ Γάλλος καὶ ἄλλος τὸ α ἔχει πρὸ τοῦ λ. ἔτι δὲ τὸ ἄλλος καὶ ὡς ἐπιμεριζόμενον βαρύνεται. Α.

245. ἐγώ περ ἴω: βαρέως τὸ ἴω ῥῆμα δισύλλαβον· ὁ γὰρ πέρ σύνδεσμος. Α.

248. τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν: κατὰ παράθεσιν ἐδεξάμεθα ἐνθάδε τὴν σύν πρόθεσιν διὰ τὴν διαστολὴν τὴν πρὸς τοὺς ἑταίρους. διὸ προπερισπᾶται

τὸ πᾶσι, σὺν τεύχεσι πᾶσι καὶ τοῖς ἑταίροις. ἔστι μέντοι καὶ σύνθετόν ποτε, καὶ τρίτη ἀπὸ τέλους ἔσται ἡ ὀξεῖα ἀπ' εὐθείας τῆς σύμπαντες καὶ αἰτιατικῆς τῆς „σύμπαντας, τοῖς δ' οὔτι δυνήσεαι ἀχνύμενος" (Α, 241). καὶ οὕτως ἀνεγνώσθη τὸ „σύμπασι Πυλίοισι" (Od. 3, 59). καὶ δῆλον ὅτι ἐνθάδε μὲν ἡ γραφὴ διὰ τοῦ μ ἐστί, ἐπεὶ κατὰ σύνθεσιν, ἐν δὲ τῷ „τεύχεσί τε ξὺν πᾶσι" φυλάξει τὸ ν ἑαυτῆς ἡ πρόθεσις διὰ τὴν παράθεσιν. A. Cod. δυνήσεται.

299. πρώονες: ὡς σώφρονες. προείρηται (Ad Θ, 557) A.

305. ἕν ἐστι τὸ ἀνθίσταντο, οὐχὶ ἄντα ἐπίῤῥημα καὶ ἵσταντο, ὥς τινες. A.

ζητῶ περὶ τοῦ τόνου τοῦ ὑποεῖκον, πῶς δεῖ ἀναγινώσκειν. A.

324. ἄχρις: Ἀρίσταρχος ὡς μέχρις ἀνεγίνωσκε, παρ' ὃ καὶ ἐγένετο. ἐκεῖνο δὲ ἔχομεν λέγειν, ὡς τὰ εἰς ις ἐπιῤῥήματα δισύλλαβα βαρύνεται, ὡς ἔχει τὸ ἄνις, ἅλις, μόγις, ἄχρις, αὖθις. ὀξύνεται δὲ τὸ χωρίς καὶ ἀμφίς, διότι μακρὰν ἔσχεν ἤτοι φύσει ἢ θέσει. τὰ μέντοι βαρυνόμενα ἤτοι βραχεῖαν εἶχεν ἢ τὴν κοινὴν καλουμένην, ἥτις ἐδύνατο σχεδὸν βραχεῖα εἶναι. διὸ ἐμάχετο τὸ αὖθις βαρυνόμενον. δοκεῖ δέ μοι ἀποφυγεῖν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶς ἐλέγετο κατὰ τὸ τέλος, αὖθις, αὖθι, αὖθιν. τὸ δὲ τοιοῦτον ἑωρᾶτο καὶ ἐπὶ τοῦ πέρυσι βαρυνομένου. A. V. Eust. h. l. et cf. de αὖθι, ις, ιν, item de πέρυσι, πέρυσιν, πέρυτις Theognost. 161, 32. 163, 10. 18.

372. σφεδανόν: οὕτως ὡς σφοδρόν. προείρηται. A.

390. ἐχρῆν μὲν διὰ τὸ κλιτύας οὐρῆας (οὐρείας?) περισπᾶσθαι τὸ κλιτῦς, ἀνεγνώσθη δὲ κατ' ὀξεῖαν τάσιν ἐν ἐγκλίσει, ὁμοίως τῷ „κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων" (Od. 24, 228). A. σχόλιον. ἐν μέντοι τῇ Ὀδυσσειακῇ προςῳδίᾳ φανερῶς τὸ γραπτῦς περισπᾷ, καί φησιν ὅτι εἴη εἰρηκὼς ὡς καὶ τὸ κλιτῦς δεῖ περισπᾶσθαι. ἀμφίβολος οὖν ἐφ' ἑκατέρων ὁ τόνος· εἰ γὰρ τοῖς ἐνταῦθα εἰρημένοις πεισθείημεν, ἐκεῖνο ἀνθέλκει, εἰ δὲ ἐκείνοις, τοῦτο πάλιν ἀντίχειται. A.

χαράδραι: πρὸ τέλους ἡ ὀξεῖα, ὡς φαρέτραι. προείρηται δὲ τὰ τῆς ἀναλογίας. οὕτως δὲ καὶ Ἀρίσταρχος. A.

415. Ἀμφοτερόν: εἰς διαστολὴν τὸ κύριον ὀξυτόνως

ἀνέγνω ὁ Ἀρίσταρχος ὡς δεξιτερόν· καὶ ἐπείσθησαν οἱ γραμματικοί. περὶ δὲ τῆς τοιαύτης ἀνωμαλίας τοῦ ἀνδρὸς ἐν ἑτέροις ἡμῖν εἴρηται (v. Aristarch. stud. Hom. p. 275). A.

436. τὸν μὲν πρῶτον η̅ ὀξυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον, ἢ ἤδη χείρεσσι. A.

445. τὸ ὃν δὲ εἴτε ἔχει παρέλκοντα τὸν δέ σύνδεσμον, εἴτε ὅμοιόν ἐστι τῷ οἶκον δέ ἀντὶ τοῦ εἰς οἶκον, πάλιν ἐν τῇ συντάξει βαρυτονηθήσεται, ὡς ἐν τῷ „ἀγρὸν δὲ προΐαλλε“ (Od. 15, 370), ὥςτε περισσή ἡ ὀξεῖα ἐν τῇ ὃν αἰτιατικῇ κατὰ τὴν σύνταξιν. A.

468. ἀΐσθων: βαρυτονητέον ὡς ἔσθων. καὶ εἴρηται ὡς ὁμοίως ἐγένετο τῷ βιβάσθων (O, 676). A.

483. Ἀρίσταρχος κατ' ἰδίαν τὸ οὔρεσι καὶ τὸ τέκτονες. Νικίας δὲ συνθέτως ἀνέγνω· οὐκ ἀναγκαῖον δέ (Cf. N, 390). A·

497. ἐμεῦ περὶ μάρναο: δύναται ἀποστρέφεσθαι ἡ περί, ἵνα τοιοῦτό τι ᾖ, περὶ ἐμοῦ μάχου· δύναται δὲ καὶ ὡς ὁ Ἀσκαλωνίτης ἀξιοῖ φυλάσσειν τὸν τόνον, ἀντὶ τῆς ὑπέρ κειμένη, ἀντὶ τοῦ ὑπερμάχει. εἴρηται δὲ περὶ τῶν ἐναλασσόντων προθέσεων ὡς φυλάσσουσι τοὺς αὐτοὺς τόνους (cf. A, 258. v. quaest. epic. p. 90). A.

508. ἀΐοντι: ὡς λέγοντι. οὕτως καὶ Ἀρίσταρχος. A.

542. εἴρυτο: Ἀρίσταρχος τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν ποιεῖ, ὑγιῶς πάνυ· ὁ δὲ Τυραννίων προπερισπᾷ, ἐκ τοῦ εἰρύετο φάσκων αὐτὸ συνηλεῖφθαι. δύναται δὲ τὸ εἴρυτο κλιθὲν ἀπὸ τῶν εἰς μι̅ ὁμοίως τῷ ἐζεύγνυτο, ἤνυτο „θοῶς δέ οἱ ἤνυτο ἔργον“ (Od. 5, 243) ἐκτετάσθαι. οὕτως ἀξιοῦμεν καὶ ἐπὶ τοῦ εἴλυτο (v. M, 286) καὶ εἴρυτο (cf. Δ, 138). A. Cod. εἶλυτο.

548. κατὰ κρῆθεν: Ἀρίσταρχος δισύλλαβον ἐκδέχεται τὴν λέξιν καὶ προπερισπᾷ, ὑγιῶς πάνυ· καὶ οὐκ ἐπίσταται ὁ ποιητὴς τὸ καρή ὀξυνόμενον θηλυκόν, ἀλλ' οἱ ἄλλοι πάντες. καὶ οὐδὲν θαυμαστόν. καὶ γὰρ ἄλλας παραλόγους φωνὰς ἐπίσταται, ἀγνοῶν τὰς πρωτοθέτους αὐτῶν λέξεις. τί οὖν θαυμαστὸν εἰ παρὰ τὸ καρή ὀξυνόμενον καρῆθέν ἐστι καὶ κρῆθεν ἐν συγκοπῇ; τοῦτο δέ φημι, ἐπεὶ καὶ Ἡσίοδος (Scut. 7) οὕτως ἐξεδέξατο εἰπὼν τὸ „τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων“. AV. Cod. κάρη et κάρηθεν (Choerob. 234. b.).

558. ἐςῆλατο: Ἀρίσταρχος καὶ οἱ ἀπ' αὐτοῦ δασύνουσι, Λυσανίας (Πορφύριος V. v. Aristarch. stud. p. 320) δὲ ψιλοῖ, προςνέμων τὸ σ τῷ η. σήλασθαι (Cod. σάλασθαι) γάρ φησι σημαίνειν τὸ ἀποσπᾶν καὶ σαλεύειν. ὁ δὲ σαλεύσας πρῶτος τὸ τεῖχος Σαρπηδών ἐστιν, ὁ δὲ εἰςπηδήσας Ἕκτωρ. φησὶ γοῦν „Σαρπηδὼν δ' ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσιν ἕλχ', ἡ δ' ἕσπετο πᾶσα" (Il. 12, 397)· ἐπὶ δὲ τοῦ Ἕκτορος „ῥῆξε δ' ἀμφοτέρους θαιρούς", εἶτα ἐπιφέρει „ὁ δ' ἔςθορε φαίδιμος Ἕκτωρ" (ibid. 462). ἄμεινον δὲ πείθεσθαι Ἀριστάρχῳ δασύνοντι, ἐκδέχεσθαι δὲ ἡμᾶς οὕτως τὸ ἐςῆλατο, ὅτι πρῶτος ἐφήλατο καὶ ἐπεπήδησε τῷ τείχει. A.

604. Λαόγονον: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· κύριον γάρ. A.

635. εὐρυοδείης: παραγωγὸν ἡγοῦνται τὴν λέξιν, τουτέστι παρολκὴν τῆς ἐπὶ τέλους λέξεως· διὸ ἐψίλωσαν. A.

636. τὸ εὖ οὐ θέλουσι κατ' ἰδίαν προφέρεσθαι, ἀλλ' ἓν ποιεῖν εὐποιητάων, ἐπεὶ καὶ ἐν ἑτέροις φησὶ τὴν δοτικὴν „εὐποιήτῃσι πύλῃσι" (Il. 5, 466) παρωνύμως. κἀγὼ δὲ συγκατατίθεμαι. A.

669. πολλὸν ἀπὸ πρὸ φέρων: τινὲς τὴν ἀπὸ ἀναστρέφουσιν, ἵνα σημαίνῃ τὸ ἄπωθεν, ὥςπερ καὶ ὁ Ἀσκαλωνίτης. εἰσὶ μέντοι οἳ παρολκὴν ἐδέξαντο τῆς πρό, καὶ ἐφύλαξαν τῆς ἀπὸ τὴν προςῳδίαν, ἵνα ᾖ τὸ ἑξῆς ἀποφέρων. οὕτως δὲ καὶ Φιλόξενος ἠξίου, ἐπεὶ πολλή ἐστι παρέλκουσα ἡ πρό· „νώτου ἀπὸ πρὸ ταμών" (Od. 8, 475)· „ἡ δὲ διὰ πρὸ Πηλιὰς ᾖξε" (Il. 20, 276)· „περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν" (699). οὕτως δὲ καὶ ἐγὼ συγκατατίθεμαι. A.

697. φύγαδε μνώοντο: τοῦτο οὐκ ἰσοδυναμεῖ τῷ εἰς φυγήν, ὡς τὸ „ὁ μὲν φύγαδ' αὖθις ὑποστρέψας" (Il. 11, 446)· ἀντὶ γὰρ αἰτιατικῆς οὐ μετὰ τῆς εἰς. διὸ καί τινες ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου ἐστίν, ἤτοι κατὰ μεταπλασμὸν γενομένης τῆς αἰτιατικῆς ποιητικῶς, ὡς σκέπην σκέπα, φυγήν φύγα, ἢ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ἀπ' εὐθείας τῆς φύξ, ὡς Στύξ Στύγα, τοῦ δε ἐνθάδε προέλκοντος. ἢ ἐπίῤῥημά ἐστι ταὐτὸ σημαῖνον τῇ αἰτιατικῇ, ὡς καὶ ἄλλα παραγωγὰ ἐπιῤῥήματα ἰσοδυναμοῦντα τοῖς πρωτοτύποις· „Ἴδηθεν μεδέων" (Il. 3, 276)

„δόρυ δ' ἔκβαλεν ἔκτοσε χειρός“ (Od. 14, 277). ἀλλ' οὖν γε ὡς ἂν ἔχῃ, οὐκ ἐναντιοῦται τὸ τοῦ τόνου· ἤτοι γὰρ δύο τόνοι ἔσονται φύγα δέ, ὡς Οὔλυμπον δέ, ἢ εἷς, ὡς ἄγραδε. τὸ γοῦν „ἅλαδ' ἑλκομενάων“ (Il. 14, 100) δύναται καὶ δύο μέρη λόγου εἶναι, ὡς οἶκον δέ, ἐντελοῦς οὔσης τῆς αἰτιατικῆς, ἢ πάλιν κατὰ παραγωγήν, ὡς ἄγραδε ἅλαδε. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῷ ιθ' τῆς καθόλου (v. quaest. ep. p. 41). A. Pro ἄγραδε priore loco in cod. erat ἀγρόνδε.

769. τὸ τανυήκεας ὡς εὐμήκεας οὕτως ἀνεγνώσθη. εἴπομεν δὲ ἐν ἑτέροις καὶ τὴν ἀφορμήν (N, 391). A.

797. ἱππόκομον: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐνθάδε· ὅταν δὲ ἐπὶ τοῦ κομοῦντος τὸν ἵππον, τότε πρὸ τέλους ἡ ὀξεῖα. προείρηται δὲ περὶ τῶν τοιούτων, καὶ ὡς ἐν τῷ κυπαρισσόκομος καὶ οὐλόκομος προπαροξυνομένοις ἡ κόμη ἔγκειται (N, 132). A.

827. πέφνοντα: ὡς τέμνοντα· οὕτως καὶ Ἀρίσταρχος. ὁ δὲ Τυραννίων παροξύνει ὡς λαβόντα, δεύτερον ἀόριστον ἐκδεχόμενος. οὕτως δὲ καὶ τὴν εὐθεῖαν ὀξύνει „κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων“ (Il. 17, 539), τοῦ Ἀριστάρχου βαρύνοντος. καί μοι δοκεῖ ὁ Τυραννίων λόγῳ ὑγιεῖ χρῆσθαι. εἰ γὰρ πέφνω, πέφνεις, πέφνει οὐ λέγομεν, ὑποτακτικῶς δὲ πέφνω, πέφνῃς, πέφνῃ καὶ „πέφνε γὰρ Ὀθρυονῆα“ (Il. 13, 363) καὶ ἔστι δεύτερος ἀόριστος ὡς ἔλαβε λάβω, λάβῃς, λάβῃ, δῆλον ὅτι ὀφείλομεν καὶ τὴν μετοχὴν ὀξύνειν. ὁ μέντοι Ἀρίσταρχος καὶ τῷ χαρακτῆρι τῆς φωνῆς ἐπείσθη, καὶ οὕτως ἐβάρυνεν. ἐπεὶ γὰρ αἱ εἰς νων λήγουσαι μετοχαί, ἔχουσαι πρὸ τοῦ ν σύμφωνον κατ' ἐπιπλοκήν, ἤτοι ἐβαρύνοντο ἢ περιεσπῶντο, οὐδέποτε δὲ ὠξύνοντο, ὥσπερ ἔχει ἡ τέμνων, κάμνων, πιτνῶν (Cod. πίτνων, perispomenon defendit Lob.), ἐδοκίμαζε καὶ τὴν πέφνων βαρύνειν, οὐχὶ ὀξύνειν. εἰ δέ τις λέγοι διὰ τί γὰρ οὐ περισπᾷ; διδαχθήσεται ἐκ τῆς κλίσεως· οὐ γὰρ πεφνοῦντα ἐροῦμεν ἢ πεφνῶντα ὡς νοοῦντα. οὕτως δὲ καὶ ἡ ι (puto ἴσας v. Apollon. adv. 587) μετοχὴ ἐβαρύνετο τῷ χαρακτῆρι καὶ τῇ ποιότητι τοῦ στοιχείου, οὐ τῇ κλίσει τῇ τοῦ ἐνεστῶτος, ὥσπερ ἀπεδείξαμεν. A.

ΕΙΣ ΤΗΝ Ρ.

5. τὸ πρωτοτόκος, πρὸ τέλους ἡ ὀξεῖα· ἔστι γὰρ δραστικὸν καὶ μὴ ὑποπίπτον τοῖς τρόποις τοῖς προπαροξύνουσιν. τὸ δὲ προπαροξυνόμενον δηλοῖ τὴν πρώτως τεχθεῖσαν. A.

9. ἐϋμμελίαι: καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ὁμοτονεῖ γὰρ τοῖς ἑνικοῖς. τὰ εἰς αι λήγοντα πληθυντικὰ ἐπὶ τῶν εἰς ας καὶ εἰς ης ἰσοσυλλάβως κλινομένων καὶ βραχείᾳ παραληγομένων. A.

37. ἀρητόν: τὰ εἰς τος ῥηματικά, παραληγόμενα τῷ η, ὑπὲρ δύο συλλαβάς, ὀξύνεσθαι θέλει. A.

38. περισπαστέον τὸν ἦ βεβαιωτικόν. A.

40. Φρόντιδι ὡς Ἤλιδι. οὕτως Τυραννίων, καὶ ἐπείσθη ἡ παράδοσις. ὁ μέντοι κανὼν ὀξυτονεῖ τὸ φροντίς· τὰ γὰρ εἰς τις λήγοντα θηλυκὰ δισύλλαβα, μὴ ὄντα ἐπιθετικά, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ σὺν ἑτέρῳ φωνήεντι, ὀξύνεσθαι θέλει, κοιτίς, Προιτίς, φροντίς, οὐτίς τὸ ζῷον παρ' Ἀλκμᾶνι. οὕτως οὖν καὶ φροντίς, εἰ μὴ ἄρα, ἐπεὶ κύριον τοῦτο, καὶ βαρυτονηθήσεται. οὐ μάχεται τὸ πόρτις· καὶ γὰρ χωρὶς τοῦ τ „πόριες περὶ βοῦς ἀγελαίας“ (Od. 10, 410)· μὴ ὄντα ἐπιθετικὰ πρόσκειται διὰ τὸ πότις, ᾧ παράκειται τὸ πότης. A.

65. δηῶν: περισπαστέον, ἐπεὶ καὶ ἐν ἑτέροις λέγει κατὰ διαίρεσιν σὺν τῷ ο „ἔγχεϊ δηΐόων“ (Il. 18, 195). γέγονε δὲ παρὰ τὸ δήϊος· διὸ καὶ σὺν τῷ ι γράφεται τὸ δηϊῶν. A.

91. τὸ ἑξῆς ἐστι καταλίπω. διὸ ἀναστρεπτέον τὴν πρόθεσιν. AB.

110. δίωνται: ὡς λέγωνται. ἔστι δὲ καὶ ἀπὸ τοῦ δίημι ἡ κλίσις παρ' αὐτῷ (v. M, 276. Σ, 162. Ψ, 475). A.

143. περισπαστέον τὸν ἦ, εἴτε θαυμαστικῶς εἴτε βεβαιωκῶς κεῖται. A.

174. ὅς τέ με φῄς: ἀξιοῖ ὁ Ἀσκαλωνίτης ἀναγιγνώσκειν δισυλλάβως ἐπὶ ἀορίστου χρόνου, ὁ μέντοι Ἀλεξίων μονοσυλλάβως ἐπὶ ἐνεστῶτος χρόνου· διὸ καὶ σὺν τῷ ι γράφεσθαι. τοῦτο δὲ ἀπαιτεῖ καὶ ἡ διάνοια. κἀγὼ δὲ συγκατατίθεμαι. διὸ ἐν τῇ συντάξει ἐγκλιτέον· ὀξύνεται γὰρ ἐπὶ ἐνεστῶτος χρόνου. A.

190. μετασπών: ὡς καταλαβών· ἔστι γὰρ δεύτερος ἀόριστος. οὐδεμία δὲ μετοχὴ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, ὅτι μὴ μόνη ἡ ἀέκων, περὶ ἧς ζητοῦμεν. A.

201. ζητεῖ ὁ Ἡρωδιανὸς ἐν τῷ α' ὑπομνήματι τοῦ περὶ παθῶν Διδύμου (cf. Λ, 160) περὶ τοῦ ἆ δειλ', πῶς δεῖ τονίζειν αὐτὸ καί φησι· πολὺ δὲ πρότερον παρὰ τῷ ποιητῇ ἐστι τὸ τῆς ἀναγνώσεως, ἆ δειλ' οὐδὲ τί τοι θάνατος, ἢ ἆ δεῖλ' οὐδέ τι τοι θάνατος. τὸ γὰρ πλῆρές ἐστιν ἆ δειλέ· οὐ γάρ, ὡς οἱ ἐξηγησάμενοι, τοῦ δείλαιε ἀποκοπή· ἐν ἑτέροις γὰρ αὐτὸς λεγει „ἆ δειλώ, τί νυ δάκρυ κατείβετον" (ψ, 86). περιγέγραπται οὖν ἡ ὀξεῖα, εἶτα καὶ ἀνάπαυσις γέγονεν. ἆρά γε οὖν φυλαχθήσεται ἡ ὀξεῖα, ἢ ἐπεὶ περιγέγραπται τὸ φωνῆεν τῆς ὀξείας περιγέγραπται καὶ ὁ τόνος; τὸ κρινόμενον ἐκεῖνο, ἵνα ἐπιστάμενοι ἀναγνῶμεν· ἕν ἐστιν εἰπεῖν, εἰ ἅπαξ περιγέγραπται τὸ φωνῆεν τὸ ἔχον τὴν ὀξεῖαν, ὁ τόνος γενέσθω τῆς προτέρας συλλαβῆς, οὐχὶ τῆς ἐπὶ τέλους. A. Cf. Λ, 441. Cod. in versu Homerico δειλοὶ et δάκρυα κατείβεται.

218. Φόρκυν ὡς βότρυν, ἀπ' εὐθείας τῆς εἰς σ̄ ληγούσης, ἡ μέντοι Φόρκυνα (312) αἰτιατικὴ ἀπ' εὐθείας τῆς εἰς ν̄. τὸ δὲ τοιοῦτον ἴδιον ποιητικῆς. οὐχ ὑγιῶς δὲ ὁ Τυραννίων ἐκτείνει τὸ ῡ, ἐπεὶ εὑρέθη, φησί, καὶ ἡ εὐθεῖα ἐκτεινομένη· „Φόρκυς αὖ Φρύγας ἦγε" (Il. 2, 862)· ἐκεῖ γὰρ τὸ μέτρον κατήπειγεν, ἐνθάδε δὲ οὐδὲν κατεπείγει. A.

324. κήρυκι: διὰ μέτρον συσταλτέον τὸ ρ̄ῡ (v. K, 258). BV.

465. οἱ περὶ Ἀρίσταρχον ἐπίσχειν κατὰ παρατατικόν, οἱ δὲ περὶ τὸν Ἀσκαλωνίτην κατὰ ἀόριστον ὡς λαβεῖν. καὶ ὁ Ἡρωδιανὸς δὲ ἐπίσχειν παροξυτόνως, εἰ μή τις λέγοι ὅτι ἔθος ἐστὶ τῷ ἀορίστῳ συντάττεσθαι τὴν ἐπί. V.

539. καταπέφνων: Ἀρίσταρχος ὡς τέμνων. A.

688. χυλίνδει: Ἀρίσταρχος βαρύνει, ὑγιῶς πάνυ διὰ τὰ κινήματα· „κυλίνδετο" γοῦν φησιν (Od. 8, 81. 11, 598) οὐχὶ ἐκυλινδεῖτο, καὶ „ἡ δὲ κυλινδομένη καναχὴν ἔχε" (Il. 16, 799). διὸ καὶ βαρέως τὴν κυλίνδων ἀναγινώσκομεν· „μέγα κῦμα κυλίνδων" (Od. 5, 296.) A.

ΕΙΣ ΤΗΝ Σ.

7. νηυσὶν ἔπι κλονέονται: ἐπὶ τὰς ναῦς. ἀναστρεπτέον τὴν πρόθεσιν, ὁμοίως καὶ ἐπὶ τοῦ „νηυσὶν ἔπι προέηκα“ (439). A.

39. ἐνθάδε ἐβάρυνεν ὁ Ἀρίσταρχος τὸ Γλαύκη, εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ τοῦ „γλαυκὴ δέ σ' ἔτικτε θάλασσα“ (Il. 16, 34). ἐπὶ δὲ τοῦ Νημερτής τε καὶ Ἀψευδής οὐκ ἐποιήσατο μεταβολὴν τόνου. ἔφαμεν δὲ ἤδη περὶ τῶν τοιούτων (cf. Arist. stud. Hom. 275. sqq.) A.

64. ἀπό: Ἀρίσταρχος φυλάττει τὸν τόνον τῆς προθέσεως. ἔφαμεν δὲ ἐν ἑτέροις (B, 162) ὅτι ἡ ἀπό ἐὰν συντάσσηται τῇ γενικῇ μὴ μεταξὺ πιπτουσῶν λέξεων καὶ σημαίνῃ τὸ ἄποθεν φυλάσσει τὸν τόνον. οὕτως γοῦν ἀνέγνωμεν „ἀπὸ πατρίδος ἄνδρα κατακτάς“ (Il. 13, 696) καὶ „οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος“ (Il. 9, 353)· „καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο“ (Il. 2, 292). προςέθηκα δὲ μὴ μεταξὺ πιπτουσῶν λέξεων διὰ τὸ „ἄπο πλυνοί εἰσι πόληος“ (Od. 6, 40)· οὐ γὰρ ἐπλησίασε τῇ γενικῇ, ἀλλὰ μεταξὺ ἀνεδέξατο λέξεις (cf. quaest. ep. p. 94). A.

68. ἐπισχερώ: ὀξύνεται καὶ σεσημείωται, ὥςπερ καὶ τὸ ἰώ· οὐδὲν γὰρ εἰς ω λῆγον ἐπίρρημα θέλει ὀξύνεσθαι. A.

76. ἀλήμεναι: ὡς παρὰ τὸ βῆναι βήμεναι ἐγένετο, οὕτως καὶ παρὰ τὸ ἀλῆναι ἀλήμεναι· „λαοὺς ἐς τεῖχος ὁμοκλήσας ἀλῆναι“ (Il. 16, 714). ψιλοῦται δὲ καὶ τὸ ἄλη (Il. 13, 408) καὶ πᾶς ὁ σχηματισμός, ἐπεὶ καὶ τὸ θέμα αὐτῶν ἐψιλοῦτο (cf. Λ, 192). A.

77. ὁ Ἀσκαλωνίτης ἀέκηλια, οἷον οὐχ ἥσυχα οὐδὲ εἰρηνικά, ἐπεὶ ἕκηλος ὁ ἥσυχος, ὥςτε στέρησιν αὐτὸν ἐκδέχεσθαι. οὕτως δὲ καὶ Ἀρίσταρχος, οἷον ταραχώδη. ἢ ἀκούσια, ἃ οὐκ ἄν τις ἑκὼν πάθοι. ὁμοίως δὲ καὶ Ἀλεξίων· καὶ ἔχονται τοῦ δηλουμένου. A. Scil. hi omnes non τὰ ἐκήλια, sed τ' ἀεκήλια. Hoc est quod Ariston. dicit πρὸς τὴν συναλοιφήν. Ceterum cod. αὐτῶν pro αὐτόν.

92. πρῶτος ἐμῷ ὕπο δουρὶ τυπεὶς ἀπὸ θυμὸν

ὀλέσσῃ: τὸ ἑξῆς ἐστιν ἀπολέσῃ· διὸ οὐκ ἀναστρεπτέον τὴν ἀπό. τὴν μέντοι ὑπό, ἐπεὶ τὸ ἀκόλουθόν ἐστιν ὑπ' ἐμῷ. εἰσὶ μέντοι οἳ οὐκ ἀνέστρεψαν, ἀλλὰ συνέταξαν τῇ δοτικῇ, δουρὶ ἐμῷ· ἐν ἑτέροις γὰρ οὕτως αὐτὸν εἰρηκέναι „δουρὶ δ' ἐμῷ κτεάτισσα" (Il. 16, 57). A.

100. ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι: τινὲς περιέσπασαν τὸ ἀρῆς, ἵνα σημαίνῃ τὸ βλάβης. οὕτως καὶ ὁ 'Ασκαλωνίτης καὶ ἡμεῖς. τὸ δὲ δῆσεν δισύλλαβον ἐκδεκτέον ποιητικόν, καὶ τὸ ε τοῦ προκειμένου ἐστὶ συνδέσμου. A.

162. δίεσθαι: ὡς τίθεσθαι· τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἔστι γάρ τι δίημι ῥῆμα, παρ' οὗ (sic) καὶ τὸ δίεσαν πληθυντικὸν ὡς ἐτίθεσαν· „αὔτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες" (584) παραιτητέον γὰρ τοὺς οἰομένους πλεονασμὸν εἶναι τοῦ δ καὶ δασύνοντας· διδάσκει γὰρ ἡμᾶς ὁ ποιητὴς καὶ δι' ἄλλης κλίσεως τὸ ἀκόλουθον κίνημα. ὡς γὰρ τίθενται, οὕτως δίενται· „ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται" (Il. 23, 475). ὥσπερ οὖν παρὰ τὸ τίθενταί ἐστιν ἀπαρέμφατον τίθεσθαι, οὕτως καὶ παρὰ τὸ δίενται τὸ δίεσθαι. ἐπίσταται δὲ καὶ ὑποτακτικὸν αὐτοῦ· „τόν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται" (Il. 17, 110. ubi vide). A. Cod. in versu πόλεως.

191. σεῦτο γὰρ Ἡφαίστοιο ΠΑΡΟΙΣΕΜΕΝ ἔντεα καλά: 'Αρίσταρχος ἀναστρέφει τὴν πρόθεσιν πρὸς τὸ μὴ ἀμφιβάλλεσθαι τὸν λόγον, καίτοι τῶν συναλειφομένων μὴ ἀναστρεφομένων, ὡς καὶ 'Απολλώνιός φησιν. ἐπείσθη δὲ ἡ παράδοσις 'Αριστάρχῳ. ὅτι δὲ καὶ ἐν ἄλλοις ἀναγνώσμασιν ὁ ἀνὴρ τοιοῦτος, προείπομεν ἤδη (B, 153 v. quaest. ep. p. 76). A. partim etiam B.

211. ἐπήτριμοι: ὁ 'Ασκαλωνίτης ὀξύνει ὡς πολεμικοί, οὐκ εὖ· τὰ γὰρ διὰ τοῦ ιμος ὑπὲρ δύο συλλαβὰς τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, νόμιμος, σπόριμος. οὕτως καὶ ἐπήτριμος. A.

244. ἔλυσαν ὑφ' ἅρμασιν: ἀντὶ τοῦ ὑπέλυσαν τῶν ἁρμάτων. πῶς οὖν οὐκ ἀναστρέφεται; ὅτι συνήλειπται. A.

266. Τυραννίων παρώξυνε τὸ πίθεσθε, ἀγνοῶν ὅτι μεταγενεστέρων 'Ιώνων ἐστὶ τὰ τοιαῦτα, πιθέσθε, λαβέσθε. V.

319. σκύμνους: σκύμνος ὡς ὕμνος εἰς ἰδιότητα ἀνεγνώσθη. τὸ μέντοι ἀνδρωνυμικὸν ὀξύνεσθαι ἀξιοῖ ὁ 'Ασκαλωνίτης

πρὸς διαφοράν. ὁ μέντοι λόγος συναγωνίζεται τῇ βαρείᾳ τάσει· τὰ γὰρ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου δισύλλαβα μονογενῆ, ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ υ, βαρύνεσθαι θέλει, ὕμνος, κύκνος, λύχνος, Κύθνος. οὕτως ἄρα καὶ σκύμνος. A.

352. δεῖ ὀξυτόνως ἀναγινώσκειν τὸ λιτί κατὰ τὸν κανόνα τοῦ Ἡρωδιανοῦ. πᾶσα δοτικὴ δισύλλαβος ἐπὶ ὀνομάτων ὀξύνεσθαι θέλει, φωτί, παντί, θητί. οὕτως γὰρ καὶ ἐν τῇ Ἰλιακῇ προςῳδίᾳ ἐν τῇ Ψ (254) (cf. Ξ, 387) λέγει ὅτι δεῖ ὀξύνειν κατὰ τοῦτον τὸν κανόνα. οὕτως γὰρ καὶ Ἀρίσταρχος. εἰσὶ δὲ οἳ περισπῶσιν, οὐ καλῶς. εἶτα ἐπάγει οὕτως· παραιτητέον δὲ τὸν Ἀσκαλωνίτην οἰόμενον ἀπὸ τῆς λίς (cod. λῖς) εὐθείας κεκλίσθαι τὴν λιτί δοτικὴν καὶ τὴν λῖτα αἰτιατικήν· οὐ γάρ ποτε ἐμελέτησε τὰ εἰς ις μονοσύλλαβα διὰ τοῦ τ κλίνεσθαι. μεταπλασμὸς οὖν ἐστὶ τῆς λιτῷ δοτικῆς, ὡς ἡ κλαδί τῆς κλάδῳ· καὶ ἡ αἰτιατικὴ λῖτα μεταπέπλασται ἐκ τῆς λιτόν ὡς κρόκα ἐκ τῆς κρόκην. τὸ δὲ παρὰ τῷ ποιητῇ „κάθηράν τε ῥύπα πάντα“ (Od. 6, 93), εἰ μή ἐστι πληθυντικὸν οὐδέτερον, τοῦ προκειμένου μεταπλασμοῦ ἔχεται. οὐχ ὁμότονος δὲ ἐγένετο ἡ λῖτα τῇ λιτόν, ἐπεὶ πᾶσα αἰτιατικὴ εἰς α λήγουσα ἐβαρύνετο, ὑπεσταλμένης τῆς τινά κατὰ ἀόριστον προφοράν. (**Hanc ultimam regulam de accusativo, alibi saepius item prolatam, Θ, 441 dedit cum additamento, ut diceret „nullus accusativus** ἀπαθής, **propter** εὐφυᾶ **et simil.“). A. Transiit in Et.**

375. χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν: τινὲς ὑπόκυκλα, ὡς ὑπότροχα· τὸ μέντοι ἐν τῇ Ὀδυσσείᾳ (4, 131) „τάλαρόν θ' ὑπόκυκλον“ κατὰ σύνθεσιν ἀνεγνωσμένον ἑτέρου ἔχεται σημαινομένου. A.

400. τῇσι παρ': ἔστι μὲν τὸ ἑξῆς παρὰ τῇσι, οὐκ ἀναστρεπτέον δὲ διὰ τὴν συναλοιφήν. A.

410. αἴητον: ὁ Ἀσκαλωνίτης προπαροξύνει ἐκδεχόμενος πλεονασμὸν τοῦ ι, παρὰ τὸ „θάρσος ἄητον ἔχουσα“ (Φ, 395), οἷον ταχὺ καὶ κινητικόν, Πρωτέας δὲ ἐν ἴσῳ τῷ ὡρμημένῳ, παρὰ τὸ ἄω. ἄλλοι δὲ ἐκ παραλλήλου τὸ μέγα, παρὰ τὴν αἶαν τὴν γῆν. ἐγὼ δὲ ἐπιζητῶ τὸ ἄητον πῶς δυνατὸν τρίτην ἀπὸ τέλους ἔχειν τὴν ὀξεῖαν, ἐπιθετικῶς κείμενον. μήποτε οὖν ὀφείλομεν πείθεσθαι τῷ Φιλοξένῳ· φησὶ γὰρ αὐτὸ σύνθετον εἶναι

παρὰ τὸ ἐτός, ὡς θετός, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ καὶ γίνεται ἐτεός. ἐγένετο δὲ καὶ τὸ πληθυντικὸν οὐδέτερον ἐν ἐπιῤῥηματικῇ τάξει, καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς οὐκ ἐτός ἀντὶ μεσότητος τῆς ἐτῶς. τὸ παρὰ μηδενὶ οὖν ὑπαρκτόν, τουτέστι μέγα, ἄετον καὶ ἄητον. καὶ δῆλον ὅτι ἀπολέλυται ὁ τόνος· ὁρᾶται γὰρ σύνθετα τοιαῦτα βαρυνόμενα, ἄῤῥητον, ἄκλητον, ἄκμητον· οὕτως ἄητον. A. Verba ἐν ἴσῳ addidi.

411. δασύνεται τὸ ἀραιαί. A.

458. ἔξω τοῦ ῑ τὸ ἐμωκυμόρῳ· συνεκτέθλιπται γὰρ τῷ ω̄ τὸ ῑ. A.

485. τείρεα: ὡς τείχεα. A.

487. εἰς ἰδιότητα ἅμαξαν ἐψίλωσαν οἱ πρὸ ἡμῶν, ἐπεὶ ἡ συνλοιφὴ οὕτως εὑρέθη „τιλλέσθην ἐπ' ἄμαξαν“ (Ω, 711, cod. ἅμαξαι) καὶ „οἱ δ' ὑπ' ἀμάξῃσιν (Ω, 782, cod. αἱ), ὥςπερ καὶ τὸ ἅλυσις ἐκ τοῦ ἐναντίου ἐδασύνθη εἰς ἰδιότητα. Ἀττικοὶ μέντοι οἱ νεώτεροι τὴν ἅμαξαν δασύνουσιν, ἴσως διὰ τὸν σχηματισμὸν καὶ διὰ τὸ φιληδεῖν τῇ δασείᾳ· ἔνθεν παρ' αὐτοῖς καὶ ἡ συναλοιφὴ διὰ δασέος, καθημαξευμένα. AD.

501. ἵστωρ: ἀπὸ τοῦ εἴδω εἴσω ἵστωρ, ἐλλείψαντος τοῦ ε̄, ἐπεὶ τῷ ῑ τὸ σ̄τ̄ ἐπεφέρετο, ὡς ἐν τῷ ἱστῶ ἱστίον ἵστημι. ὅθεν καὶ δασύνεται, ἐπεὶ τὸ ῑ πρὸ τοῦ σ̄τ̄ μόνου δασύνεται. πρόςκειται τὸ μόνου, ἐπεὶ τὸ Ἴστρος ψιλοῦται. A. Cod. ἴστωρ.

506. τὸ ἀμοιβηδίς κατ' ὀξεῖαν τάσιν· εἴρηται δὲ περὶ τῶν εἰς δ̄ῑς̄ ληγόντων ἐπιῤῥημάτων (puto ad Ξ, 463). A.

519. ὑπολίζονες: προπαροξυτονητέον. πρόδηλον κἀκ τοῦ παρακειμένου οὐδετέρου „οὐδὲν ὄλιζον ἕξομεν“ (Cod. --μαι), εἴ γε ὁμοτονεῖ τοῖς οὐδετέροις ἀεὶ τὰ ἀρσενικὰ κατὰ τὸ τέλος κατὰ τὴν ἡμετέραν διάλεκτον, ἑνὸς ἀντικειμένου τοῦ ἕν διὰ τὸ μὴ δύνασθαι περισπωμένην ἐπὶ βραχείας εἶναι. τὰ δὲ παραδείγματα ἄφθονα ἐπὶ πάσης καταλήξεως ἐχούσης παρασχηματισμὸν οὐδετέρου, μέλας μέλαν, τάλας τάλαν, πᾶς πᾶν, εὐμήκης εὔμηκες, ταχύς ταχύ, φίλος φίλον, σώφρων σῶφρον. ὅθεν εἰ οὕτως ἀνέγνωμεν „οὐδὲν ὄλιζον ἕξομεν“, καὶ τὸ ὀλίζων βαρύνειν ὀφείλομεν. καὶ γὰρ οὐδέποτε τοῖς εἰς ω̄ν̄ ὀξυνομένοις ὀνόμασι παράκειται οὐδετέρου παρασχηματισμός, τοῖς μέντοι βαρυνομένοις, σῶφρον, τλῆμον. εἰ δὴ παράκειται τὸ ὄλιζον, δῆλον ὅτι καὶ τὸ

ἀρσενικὸν βαρύνεται. ἐσχημάτισται δὲ συγκριτικῶς κατὰ πάθος. παρὰ γὰρ τὸ ὀλιγώτερος κατὰ δεύτερον τύπον (v. E. Gud. s. χάῤῥων) τὸ ὀλιγίων μὴ εἰρημένον συγκριτικῶς, ὑπερθετικῶς δὲ ἐν τῷ ὀλίγιστος, ἐξέπιπτε. τρίτος τύπος ὁ διὰ δύο σσ, ὀλίσσων· τὰ δὲ δύο σσ μετέπεσεν εἰς τὸ ζ, καὶ ἀπετελέσθη τὸ ὄλιζον. οὕτως οὖν ἐσχηματίσαμεν καὶ τὸ μεῖζον, λέγω δὲ κατὰ τὴν αὐτὴν τροπὴν τῶν στοιχείων. A.

521. ἐκτατέον τὴν πρώτην συλλαβὴν τοῦ ἀρδμός, ἐπεὶ καὶ τὸ ἄρδω ἔχει ἐκτεινόμενον τὸ α· „τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν“ (Ar. Eq. 96. 114). οὐχ ὅσα μέντοι ἐν ῥήμασιν ἔκτασιν ἔχει, καὶ ἐν ὀνόμασιν· παρὰ γὰρ τὸ ἄσσω καὶ κατάσσω (i. e. ἄγνυμι v. Hes. ἄσσει κατάσσει et ib interprtt.) καὶ μέλλοντα τὸν ἄξω καὶ προςτακτικὸν τὸ „ἆξον δὴ ἔγχος Διομήδεος“ (Il. 6, 306) ἡ ἀξίνη συστέλλει τὸ α, παρά τε τὸ ἀρῶ καὶ ἀρῶμαι ἐκτεινόμενον συστέλλομεν ὄνομα Ἄρην „πισσοχωνίας Ἄρην“ Κρατῖνος. A. — Haec ultima sic scribebantur: παρά τε τὸ ἀρῶ καὶ ἀρῶμαι ἐκτείνομεν ὄνομα, et mox πισσοχονίας. De πισσοχωνία et loco Cratini dixerunt Bergk. comm. 521 et Mein. Cratin. p. 228. Sed quod viri doctissimi Ἄρης scribunt, ut ipse Ares πισσοχωνίας dictus fuerit a Cratino, id, quod videam, non certum est. Quare accusativum tenui. In E. M. p. 140, 29 a Meinekio commemorato legimus inter derivationes vocabuli: ἢ παρὰ τὸ ἀρῶμαι, ἵν' ᾖ ἀάρης καὶ ἄρης. οὕτως Ἡρωδιανὸς καὶ Ἀπολλώνιος. Hoc fortasse sic expediri potest: Herodianus dixerat τὸ ἀρῶ καὶ ἀρῶμαι, quo significaret usum tantummodo ferre ἀρῶμαι (ut ὕπνῳ καὶ καμάτῳ ἀρημένος) volueratque Ἄρην esse τὸν βλαπτικόν. Qui hoc tradiderunt male intellecta commemoratione passivi fecerunt ἀάρης ut esset a passivo ὁ μὴ βεβλαμμένος.

538. δαφοινεόν: ὀξύνεται· ἐπὶ γὰρ τῶν εἰς ος ὀνομάτων ὁ πλεονασμὸς τοῦ ε φυλάσσει τὴν ἐπὶ τέλους ὀξεῖαν, κενός κενεός, ἀδελφός ἀδελφεός. A.

547. τέλσον: βαρυτόνως ὡς μέτρον. ἐγένετο δὲ παρὰ τὸ τέλος ἐν ὑπερθέσει τοῦ σ καὶ προςόδῳ τοῦ ν. A. V. ad N, 707

570. τὸ λίνον κατὰ βαρεῖαν τάσιν προενεκτέον, ὅτι ἂν σημαίνῃ, εἴτε τὴν λινῆν ἐσθῆτα, εἴτε καὶ ἐπὶ τῆς χορδῆς τάσ-

σοιτο, εἴτε καὶ αὐτὸ τὸ λεπτὸν νῆμα, εἴτε σημαίνοι εἶδος ὕμνου, ὥςπερ καὶ ἐνθάδε, ὡς παιὰν καὶ διθύραμβος. A.

580. ἐρύγμηλον: ὡς βέβηλον. τὰ γὰρ διὰ τοῦ ηλος ὑπὲρ δύο συλλαβὰς προςηγορικὰ ἢ κύρια προπαροξύνεσθαι θέλει, κάμηλος καὶ φάσηλος, Στύμφηλος· τὰ μέντοι ἐπιθετικὰ ὀξύνεσθαι μὲν θέλει, ὅτε παρασχηματισμὸν ἔχει θηλυκοῦ, σιγηλός, ὑψηλός, ἀπατηλός, μὴ οὕτως δὲ ἔχοντα βαρύνεσθαι, βέβηλος, κίβδηλος, κάπηλος. εἰ δὴ καὶ τὸ ἐρύγμηλος οὐκ ἔχει θηλυκόν, δῆλον ὅτι ὑγιῶς βαρυτονηθήσεται καὶ οὐ δεόντως αὐτὸ Τυραννίων ὀξύνει. ἐγένετο δὲ παρὰ τὸ ἐρύγω, ἔνθεν παρατατικὸς „ἤρυγεν ἑλκόμενος ἄλικι" (Il. 20, 404), ἐρύγηλος, καὶ ἐν πλεονασμῷ τοῦ μ ἐρύγμηλος. A. Transiit in Et.

584. τὸ ἐνδίεσαν παρὰ τὸ δίεσθαι, ὅ ἐστι διώκεσθαι· „τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον" ἀντὶ τοῦ ἐδιώχθην (Il. 22, 251). σημαίνει δὲ τὸ ἐπώτρυνον. εἴρηται δὲ ὅτι κλίσις ἐστὶ τοῦ δίημι τὸ ἐνδίεσαν (Σ, 162). καὶ οὐ προςεκτέον τῷ Ἀσκαλωνίτῃ δασύνοντι τὸ ι καὶ πλεονασμὸν τοῦ δ (Cod. ι) δεχομένῳ. AV.

ΕΙΣ ΤΗΝ Τ.

4. εὗρε δὲ Πατρόκλῳ περικείμενον: τινὲς ἀνέστρεψαν τὴν περί, ἵν' ᾖ περὶ Πατρόκλῳ κείμενον, ἐπεὶ καὶ ἐν ἑτέροις ἔφη (284) „ἀμφ' αὐτῷ χυμένη", τῇ δοτικῇ συντάξας τὴν πρόθεσιν, οὐ τῇ μετοχῇ· ἡμῖν δὲ δοκεῖ, ὥςπερ ἔτι καὶ τοῖς πλείοσι καὶ τῷ Ἀσκαλωνίτῃ, ἓν εἶναι τὸ περικείμενον· ἔμφασις γὰρ μείζων νοεῖται. A.

10. τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο: ἀναστρεπτέον τὴν πρόθεσιν· ἔστι γὰρ παρ' Ἡφαίστου. A.

26. εὐλάς: ὡς αὐλάς. εὐλή γὰρ ὡς αὐλή. τὰ γὰρ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ, διφθόγγῳ παραληγόμενα, ὀξύνεσθαι θέλει, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως· „οὐλὴν μὲν πρῶτον" (Od. 24, 331), αὐλή, ἀπειλή, ὠτειλή. οὕτως καὶ εὐλή. τὸ μέντοι „στέρφ᾽ δ' ἔχεν οὔλας" (Od. 3, 441), λέγω δὲ ἐπὶ

τῶν κριθῶν, ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. προςέθηκα δὲ εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως διὰ τὸ δείλη βαρυνόμενον· ἐτυμολογεῖται γὰρ παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλῃ. A. In fine fuit ἕλῃ δεειλῃ. v. e. g. sch. β, 167. (K, 466.)

56. Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον ἔπλετο, σοὶ καὶ ἐμοί, ὅτε νῶΐ περ ἀχνυμένω κῆρ θυμοβόρῳ ἔριδι μενεήναμεν: τὸν ἦ σύνδεσμον περισπαστέον· ἔστι γὰρ διαστατικός, ἀρκτικός, τῆς κλητικῆς ἀνάπαυσιν λαβούσης. εἰσὶ μέντοι οἳ ἐνέκλιναν αὐτὸν καθ' ὑπερβατὸν συντάσσοντες τῷ περ, ἵνα τὸ ὅλον τοιοῦτον ᾖ· ἄρτι τοῦτο ἀμφοτέροις ἔπλετο ἄρειον ἤπερ ὅτε ἡμεῖς ἀχνύμενοι μενεήναμεν. οὐχ ἔστι δέ, ἀλλὰ ὡς εἴπομεν, ἵνα ᾖ ἐρώτησις· Ἀτρείδη, ἆρά τι κρεῖσσον ἐκ τῆς ἔριδος ἐγένετο ἡμῖν; A. ἄρτι — εἴπομεν addidi sumtis verbis ἄρτι — μενεήναμεν ex B. Praeterea post διαστατικὸς addidi ἀρκτικός, propter idem schol. B. quod hoc est: ὁ Ἡρωδιανὸς τὸν ἦ σύνδεσμον περισπᾷ· ἔστι γὰρ ἀρκτικὸς τῆς κλητικῆς ἀνάπαυσιν δεχομένης. τινὲς δὲ καθ' ὑπερβατὸν αὐτὸν ποιοῦντες συντάσσουσι τῷ ὅτε νῶΐ περ, ἵνα τὸ ὅλον τοιοῦτον ᾖ· ἄρτι — μενεήναμεν. Denique Ἀτρείδη scripsi pro Ἀττική (video fore qui hic ἀρκτική scribendum fuisse dicat, non supra inserendum ἀρκτικός) et τι κρεῖσσον pro τις κρείσσων.

62. ἐμεῦ ἀπομηνίσαντος: ὁ μὲν Ἀσκαλωνίτης ὡς ἀποφοιβήσαντος. καὶ οὕτως ἔχει ἡ παράδοσις.

80. τὸ ὑββάλλειν ψιλωτέον· ἔστι γὰρ Αἰολικόν (cf. I, 6), ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ κ' τῆς καθόλου. A.

81. τὸ ἀκοῦσαι παροξυτονητέον· ἔστι γὰρ εὐκτικόν. A.

87. ἠεροφοῖτις: προπερισπαστέον ὁμοίως τῷ πρωθῆβις καὶ πολῖτις. πειστέον δὲ μᾶλλον τοῖς παρὰ τὸν ἀέρα ἐκδεξαμένοις τὴν σύνθεσιν γεγονέναι (non ab ἔρα ἡ ἐροφοῖτις, ut ex sch. BV. intelligitur), ἐπεὶ ἀοράτως φοιτᾷ· ἀέρα γὰρ λέγει τὸ σκοτεινὸν κατάστημα· „ἠέρι γὰρ κατέχοντο“ (Il. 17, 368) καὶ „ἀὴρ παρὰ νηυσὶ βαθεῖ' ἦν“ (Od. 9, 144). A.

90. θεὸς διὰ πάντα τελευτᾷ πρέσβα Διὸς θυγάτηρ Ἄτη: ὁ μὲν Ἀσκαλωνίτης περισσὴν ἡγεῖται τὴν διὰ

πρόθεσιν· εἶναι γὰρ τῷ ἑξῆς θεὸς πάντα τελευτᾷ. Δίδυμος δὲ ἡγεῖτο σημαντικὴν αὐτὴν εἶναι τοῦ διόλου καὶ μὴ παρέλκειν ὥσπερ ἐπὶ τοῦ διηλίτης ὁ δι' ὅλου ἁμαρτάνων. οὐ προσεκτέον δὲ τοῖς ὑφ' ἓν ἀνεγνωκόσιν (sc. θεόςδια). A.

107. ψευστήσεις ὡς κρατήσεις. A.

209. ἰείη ψιλῶς. καὶ παράκειται τὸ ἰέναι ἀπαρέμφατον. V. ?

270. διδοισθαι: οἱ μὲν βαρύνουσιν ὡς Αἰολικόν, ἀπὸ τοῦ δίδοιμι (cf. Ahrens. 137), δίδοις, δίδοισθα ὡς τίθησθα· οἱ δὲ περισπῶσιν ἐπέκτασιν εἶναι οἰόμενοι ἀπὸ τοῦ διδοῖς. B. φησὶ γοῦν πολλὰ διδοῖ. V. Cf. ad I, 164.

335. ἀκαχησθαι: προπερισπᾶται ὡς λελυπῆσθαι· οἱ δὲ προπαρώξυναν ὡς Αἰολικὸν ἐν παρατατικῇ σημασίᾳ, ἐπεὶ οἶδε καὶ τὴν ἀκαχήμενος μετοχὴν τοιαύτην, οἷς καὶ ἐπείσθη ἡ παράδοσις. A.

355. ταρφειαί: Ἀρίσταρχος ἀνέγνω ὡς πυκναί. οὕτως δὲ καὶ ὁ Ἀσκαλωνίτης· καὶ ἐπείσθη ἡ παράδοσις. A.

384. πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς: τὴν οἷ ἀντωνυμίαν περισπᾷ ὁ Ἀσκαλωνίτης, καί φησι κεῖσθαι δοτικὴν ἀντὶ γενικῆς· οἱ δὲ βαρυτονοῦσιν (apparet legisse hos πειρήθη δὲ οἷ et δέ οἱ αὐτοῦ)· ἔστι μὲν οὖν καὶ ἐγκλιτικὴν εὑρέσθαι τὴν οἷ ἀντὶ γενικῆς κειμένην, ὥσπερ ἐπὶ τοῦ „οἱ δέ οἱ ἐβλάφθησαν“ (Il. 23, 387), ἔστι δὲ καὶ ὀρθοτονουμένην ἀντὶ αἰτιατικῆς, ὥσπερ ἐπὶ τοῦ „νεῦσ' ἐπὶ οἷ καλέσας“ (Od. 17, 330), καὶ „προτὶ οἷ δὲ λαβὼν ἔντερα“ (Il. 20, 418)· οὐ μέντοι ποτὲ ἐν τῇ καλουμένῃ ἐπιταγματικῇ συντάξει. ἄλογον γὰρ τὸ τοιοῦτον ὥστε ἐπιφέρεσθαι τὴν αὐτοῦ γενικὴν καὶ τὴν οἷ προκεῖσθαι δοτικὴν ὑπάρχουσαν, ὅπερ οὐχ ὑγιές· ἀεὶ γὰρ ταῖς πρωτοτύποις ὁμόπτωτος συντάσσεται ἡ αὐτοῦ ἀντωνυμία. πειστέον οὖν Ἀριστάρχῳ γράφοντι πειρήθη δ' ἕο αὐτοῦ. A.

402. ἐπεί χ' ἑῶμεν πολέμοιο: ὅτι (sic) δασυντέον τὸ ἑῶμεν. ἔστι γὰρ ἄδην ἔχωμεν, κορεσθῶμεν. A. Nisi potius Aristonici est.

ΕΙΣ ΤΗΝ Υ.

17. ἦ: ἐρωτηματικὸς ὁ σύνδεσμος καὶ ἅπαξ εἰλημμένος κατὰ μίαν διάνοιαν. διὸ περισπαστέος. τοῦτο δέ φημι πρὸς τὰ τοιαῦτα „ἦ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα“ (Od. 11, 171), „ἦὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐσσι“ (Od. 1, 175). ἐν γὰρ ταῖς τοιαύταις συντάξεσιν ὁ μὲν πρότερος ἤ ἐγκλίνεται, ὁ δὲ δεύτερος περισπᾶται. A. Cod. ἐστί pro ἐσσί et ubique ἤ.

30. δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ: ὑπέρμορον: Ἀριστοφάνης ὡς ὑπέρβιον, ἓν μέρος λόγου ποιῶν, καὶ ὁ Ἀσκαλωνίτης, ἐπεὶ ἀντὶ ἐπιῤῥήματος τοῦ ὑπερμόρως παρείληπται ὁμοίως πληθυντικῷ τῷ „ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος“ (Il. 2, 155). καὶ ὃν τρόπον „οὐ μὲν καλὸν ἀτέμβειν“ (Od. 21, 312) ἀντὶ τοῦ καλῶς ἐστί καὶ τὸ πληθυντικὸν „οὐ μὲν καλὰ χολὸν τόνδ' ἔνθεο“ (Il. 6, 326), οὕτως καὶ τὸ προκείμενον ἑνικῶς καὶ πληθυντικῶς εἰς σύνταξιν παρελεύσεται ἐπιῤῥήματος, „δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ“ καὶ „ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος“. ἐντελῶς δὲ ἐν τῇ Β (155) περὶ τῆς προςῳδίας διελάβομεν. διὸ νῦν παρίημι. ἐκεῖνο μέντοι ὑπομνήσω, ὡς ὅτι δύναται καὶ τοῦτο καὶ τὸ ἐν τῇ Ὀδυσσείᾳ (1, 35), λέγω δὲ τὸ „ὡς καὶ νῦν Αἴγισθος ὑπέρμορον“ κατὰ διάλυσιν ἀναγινώσκεσθαι ὁμοίως τῷ „μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος“ (336), ὥςπερ ἤδη ἀπεφηνάμην. A. Cod. in versu Hom. ὥς κε νῦν.

53. θεῶν ἐπὶ Καλλικολώνῃ: Ἡρόδικος βαρέως ἀνεγίνωσκεν ὡς τρέχων, μετοχὴν ποιῶν· ὁ μέντοι Ἀρίσταρχος περιέσπα, λέγων οὕτως καλεῖσθαι τὸν τόπον θεῶν Καλλικολώνη, ὥςπερ καὶ Ἀχαιῶν λιμήν. οὕτως δὲ ἐχούσης τῆς ἱστορίας περισσὴ ἡ τοῦ Ἡροδίκου ἀνάγνωσις. ἡ μέντοι ἐπί πρόθεσις κατὰ ταύτην τὴν ἔννοιαν ὤφειλε προηγεῖσθαι τοῦ λόγου, ὥστε εἶναι ἐπὶ θεῶν Καλλικολώνῃ· διὸ ἐτόλμησάν τινες ἀναστρέψαι. οἱ μέντοι περὶ τὸν Ἀσκαλωνίτην οὐκ ἀνέστρεψαν, ἀλλὰ συνέταξαν τῇ ἑξῆς λέξει. καὶ οὕτως ἐπείσθη ἡ παράδοσις, λέγω δὲ τῇ συντάξει τῆς δοτικῆς. καὶ γὰρ διὰ τῶν ἑξῆς (151) Καλλικολώνης φησίν οὐ προςνείμας τὸ θεῶν „οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης“. A. Cod. οὐδ' ἑτέρως ἐκάθιζον.

70. Ἥρῃ δ' ἀντέστη: ὑφ' ἓν τὸ ἀντέστη προενεκτέον· δοτικῇ γὰρ συντάσσεται ὡς „Λητοῖ δ' ἀντέστη" (72), τὸ δὲ ἄντα, ὅπερ ἐστὶν ἐξ ἐναντίας, γενικῇ· „ἄντα δ' Ἐνυαλίοιο", „ἄντα δ' ἄρ' Ἡφαίστοιο" (69, 73). A.

72. σῶκος ἐριούνιος Ἑρμῆς: Τυραννίων ἀξιοῖ ὀξύνειν, ἵνα ἀποφύγῃ τὸ κύριον βαρυνόμενον „ὦ Σῶχ' Ἱππάσου υἱέ" (Il. 11, 450), ὥςπερ ἐπὶ τοῦ Λεῦκος, Γλαῦκος (potius λευκός, γλαυκός). οὐκ ἔστι δὲ ὅμοιον τοῖς προκειμένοις κοινοῖς ἐπίθετον, ἀλλὰ ἴδιον τοῦ Ἑρμοῦ, ὥςπερ καὶ τοῦ Ἀπόλλων βαρυνόμενον τὸ Φοῖβος. διὸ βαρυτονητέον ὁμοίως καὶ αὐτῷ τῷ κυρίῳ. εἰσὶ δὲ οἳ ἀξιοῦσι καὶ καθότι σύνθετόν ἐστι βαρύνεσθαι αὐτό. ἐκ γὰρ τοῦ σάοικος γεγενῆσθαι τὴν κρᾶσιν· οὕτω δὲ δώσουσι καὶ προςκείμενον τῷ ω τὸ ι, τῆς παραδόσεως οὐχ οὕτως ἐχούσης. τὰ μέντοι εἰς κος λήγοντα δισύλλαβα οὐ παρεσχηματισμένα εἰς γένος θηλυκόν, φύσει μακρᾷ παραληγόμενα, βαρύνεσθαι θέλει, οἷον φῶκος, θῶκος· οὕτως σῶκος. σεσημείωται τὸ σηκός. A. Addidi οὐ ante παρεσχηματισμένα.

105. καὶ δὲ σέ φασι: ὁ Ἀσκαλωνίτης ὠρθοτόνησε τὴν ἀντωνυμίαν, τὸν δὲ σύνδεσμον ἀντὶ τοῦ γάρ παραλαβών. καὶ οὕτως ἔχει τὰ τῆς ἀναγνώσεως καὶ τῆς διανοίας. AB.

114. τὸ ἄμυδις ψιλωτέον καίτοι παρὰ τὸ ἅμα γενόμενον, ἐπεὶ Αἰολικὸν χαρακτῆρα ἀνεδέξατο. A. v. ad I, 6. (Quod ad hunc versum in scholiis BV dicitur Herodianum ἡ δ' ἄμυδις στήσασα accepisse pro ἣ δὴ sine dubio falsum est. Quae deinde in eisdem sunt de ἄμυδις Herodianum referunt, et re et fere etiam verbis. Sed meliora ea habemus ad I, 6.)

152. ἀμφὶ σέ: ὀρθοτονητέον τὴν ἀντωνυμίαν ὁμοίως τῷ „ἀμφὶ σέ Πηλέος υἱέ" (2). AB. Cod. Πηλέως.

171. ἑέ: ἡ ἓ τοῦ τρίτου προςώπου ἀντωνυμία ἐπλεόνασε κατ' ἀρχήν, ὥςπερ ἐπὶ τοῦ ἑόν, ἑοῦ, ἑῷ. ἅμα δὲ τῷ πλεονασμῷ μετέβη καὶ τὸ πνεῦμα. A. Ω, 134.

188. ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα σεῦα: ἀναστρεπτέον τὴν πρόθεσιν. ἔστι γὰρ τὸ ἑξῆς ἀπὸ βοῶν. ἔνιοι δὲ συντάσσουσι τὴν ἀπὸ τῷ σεῦα. AB.

221. ἕλος κάτα βουκολέοντο: τὸ ἑξῆς ἐστι καθ' ἕλος. διὸ ἀναστρεπτέον τὴν πρόθεσιν. A.

234. Ἀρίσταρχος μὲν ἓν ποιεῖ τὸ ἀνηρείψαντο τουτέστι τὸ ἀνήρπασαν. εἰσὶ μέντοι οἳ τὸν ἂν σύνδεσμον παρέλαβον, ὧν ἐστι καὶ Ἀπολλώνιος ὁ τοῦ Θέωνος, τοιοῦτόν τι ἐκδεχόμενος· ἀνήρπασαν ἂν αὐτὸν οἱ θεοὶ τῷ Διὶ χάριν τοῦ κάλλους, εἰ ἔζη. τοῦτο δέ φησιν ἐπεὶ οὐδαμοῦ παρειςάγει αὐτὸν ὁ ποιητὴς τῷ Διὶ διακονούμενον· ἡ γὰρ Ἥβη βλέπεται καὶ ὁ Ἥφαιστος. πρὸς δὲ ταῦτα ὑγιῶς ἀπεφήναντό τινες, καὶ ὁ Ἀσκαλωνίτης, ὡς ὅτι ὁ ποιητὴς τῷ ἠρείψαντο οὐδέποτε ἐχρήσατο ἄνευ τῆς προθέσεως. δεύτερον ὡς εἰ ἦν ὁ ἂν σύνδεσμος ἐχρῆν τινα αἰτίαν ἐπενεχθῆναι, ὥςπερ ἐπὶ τοῦ „οὐδ' ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοί, εἰ μὴ Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο παῦσεν ἀριστεύοντα μάχης" (Il. 11, 504). πῶς δὲ ἐν ἑτέροις περὶ τῆς ἁρπαγῆς τοῦ Γανυμήδους ὑπόμνησιν ποιεῖται, ὁπότε ὁ Διομήδης λέγει „τῆς γάρ τοι γενεῆς ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς δῶχ' υἷος ποινὴν Γανυμήδεος" (Il. 5, 265); ἀλλά, φησίν, οὐ διακονεῖται εὐλόγως, πρῶτον μὲν ὅτι τὰ πάντα συμπόσια δύο ἐστίν, ἓν μὲν ἐν τῇ A, ἐν ᾧ ὁ Ἥφαιστος παρειςάγεται διακονούμενος ἕνεκα γέλωτος, ἄλλο δὲ ἐν τῇ Δ, ὅπου ἡ Ἥβη κοινῶς οἰνοχοεῖ πᾶσι θεοῖς. ἔχομεν δὲ ἡμεῖς προςθεῖναι τὸ κυριώτατον, φημὶ δὴ τὸ τῆς συντάξεως. ὁ γὰρ καὶ σύνδεσμος ἐναντίος ἐστὶ τῷ ἄν. ὁ μὲν γὰρ τίθησι, μᾶλλον δὲ συμπλέκει, ὥςπερ ἐπιζητῶν καὶ ἕτερα συμπλέξαι· ὁ δὲ ἂν σύνδεσμος ἀναιρεῖ τὰ παρῳχημένα. A. In versu Homer. Cod. κέλοντες pro κελεύθου. Praeterea ὡς δὲ ἐν ἑτέροις ubi dedi πῶς δὲ ἐν ἑτέροις.

249. ἐπέων δὲ πολὺς νομός: ὀξυτόνως, ἵνα σημαίνηται ὡς ἐν τῇ συνηθείᾳ ἡ νέμησις· τοῦτο γὰρ ἐμφάσεως μείζονός ἐστι σημαντικόν. A.

251. περὶ τοῦ ἡ τοῦ ὑποτασσομένου τῷ τί καὶ τῷ ἐπεί ἐδηλώσαμεν ἐν τοῖς πρὸ τούτων ὡς τῷ τί ὑποτασσόμενος μὲν ἐγκλίνεται, τῷ δὲ ἐπεὶ περισπᾶται. AB. In B ὀξύνεται pro ἐγκλίνεται.

327. θεοῦ ἀπὸ χειρὸς ὀρούσας: δύναται ἡ ἀπὸ καὶ ἀναστρέφεσθαι, ἵνα ᾖ ἀπὸ θεοῦ, καὶ φυλάσσειν τὸν τόνον, ἵν' ᾖ ἀπορούσας. ὅπερ καὶ βέλτιον. A. ?

356. δέ μοι: ἄμεινον ἐνθάδε ἀπόλυτον λαμβάνειν τὴν ἀντωνυμίαν, τουτέστιν (?) ἐγκλιτικήν. A.

357. τοσσουςδ᾽: ὁ ᾽Ασκαλωνίτης προπερισπᾷ, ἐπεί, φησί, κατὰ δεῖξιν λέγεται, καὶ τὸ τοσσῆςδ᾽ ὑσμίνης (359). ᾽Αρίσταρχος μέντοι καὶ οἱ πλείους παρολκὴν ἐξεδέξαντο τοῦ δε, καὶ ἐπείσθη ταύτῃ τῇ ἀναγνώσει ἡ παράδοσις. οὐκ ἀδόκιμος δὲ καὶ ἡ τοῦ ᾽Ασκαλωνίτου. A.

362. στιχός: ὡς τριχός, ἀπ᾽ εὐθείας τῆς στίξ· καὶ γὰρ στίχες λέγει καὶ στίχας. τὸ δὲ εἶμι προπερισπαστέον. σημαίνει γὰρ τὸ πορεύσομαι. AB.

390. ἕν ἐστι τὸ ἐνθάδε, ὡς καὶ ὁ ᾽Ασκαλωνίτης. ἔστι γὰρ δεικτικὸν τῆς ἐν τόπῳ σχέσεως, ὥςπερ καὶ τὸ „ἐνθάδε κ᾽ αὖθι μένων" (Od. 5, 208), ὥςτε πρὸ τῆς δε συλλαβῆς ἡ ὀξεῖα. A.

406. ἐρυγόντα: ὡς φαγόντα (scripserit potius φυγόντα)· ἔστι γὰρ δευτέρου ἀορίστου, καὶ ὡς ἔφυγε φυγόντα, οὕτως ἤρυγεν (404) ἐρυγόντα. A. ? v. Σ, 580.

418. προτὶ οἷ δ᾽ ἔλαβε: περισπαστέον τὴν οἷ. ἔστι γὰρ πρὸς ἑαυτόν. A.

452. περισπαστέον τὸν ἦ. ἔστι γὰρ βεβαιωτικός, ἴσος τῷ δή. τὸ δὲ ἀνύω βαρυτόνως ἀναγνωστέον. ἔστι γὰρ ἐνεστὼς ἀντὶ μέλλοντος. A.

464. εἴ πως εὖ πεφίδοιτο: ἡ εὖ ἀντωνυμία ἐν τῇ συντάξει ἐνέκλινε τὸν τόνον· ἔστι γὰρ ἀπόλυτος. οὐχ ὃν τρόπον δ᾽ οἴεται ὁ ᾽Ασκαλωνίτης τὸ πῶς πάντως ὀξυτονηθήσεται, ἐπεὶ ἤδη ἐμελέτησε καὶ ἄλλων ἐγκλιτικῶν ἐπιφερομένων τὸ πω καὶ τὸ πως τοῦτο μὴ πάσχειν. „οὔ πως ἔστ᾽ (Cod. ἐτ᾽) ᾽Αγέλαε διοτρεφές" (Od. 22, 136), „μή πως με προϊδών" (Od. 4, 396), „μή πω μ᾽ ἐς θρόνον ἵζε διοτρεφές" (Il. 24, 553), „οὔ πω μίν φασι φαγέμεν" (Od. 16, 143). οὕτως οὖν καὶ τὸ „εἴ πως εὖ πεφίδοιτο" οὐκ ἀναγκαστικὴν ἕξει τὴν ἐπὶ τοῦ πως ὀξεῖαν. ὁ μέντοι ᾽Αρίσταρχος γενόμενος κατὰ ταύτην τὴν προςῳδίαν τοῦτο μόνον ἀπεφήνατο, ἐγκλίνοντα δεῖν τῷ τόνῳ καὶ δασύνοντα λέγειν τὴν τρίτην συλλαβήν· σημαίνει γὰρ εἴ πως αὐτοῦ. A. quaest. ep. p. 129.

485. ῾Ρίγμον: ὡς ὅρμον, εἰς ἰδιότητα· τὸ γὰρ εἰς γμος

λήγοντα πάντα ὠξύνετο, ἀγμός, ψυγμός, λυγμός. δοκεῖ δὲ τὸ ὄγμος ἀντικεῖσθαι. A. Hoc canoni inclusit ad Λ, 68.

497. βοῶν ὑπὸ πόσσ' ἐριμύκων: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· ἔχει γὰρ σύνταξιν πρὸς τὴν ἐπιφερομένην δοτικὴν τὴν ποσσίν, ὁμοίως τῷ „ὣς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὤρνυτ' ἀελλής“ (Il. 3, 13). A.

ΕΙΣ ΤΗΝ Φ.

16. κελάδων: βαρυτονητέον τὴν μετοχήν· κελάδοντος γὰρ ἡ γενική, καὶ ἡ αἰτιατικὴ κελάδοντα „πὰρ ποταμὸν κελάδοντα“ (Il. 18, 576), οὐ κελαδοῦντα. περὶ δὲ τοῦ ὀξύνεσθαι τὸ ἐπιμίξ εἴπομεν ἤδη πολλάκις (v. Ξ, 60). AB.

38. ὁ 'Ασκαλωνίτης ἐνθάδε γενόμενος ἀξιοῖ ψιλοῦσθαι τοὺς ὄρπηκας, ἐπεί, φησί, παρὰ τὸ ὀρούειν ἐγένετο, ἐπιλαθόμενος ἑαυτοῦ· ἐν γὰρ ταῖς 'Οδυσσειακαῖς προςῳδίαις φησίν, ὅσα ὀνοματικῶς σχηματίζεται ἀπὸ ψιλῶν ῥημάτων, ταῦτα δασυνθήσεται, ὡς ἀπὸ τοῦ ὀρούει ὅρπηξ. γελοῖον δὲ τὸ τοιοῦτον. ἄμεινον οὖν ἐστιν ἐκεῖνο λέγειν, ὡς ἐπεὶ τὸ α καὶ τὸ ε καταλήγοντα εἰς τὸ ρ ἑπομένου τοῦ π δασύνεσθαι ἤθελεν, ὡς ἔχει τὸ ἅρπη, ἁρπάζω, ἁρπαλέος, ἑρπετόν, ἑρπύζω, Ἅρπυια, καὶ τὸ ὅρπηξ τούτοις ἐξομοιοῦντές τινες ἠθέλησαν δασύνειν, οἷς οὐκ ἐπείσθη ἡ παράδοσις, ἀλλὰ τῇ ἐτυμολογίᾳ· παρὰ γὰρ τὸ ὄρω ἐν πλεονασμῷ φησι (sc. Herodianus) τοῦ π γεγενῆσθαι τὸ ὄνομα. A.

57. φυγὼν ὑπὸ νηλεὲς ἦμαρ: ἔφαμεν ὅτι ἐὰν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως κέηται μὴ γίνεσθαι ἀναστροφήν, ὥςπερ ἐνθάδε. A.

92. μοι. ἄμεινον ἀπολύτως ἀναγινώσκειν. πρὸς γὰρ τίνα ἡ διαστολή; A. At vero ad hanc quaestionem ita hoc loco ad manum est responsio, ut putes observationem non ad hunc versum pertinere.

101. παροξυτονητέον τὸ πεφιδέσθαι ὁμοίως τῷ „εὖ δ' οἴκαδ' ἱκέσθαι“ (Il. 1, 19)· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος. AB.

110. ἀλλ' ἐπί τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή: Ἀρίσταρχός φησι τὴν ἐπί ἀναστρέψαι, ἵνα σημαίνῃ τὸ ἔπεστιν, ὁμοίως τῷ „σοὶ (Cod. σῷ) δ' ἔπι μὲν μορφὴ ἐπέων" (Od. 11, 367). οἱ δ' ἐφύλαξαν τὸν τόνον τῇ ἐμοὶ ἀντωνυμίᾳ συντάσσοντες αὐτήν, ὥςτε τὸ ἑξῆς εἶναι ἀλλὰ καὶ ἐπ' ἐμοί· καὶ οὕτως ἔχει τὰ τῆς ἀναγνώσεως. A.

123. ἀκηδέες: ὡς εὐσεβέες, ἵνα αὐτοὶ οἱ ἰχθύες ἔχωσι τὸ ἐπίθετον, τουτέστι μηδεμίαν φροντίδα ἔχοντες. A. Sc. alii ἀκηδείς pro ἀκηδές adverbiali putes potestate vel si Victoriano fides („οὐ κηδόμενος, οἱ δὲ ὡς νηλεὲς ἐπὶ τοῦ Λυκάονος") pro vocativo.

141. Πηλεγόνος: ὡς Σαρπηδόνος. οὕτως καὶ ὁ Ἀσκαλωνίτης, ἐπεί, φησίν, ἡ εὐθεῖα ὀξύνεται, Πηλεγών. τὸ δὲ τοιοῦτον οὔπω ἐχυρόν, ἐπεί τοι ἐπιζητήσει τις διὰ τί γὰρ ἡ εὐθεῖα οὐ βαρύνεται; ἄμεινον οὖν οὕτως λέγειν, ὡς ἐκ τῆς κλίσεως πολλάκις καταλαμβανόμεθα τοὺς τόνους τῶν εὐθειῶν. τὰ δὲ εἰς γων λήγοντα ἀρσενικὰ ὑπὲρ δύο συλλαβὰς τότε μὲν θέλει ὀξύνεσθαι ὁπότε διὰ τοῦ ο̄ κλίνεται, τότε δὲ βαρύνεσθαι ὁπότε διὰ τοῦ ω ἢ διὰ τοῦ ντ. τοῦ μὲν οὖν προτέρου Παφλαγόνος, Λαιστρυγόνος, Πηλαγόνος „Πηλαγόνων ἐλατῆρα" (Callimachi, v. Et. M. s. v. cl. Steph. Byz. s. Πηλαγονία), ἀρηγών, λέγω δὲ ἐπὶ τοῦ συμμάχου ἀρσενικῶς, „ἀρηγόνος ἡμετέροιο" („ignoti poetae" Lob. Ai. p. 166). οὕτως οὖν καὶ τὸ Πηλεγών ὀξυτονηθήσεται· Πηλεγόνος γάρ, καὶ Πηλεγόνα ἡ αἰτιατική, „ὃς τέκε Πηλεγόνα" (v. 159). τὰ δὲ ἄλλως κλιθέντα βαρύνεται, Οὐκαλέγων, Πελάγων (e. g. Δ, 295), Σαλάγγων, „μέσφα Σαλάγγωνος ποταμοῦ" (Apollon. Rhod. IV, 337). τὸ δὲ καταπύγων βαρυνόμενον καὶ διὰ τοῦ ο̄ κλιθὲν εἶχεν ἀφορμὴν τὸ παρώνυμον εἶναι τοῦ κατάπυγος, ὡς καὶ τοῦ ἄπειρος τὸ ἀπείρων. A. Addidi ἀρσενικὰ post λήγοντα, et scripsi Πηλαγόνος Πηλαγόνων ἐλατῆρα pro Πηλεγόνος Πηλεγόνων ἐλατῆρα. — Cum dixit ἐπὶ τοῦ συμμάχου ἀρσενικῶς praeter femininum simul opinor de proprio cogitat Ἀρήγων Ἀρήγοντος Strab. l. VIII. p. 343.

142. ὀξυτονητέον τὸ Ἀκεσσαμενός, ἵνα ὄνομα γένηται· οὕτως δὲ ἔχει καὶ Δεξαμενός, Τισαμενός. A.

155. δολιχεγχέας: ὡς εὐειδέας· παραιτητέον γὰρ τοὺς ἄλλως ἀναγινώσκοντας. Α.

159. τὸν δέ μέ φασι γείνασθαι: ὁ Ἀσκαλωνίτης ἐκ πλήρους λαμβάνει τὴν ἀντωνυμίαν καὶ ὀρθοτονεῖ. εἰσὶ μέντοι οἱ ἀπολύτως ἀνέγνωσαν. ὅμοιον δέ ἐστι τὸ ἐν Ὀδυσσείᾳ (ι, 215) „μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι". καὶ οὐδέν ἐστι τὸ κωλῦον. Α.

162. ἁμαρτῇ: περισπαστέον καὶ σὺν τῷ ι γραπτέον κατὰ τὸν χαρακτῆρα τῶν εἰς τη ληγόντων ἐπιῤῥημάτων. καὶ διελέγχει ἡ παράδοσις τὸν Ἀρίσταρχον ἔχουσα τὸ ι. Α. v. E, 656.

163. ἐπεὶ περιδέξιος ἦεν: ἄμεινον συνθέτως ἀναγινώσκειν ὡς ἐπιδέξιος καὶ ἀμφιδέξιος. Α.

174. ἀλτ' ἐπί οἱ μεμαώς: ἡ οἱ ἀντωνυμία ἀπόλυτός ἐστι καὶ ἐγκλιτική· διὸ τῆς ἐπὶ προθέσεως τὸ τέλος ὀξύνουσι. Α. Cf. quaest. ep. p. 119.

186. φῆσθα: εἴτε ἐνεστῶτα σημαίνει, προπερισπασθήσεται, εἴτε δεύτερον ἀόριστον (v. Δ, 222. Ρ, 174). ὁμοίως τούτῳ δὲ μόνῳ διαλλάξει τῷ σὺν τῷ ι γράφεσθαι τὸ η ἐπὶ τοῦ ἐνεστῶτος. Α.

222. ἔασον: ψιλῶς· ἔστι γὰρ ἄφες, ἀπὸ τοῦ ἐῶ περισπωμένου κείμενον. Α.

232. τὸ ὀψὲ δύων ἐν δυσὶ μέρεσι λόγου. εἰ γὰρ ἦν σύνθετον, διὰ τοῦ ι ἐγράφετο ὀψιδύων, ὡς ὀψιμαθής, ὀψιτέλεστον, οὕτως δὲ καὶ τὸ ὀψὲ δύοντα Βοώτην (Od. 5, 272). ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῷ ιθ' τῆς καθόλου. Α. cf. μον. λ. p. 26. Ubi recte scriptum ὀψιτέλεστον, quod hic dedi pro ὀψιτέλευτον.

244. διῶσεν: προπερισπαστέον. ἤδη δὲ προείπομεν περὶ τῶν τοιούτων ῥημάτων, λέγω δὲ τῶν κατὰ τοὺς παρῳχημένους, τίνα τε τῶν συντεθειμένων φυλάσσει τὸν τόνον καὶ τίνα ἀναδίδωσιν (e. g. Α, 611. Γ, 426). Α.

262. τινὲς ἐδάσυναν τὸ προαλεῖ, παρὰ τὸ ἅλλεσθαι ἐκδεχόμενοι τὸν σχηματισμόν. ἄμεινον δὲ ψιλοῦν, ὡς καὶ ὁ Ἀσκαλωνίτης, φάσκων ἀπὸ τοῦ ἀλίζεσθαι γεγενῆσθαι, τουτέστιν ἀθροίζεσθαι, ὥστε σημαίνεσθαι τὸ κατωφερῆ. καὶ γὰρ τοῦ χωρίου ἐστὶ τὸ ἐπίθετον. τοῦ δὲ φθάνει ἐκτατέον τὸ α διὰ τὸ

μέτρον ὥςπερ καὶ Ἀρίσταρχος ἠξίου. A. Ergo χῶρος ἐν ᾧ προαλίζεται τὸ ὕδωρ? In Apollonii lex. explicatur προαλεῖ τῷ κατωφερεῖ καὶ προαλίζοντι τὸ ὕδωρ. Ad ipsius Herodiani sententiam quod attinet vereor ne in loco nostro lacuna sit post κατωφερῆ vel ante ὥςτε: ? μᾶλλον δὲ προαλίζοντι ὥςτε? Ut significet a passivo ductum minus loco quam aquae aptum esse epitheton. Aut plura perierunt, in quibus fortasse dictum fuit, certe hic non derivari posse ab illo χειμέριον ἀλὲν ὕδωρ (Ψ, 420): nunc enim non de aqua dictum esse sed de loco.

276. ἦ με ψεύδεσσιν ἔθελγεν: ὡς βέλεσσιν· οὐ γὰρ ἐπίκειταί τινι ἐπιθετικῶς. ἔστι δὲ αὐτοῦ τὸ ἑνικὸν „ψεῦδος δ' οὐκ ἐρέω" (Od. 3, 20).

279. Ad ὃς ἐνθάδε γ' ἐτραφ' ἄριστος hoc scholion est in A, in quo refertur de Herodiano: παροξυτονητέον. τὸ γὰρ τέλειόν ἐστιν ἐτράφη. καὶ μέμνηται αὐτοῦ ὁ Ἡρωδιανὸς ἐν τῇ ἀρχῇ τῆς Ξ (21), ὅπου διαλαμβάνει περὶ τοῦ „διχθάδι' ἢ μεθ' ὅμιλον". καὶ λέγει ὅτι συναλοιφὴν πέπονθε διὰ τοῦ η. δεῖ οὖν διὰ τοῦ γ γράφειν, ὅς ἐνθάδε, εἶτα ἐτράφ' ἄριστος, οὐχ ὡς οἱ πολλοὶ τέτραφ' ἄριστος, ἀπὸ τοῦ τ ποιοῦντες τὴν ἀρχὴν τοῦ ῥήματος καὶ προπαροξύνοντες. A.

301. δαϊκταμένων: ἄμεινον κατὰ διάλυσιν ὡς ἀρηϊ κταμένων (—φ X, 72), οὐδὲν γὰρ πλέον ἐκ τῆς συνθέσεως. AB.

318. ἰλύος: τὸ υ ἐκτέταται διὰ τὸ μέτρον· τὸ γὰρ ἀκόλουθόν ἐστιν ἰλύος ὡς ἰσχύος. A.

323. τυμβοχοῆσ': τὸ πλῆρες τυμβοχοῆσαί ἐστι [χυτοὺς γὰρ τοὺς τάφους]. οὕτως καὶ Ἀρίσταρχος καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους [τοιοῦτον δέ ἐστιν, οὐκ ἔσται αὐτῷ χρεία χώσεως τάφου]. Κράτης μέντοι γενικὴν πτῶσιν ἐξεδέξατο. καὶ δῆλον ὅτι ἐβάρυνεν ὁμοίως τῷ οἰνοχόης. ἄμεινον δὲ ἐν τῷ ῥήματι τὸ πρᾶγμα παραλαμβάνειν ἢ ἐν τῷ ὀνόματι. A.

327. τὸ αἱρῶ περισπώμενον δασύνεται σημαῖνον τὸ καταλαμβάνω· διὸ καὶ ἐνθάδε δασυντέον. A.

331. τὸ κυλλοπόδιον Ἀρίσταρχος προπαροξύνει, ᾧ καὶ ἐπείσθημεν ὥςπερ ἤδη προείπομεν ἐπὶ τοῦ ὀλβιόδαιμον (Il. 3, 182) γενόμενοι. A.

336. προπερισπαστέον τὸ κῆαι· ἔστι γὰρ ἀπαρέμφατον. A.

341. ἰάχουσα ὡς φέρουσα. A.

428. εἴρηται (v. Γ, 97. A, 421. K, 105) ὅτι τὸ νῦν ἀεὶ παρὰ τῷ ποιητῇ περισπᾶται, κἂν παρέλκῃ, χωρὶς εἰ μὴ μέτρον κωλύοι, ὡς ἐπὶ τοῦ „δεῦρό νυν ἢ τρίποδος“ (Il. 23, 485) καὶ „ἐκτελέει ὅσα που νυν ἐέλπεται“ (Il. 10, 105). A.

446. ἡ περί τῷ ῥήματι συντάσσεται· διὸ φυλακτέον τὸν τόνον. A. Versus nunc est ἤτοι ἐγὼ Τρώεσσι πόλιν περὶ τεῖχος ἔδειμα. Herodianus fortasse dativum habuit: cuius memoria in A sic servata: γράφεται πόλει ὡς Ἀριστοφάνης.

467. δηριαάσθων: τὸ δεύτερον α ἐκτατέον· τοῦτο γὰρ ὁ χαρακτὴρ βούλεται. A. Item e. g. εὐχετάασθαι ex charactere probat.

467. ὀνείδειον: ὡς τέλειον καὶ ὄρειον. οὕτως γὰρ ἐκπίπτει καὶ τὰ τῆς παραγωγῆς καὶ τὰ τοῦ τόνου, εἰ μὴ τὸ α παραλήγοι ἐν τῷ εἰς ος λήγοντι οὐδετέρῳ ἢ δύο σύμφωνα, ὧν τὸ μὲν ληκτικὸν εἴη τῆς πρώτης συλλαβῆς, τὸ δὲ ἀρκτικὸν τῆς δευτέρας. οἷον ἕλος ἕλειος· διὰ τῆς ει διφθόγγου ἡ παραγωγὴ καὶ προπαροξύνεται· οὐ γὰρ ἦν ἐν τῷ οὐδετέρῳ τὸ α· τέλος τέλειος, ὄρος ὄρειος. οὕτως ὄνειδος ὀνείδειος. παρεφυλάξατο (sic A) δὲ τὰ δύο σύμφωνα διὰ τὸ Ἀργεῖος καὶ τὸ ἑρκεῖος, καὶ τὸ α, ἐπεὶ φιλεῖ διὰ τοῦ ι γράφεσθαι ἡ παραγωγή, πελάγιος, ἅγιος, Θάλπιος. AV. In A πάγιος pro ἅγιος. Hoc est in V., probatum Lobeckio Aj. p. 119. De Ἀργεῖος inspice etiam B, 269. Ceterum, ne hoc desideretur, extrema pars in V sic scripta est cum malo additamento de propriis: παρῃτησάμεθα δύο σύμφωνα διὰ τὸ ἕρκος ἕρκιος, τὸ α διὰ τὸ πέλαγος πελάγιος, ἄγος ἅγιος. τὸ γὰρ Ἀργεῖος οὐκ ἀπὸ οὐδετέρου παρῆκται, ἄλλως τε καὶ ἔχει δύο σύμφωνα.

493. πέλεια: ὡς Μάλεια καὶ Θάλεια· τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. ἔστι δὲ καὶ πελειάς ὀξυτόνως, ἔνθεν τὸ „αἱ δὲ βάτην τρήρωσι πελειάσι“ (Il. 5, 778). καὶ ἔστιν ὅμοιον τῷ μαῖα καὶ μαιάς. A.

507. προτὶ οἶ: τὴν ἀντωνυμίαν ὀρθοτονοῦσιν, οὐ διὰ τὴν πρόθεσιν ἀλλ' ὅτι εἰς σύνθετον παρελαμβάνετο. V. Quaest. ep. p. 119.

539. προπαροξυτονητέον τὸ ἀμύναι, ἔστι γὰρ εὐκτικόν, ὅπως ἀμύνειεν. οἶδα δὲ καὶ τὴν ἀλάλκοι γραφήν. A.

575. Ἀρίσταρχός τινάς φησι γράφειν κυνυλαγμόν. οὕτω καὶ Ζηνόδοτος. καὶ Στησίχορος δὲ ἔοικεν οὕτως ἀνεγνωκέναι· φησὶ γοῦν „ἀπειρεσίοιο κυνυλαγμοῖο“. οὐχ ὁρῶ δέ τι πλέον ἐκ τῆς συνθέσεως. ὁ γὰρ ὑλαγμὸς καὶ χωρὶς τοῦ προςκεῖσθαι τὸ ὄνομα ἰδίως ἐπὶ κυνῶν ἀκούεται, ὡς ὁ χρεμετισμὸς ἐπὶ τῶν ἵππων. ἄλλως τε τὰ εἰς γμος ῥηματικὰ μετὰ προθέσεως πέφυκε συντίθεσθαι τῆς αὐτῆς τάσεως μενούσης, μετ' ἄλλου δὲ οὐδενός, παιγμός ἐμπαιγμός, κηρυγμός ἐκκηρυγμός, καὶ τὸ ὑλαγμὸς οὖν παρὰ τὸ ὑλάσσειν γεγονὸς οὐ συντεθήσεται μετ' ἄλλου μέρους λόγου. σύνδεσμος οὖν ἐστιν ὁ κέν. BV.

583. τινὲς τὸ ἤδη χρονικὸν ἐκδέχονται καὶ παροξύνουσιν, οὐκ εὖ. ἄμεινον γὰρ περισπᾶν ἐκ παραλλήλου τοῦ συνδέσμου κειμένου. A.

588. σὺ δ' ἐνθάδε πότμον ἐφ' ἕψεις: Νικίας ἀναστρέφει τὴν πρόθεσιν, οὐκ εὖ. προείπομεν δὲ περὶ τῶν τοιούτων προθέσεων ὡς οὐ θέλουσιν ἀναστρέφεσθαι· καὶ σημειούμεθα ἀναγκαίως ἀναστραφεῖσαν τὴν „στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν“ (Il. 18, 191).

ΕΙΣ ΤΗΝ Χ.

28. ἄστρασιν: Ἀρίσταρχος ὡς πατράσιν. ἄμεινον δὲ προπαροξύνειν, ὥσπερ καὶ τοῖς πλείοσιν ἔδοξε καὶ Φιλοξένῳ, ἵν' αὐτῆς τῆς πτώσεως, λέγω δὲ τῆς δοτικῆς, μεταπλασμὸν λάβωμεν. ὅτι γὰρ κατὰ πτῶσιν γίνονται μεταπλασμοὶ ἐξουσίᾳ ποιητικῇ δεδήλωταί μοι ἐν ἑτέροις. ὃν οὖν τρόπον ἡ ἐγκάτοις ἔγκασιν ἐγένετο „ἔγκασι φωτός“ (Λ, 438) καὶ οὐκ ἀναγκαζόμεθα ἑνικὴν εὐθεῖαν ἀκόλουθον ἐπιζητεῖν, ἥ τε προβάτοις πρόβασιν ἥ τε πετάλοις πέταλσιν, οὕτως ἄστροις ἄστρασιν, ἐπειςελθόντος τοῦ α ἵνα συστῇ ἡ λέξις. A. Cf. E. M. ἔγκασιν.

41. τοσσόνδε: πρὸ τέλους ἡ ὀξεῖα. ἓν γάρ ἐστι μέρος λόγου. A.

51. τὸ ὀνομάκλυτος ὡς τοξόκλυτος· οὕτως δὲ καὶ Ἀρίσταρχος. ἐν μέντοι τῇ Ὀδυσσείᾳ (19, 183) κατὰ παράθεσιν ἀναγνωστέον „ἐμοὶ δ' ὄνομα κλυτὸς Αἴθων". ἰδίᾳ συστῆσαι γὰρ αὐτοῦ βούλεται τὸ ὄνομα, ἐπεί τοι ἔσται κρεμάμενος λόγος. εἴπομεν δὲ ἐν τοῖς πρὸ τούτου βιβλίοις (Il. 10, 109), πότε τὸ κλυτὸς κατὰ τὸ τέλος συντιθέμενον φυλάσσει τὸν τόνον καὶ πότε ἀναδίδωσιν. A.

59. πρὸς δ' ἐμέ: οὕτως ὀρθοτονητέον. A.

67. τὸ ὠμῆσται Ἀρίσταρχος ὡς ἀθληταί, Τυραννίων δὲ ὡς κομῆται. ἔφαμεν δὲ ἐν τῇ Λ (454) ἐντελῶς περὶ τῆς προσῳδίας ὡς ἐπεκτράτησεν ἡ Ἀριστάρχου. A.

123. ἵκωμαι: τινὲς ὡς φιλῶμαι ἀναγινώσκουσιν, ἵνα τὸ ἱκετεύσω σημαίνῃ. οὐκ ἀναγκαῖον δὲ ἐναλλάσσειν τὸν τόνον· καὶ γὰρ βαρυνόμενον ταὐτὸν ὑπισχνεῖται καὶ ἀκόλουθόν ἐστι μέσῳ δευτέρῳ ἀορίστῳ ὁριστικῷ τῷ „τὴν ἱκόμην φεύγων" (Il. 14, 260). ὡς οὖν ἐλιπόμην λίπωμαι οὕτως ἱκόμην ἵκωμαι. A.

246. περισπαστέον τὸν ἦ σύνδεσμον· ἀδύνατον γὰρ τῷ ἤ συνδέσμῳ ἑπόμενον αὐτὸν ὀξύνεσθαι. A.

261. συνημοσύνας: δασυντέον. σημαίνει δὲ τὰς συνθήκας ἀπὸ τοῦ εἰς ταὐτὸν ἀφεῖναι τὰ τῆς διανοίας· παρὰ τὸν ἥσω οὖν ἧμων τί ἐστι καὶ ἥμονος ἡ γενικὴ (cf. Ψ, 886), παρ ἣν τὸ ἡμοσύνη. οὕτως δὲ εἶχε καὶ μεθημοσύνη (N, 108. 121). A. Citatur huius loci prior pars ex Ἡρωδιανοῦ Ἰλιακῇ προσῳδίᾳ in Orionis Etym. p. 150, 24, unde ἀφεῖναι recepi pro ἐφεῖναι, cum praesertim item ἀφεῖναι in eadem re supra etiam scriptum habeamus, ubi de συνώμεθα explicabatur, N, 381.

285. ἄλευαι: προστακτικῶς ἀναγινώσκειν δεῖ· διὸ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. εἰρωνείᾳ δὲ τοῦτό φησιν. A.

347. κατὰ συστολὴν τὸ χρέα ἀνεγνώσθη ὥςπερ καὶ ἐν τῇ συνηθείᾳ. ἐκτείνει δὲ ὁ Τυραννίων. ἀλλ' οὐδέποτε ὁ ποιητὴς χρέα εἶπεν. A, ut videtur, ad συνηθείᾳ, reliqua ex V. Herodianum produnt. (cf. Λ, 385. Δ, 109).

356. τὸν ἦ σύνδεσμον περισπαστέον. ἔστι γὰρ βεβαιωτικός.

410. τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιος ὡς εἰ ἅπασα Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης: τινὲς περιέργως διὰ μόνου τοῦ ι γράφοντες ἀποδιδόασιν ὡς αὐτῇ

ἄπασα (cf. Apollon. pron. 70). οὐκ οἶδε δὲ ὁ ποιητὴς οὔτε τὴν ῑ (ἵ) οὔτε τὴν σφεῖς. ἔστιν οὖν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ (10, 419) „σοὶ μὲν νοστήσαντι, διοτρεφές, ὣς ἐχάρημεν ὡς εἴ τ' εἰς Ἰθάκην ἀφικοίμεθα". A. Cod. ὧδε χωρῆσαι pro ὣς ἐχάρημεν et ἀφίκοιτο.

473. γαλόῳ τε καὶ εἰνατέρες: πρὸ τέλους ἡ ὀξεῖα ὁμοίως τῷ εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι (Γ, 122: ubi vid.). αἱ γὰρ εἰς ω λήγουσαι δοτικαὶ βαρύτονοι συνεμπίπτουσαι πληθυντικαῖς εὐθείαις συνεμπίπτουσι καὶ κατὰ τὸν τόνον, τῷ λιπόνεῳ οἱ λιπόνεῳ. A. Eust. h. l. καὶ ὅρα τὸ γαλόῳ πρὸ μιᾶς ἔχον τὸν τόνον ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται. Inserui ὁμοίως — δάμαρτι.

εἰνατέρες ὡς Δημητέρες· οὕτως πάντες· καὶ τὰ τῆς ἀναλογίας ἐπικρατεῖ οὕτως ἔχοντα. ὡς ἐδείχθη. A.

474. ὀρθοτονητέον τὴν σφίσιν· εἰς γὰρ σύνθετον ἡ μετάληψις. ἔφαμεν δὲ ὡς οὐκ ἀναστρέφει τὰ τοῦ λόγου. A. quaest. ep. p. 115. c. 119.

ΕΙΣ ΤΗΝ Φ.

37. τὸ παρπεπιθόντες ὡς καταλαβόντες. A.

70. ἀκήδεις: ἄμεινον βαρύνειν ὡς ἐνόεις τῆς ἀρχούσης συσταλείσης ποιητικῶς. ὡς γὰρ τὸ ἤκουσα ἄκουσα οὕτως καὶ τὸ ἠκήδεις ἀκήδεις. A.

73. οὐδέ με: ἀπόλυτος ἡ ἀντωνυμία, διὸ ἐγκλιτικῶς ἀναγνωστέον. A.

135. δασέως τὸ εἶνυον (in καταεῖνυον)· ἀπὸ γὰρ τοῦ εἰνύω ἐστὶ θέματος, ὃ παρῆκται παρὰ τὸ ἕω δασυνόμενον. (ἔν τισι δὲ καταείλυον τουτέστιν εἶλουν. Ἀρίσταρχος δὲ καταείνυσαν. cf. schol. ξ, 522.) A. ?

137. οὕτως Ἄϊδος δέ, οὐχ Ἄϊδος δῶ, ὁ Ἡρωδιανός φησιν ἐν τῷ ιθ' τῆς καθόλου. A.

160. οἷσι μάλιστα κηδεός ἐστι νέκυς: τινὲς ἐβάρυναν ὥςτε εἶναι γενικήν. ἄμεινον δὲ ὀξύνειν, ἵνα ᾖ ῥηματικὸν ἀπὸ

τοῦ κηδεύω. τὰ γὰρ εἰς ος λήγοντα ὀνόματα, παρὰ ῥῆμα γινόμενα, καθαρεύοντα καὶ τῷ ε παραληγόμενα ὀξύνεσθαι θέλει, φωλεύω φωλεός, ὀχεύω ὀχεός καὶ ἐν πλεονασμῷ τοῦ σ ὀσχεός. καὶ παρὰ τὸ σωρεύω δὲ ὁ σωρεός· τὸ δὲ σωρὸς κατὰ συγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεός ἔσται κατ' ὀξεῖαν τάσιν, „ὁ δ' ἐκ λοχεοῖο πάϊς" (Hes. Theogn. 178). ἀλλ' οὖν γε βαρυτόνως οἱ πλείους ἀνέγνωσαν, πλεονασμὸν ἐκδεξάμενοι τοῦ ε, ὥςτε παρὰ τὴν λόχον γενικὴν „ἐκ λόχου ἀμπήδησε" (Il. 11, 379) λόχοιο γενέσθαι καὶ λοχέοιο. οὕτως δὲ κατὰ τὸν προειρημένον κανόνα ῥήματος ὄντος τοῦ κηδεύω τὸ παρ' αὐτὸ ὄνομα, λέγω δὲ τὸ κηδεός, ὀξυτονηθήσεται. A.

παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων: τὸ ἑξῆς παραμενέτωσαν· διὸ φυλακτέον τὸν τόνον τῆς προθέσεως. Διονύσιος δ' ἡγεῖτο πλεονάζειν τὸν τέ σύνδεσμον καὶ ἀγούς ἡγεῖτο τοὺς ἡγεμόνας. ὁ μέντοι Ἀρίσταρχος ταγοὺς ἐξεδέξατο καὶ σχεδὸν ἅπαντες, παρὰ τὸ τάσσω ῥῆμα τοῦ σχηματισμοῦ γενομένου. διὸ καὶ ἐγὼ συγκατατίθεμαι. A.

254. ἑανῷ λιτί: ὡς φωτί. οὕτως καὶ Ἀρίσταρχος. πᾶσα γὰρ δοτικὴ δισύλλαβος ἐπ' ὀνομάτων εἰς τι λήγουσα ὀξύνεται, χρωτί, δαιτί, Κρητί. οὕτως οὖν καὶ λιτί. τούτῳ γὰρ τῷ λόγῳ καὶ βλητὶ ὀφείλομεν κατ' ὀξεῖαν τάσιν ἀναγινώσκειν, „νύμφα φίλη, καὶ βλητὶ λίθῳ ἐνὶ δάκρυον ἧκας" (Cod. δάκρυ. **Iure animadvertit Lobeckius, qui videndus Paral. 82. 541, βλητὶ sententiae non convenire. Sed finxisse hunc poetam verbale simplex in ής non videtur dubitari posse. An τλητί? Cum βλής etiam alibi emergat, v. Lob., quaerendum an hic fuerit** καὶ βλητὶ — ἀναγινώσκειν καὶ τλητί „νύμφα —") οὕτως οὖν καὶ λιτί, ἵνα ᾖ μεταπλασμὸς τῆς λιτῷ δοτικῆς, ὡς ἡ κλαδί τῆς κλάδῳ. ὁμοίως δὲ καὶ ἡ αἰτιατικὴ ἡ λῖτα μεταπέπλασται ἐκ τῆς λιτόν (Cod. hic falso λιτήν), ὡς καὶ ἡ κρόκα ἐκ τῆς κρόκην. τὸ δὲ παρὰ τῷ ποιητῇ „καθήραντες ῥύπα πάντα" (Od. 6, 93), εἰ μή ἐστι πληθυντικὸν οὐδέτερον, τοῦ παρακειμένου μεταπλασμοῦ ἔχεται. οὐχ ὁμότονος δὲ ἐγένετο τῇ λιτὸν αἰτιατικῇ ἡ λῖτα, ἐπεὶ πᾶσα αἰτιατικὴ εἰς α λήγουσα ἐβαρύνετο ὑπεσταλμένης τῆς τινά κατ' ἀόριστον προφοράν. A. **Ad haec**

v. ad Σ, 352: unde intelligitur quaedam hic nunc excidisse, ut de Ascalonita.

262. ποδώκεσιν: βαρύνειν δεῖ τὸ ποδώκης· καὶ εἴρηται περὶ αὐτοῦ (B, 764). A.

266. ἐξετέ': ὁ Ἀσκαλωνίτης ἐνθάδε προπαροξύνει ὁμοίως τῷ „ὄτριχας οἰέτεας" (B, 765). εἰσὶ δὲ οἳ παροξύνουσιν ὁμοίως τῷ εὐγενέα, καὶ οὕτως ἐπείσθη ἡ παράδοσις. προείρηται δὲ περὶ τῆς προςῳδίας (B, 765). A.

281. ἐγκλιτικῶς τὴν σφωΐν ἀντωνυμίαν ἀναγνωστέον. ἔστι γὰρ τρίτου προςώπου. A.

291. Τρφούς ὡς πολλούς ἀνεγνώσθη· προείπομεν δὲ περὶ τῆς προςῳδίας. A. Τρῳούς cum ι scripsi.

319. ἀλλ' ὅς: δασυντέον τὸ ὅς. ἔστι γὰρ ἄρθρον. οὕτως ὁ Ἀσκαλωνίτης. Ἀντίγονος μέντοι ἄλλως (imo ἄλλος) ἀνεγίνωσκεν, οὐ παραδεχόμενος τὸ ἄρθρον. A.

327. δασυντέον καὶ προπερισπαστέον τὸ αὖον· προείπομεν δὲ καὶ περὶ τούτου (N, 441. cl. Λ, 461). A.

361. προπαροξυτονητέον τὸ μεμνέῳτο· γράφεται δὲ καὶ σὺν τῷ ι τὸ ω. οὕτω δὲ καὶ ὁ Ἀσκαλωνίτης, ἐκ τοῦ μεμνέοιτο ἡγούμενος αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε ἐστὶν ὁ σχηματισμὸς καὶ προπερισπᾶται, ἐν Κύρου παιδείας πρώτῳ (6, 3) „ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο". τὸ δὲ ἀνάλογον διὰ τοῦ η προςκειμένου τοῦ ι παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ (992) „ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου". καὶ πάλιν προπερισπαστέον. ἐν ἑτέροις μέντοι ἐντελῶς περὶ τοῦ σχηματισμοῦ διέλαβον καὶ περὶ γραφῆς τῆς κατὰ γενικήν, λέγω δὲ τῆς δρόμου ἢ αἰτιατικῆς πληθυντικῆς τῆς δρόμους. A.

377. τὰς δέ μετ': οὐκ ἀναστρεπτέον τὴν μετά· πέπτωκε γὰρ μέσος ὁ δέ. A.

387. οἱ δέ οἱ ἐβλάφθησαν: ὁ Ἀσκαλωνίτης ἐκδέχεται τὸ πλῆρες εἶναι ἑοί καὶ μεταλαμβάνει εἰς τὸ ἴδιοι, καὶ μήποτε ὑγιῶς. ὡς γάρ φαμεν οἱ ἐμοὶ ἐβλάφθησαν ἵπποι, οἱ σοὶ ἐβλάφθησαν, οὕτως οἱ οἳ ἐβλάφθησαν τουτέστιν οἱ αὐτοῦ. τινὲς μέντοι εὐλαβηθέντες, ὧν ἐστι καὶ Ἀρίσταρχος, τῷ τὴν οἵ (l. ὅς) [ὀρθοτονουμένην] ἀντωνυμίαν πολλάκις εἰς σύνθετον μεταλαμ-

βάνεσθαι ἐγκλιτικῶς ἀνέγνωσαν, οὐκ ἔτι ἐκδεχόμενοι πληθυντικὴν κτητικὴν εὐθεῖαν, ἀλλ' ἑνικὴν δοτικὴν μονοσύλλαβον ὁμοίως τῷ „οἱ δέ αἱ ἵπποι ὑψόσ' ἀειρέσθην" (500), καὶ δῆλον ὅτι δοτικὴν ἀντὶ γενικῆς. καὶ οὕτως τὰ τῆς ἀναγνώσεως. A.

419. βαρυτονητέον τὸ στεῖνος, ἐπεὶ οὐδὲν οὐδέτερον ὄνομα εἰς ος λῆγον ὀξύνεται· οὕτως εἶχε καὶ τὸ μάκρος παρ' Ἀριστοφάνει (Av. 1131) „ὦ Πόσειδον τοῦ μάκρους" βαρυνόμενον καὶ μὴ ὁμοτονοῦν τῷ ὀξυνομένῳ ἀρσενικῷ· ἐπίσταται δὲ ὁ ποιητὴς καὶ τὴν δοτικήν· „στείνει ἐν αἰνοτάτῳ" (Il. 8, 476). A.

420. ὁ Ἡρωδιανὸς ἐν τῇ ἀρχῇ τοῦ ζ' (sc. catholicae) διὰ τοῦ γ φησὶ ῥωγμός. A.

422. ἁματροχιάς: δασέως τὴν ἄρχουσαν· ὀξύνεται δὲ ὁμοίως τῷ φυταλιάς. A.

440. φάμεν παρατατικός ἐστιν ἀντὶ τοῦ ἔφαμεν. Ἰωνικῶς οὖν ἀναγνωστέον τὴν φα συλλαβὴν ὀξύνοντας. A.

475. πολέος πεδίοιο δίενται: εἴπομεν δὲ δὴ (ἤδη?) ὡς ἐστι καὶ δίω βαρυνόμενον, ὃ σημαίνοι ἂν τὸ διώκω, ἔνθεν τὸ „τρὶς περὶ ἄστυ μέγα Πριάμου (Cod. peccat —μοιο) δίον" (Il. 22, 251) καὶ τὸ „κνώδαλον ὅττι δίοιτο" (Od. 17, 317), καὶ περισπώμενον, ἔνθεν τὸ δίημι ἐγένετο, παρ' ὃ τὸ „ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται" καὶ τὸ „αὔτως ἐνδίεσαν" (Il. 18, 584). Cf. P, 110 et locos ibi citatos. A.

479. πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι: τὸ πάρα ἀντὶ τοῦ πάρεισι. διὸ τὴν πρώτην ὀξυτονητέον ὁμοίως τῷ πάρα δ' ἀνὴρ ὃς καταθήσει (Od. 16, 45). A.

485. ἐνθάδε τὸ νυν συσταλτέον διὰ τὸ μέτρον· τὸ δὲ περιδώμεθον ἐστὶν ἕν, ἐπεὶ δηλοῖ τὸ συνθήκας ποιησώμεθα. A.

523. Πτολεμαῖος καὶ οἱ πλείους δίσκουρα ὡς λίπουρα. καὶ Ἀρίσταρχος δέ φησιν· „ὅπερ ἄνω κατὰ διάλυσιν εἶπεν ὅσσα δὲ δίσκου οὖρα (431), τοῦτο νῦν κατὰ σύνθεσιν ἐξήνεγκεν". κἀγὼ δὲ συγκατατίθεμαι. A.

561. ᾧ περι χεῦμα φαεινοῦ κασσιτέροιο ἀμφιδεδίνηται: εἰσὶν οἳ ἀνέστρεψαν τὴν περί· ὁ μέντοι Ἀσκαλωνίτης καὶ οἱ πλείους κατὰ παρολκὴν ἐξεδέξαντο κεῖσθαι, διὰ τὸ ἀμφιδεδίνηται· διὸ οὐκ ἀναστρέφουσιν. A.

604. νεοίη: ὡς ὁμοίῃ. οἱ μέντοι μετ' αὐτὸν ὡς ἐπὶ πλεῖστον νεοείαν λέγουσι. περὶ δὲ τῆς λέξεως εἰ ὑγιῶς ἐσχημάτισται ἐν τῷ προτατικῷ ἐζήτησα. ἅπαξ δὲ ἐχρήσατο τῇ λέξει. A. **Num forte**: νεοίῃ ὡς ὁμοίῃ. λέγει δὲ τὴν νεότητα. οἱ μέντοι μετ' αὐτὸν ὡς ἐπὶ τὸ πλεῖστον τὴν ἄνοιαν λέγουσι. **Nam Hesychius**: νεοίη νεότης· νέοιαι ἀφροσύναι.

698. ἀλλοφρονέοντα: ὡς σωφρονέοντα· τὴν δὲ σφίσιν ὀρθοτονητέον· εἰς γὰρ σύνθετον ἡ μετάληψις. A. **Videtur additum fuisse** καὶ διὰ τὴν σύνταξιν, v. quaest. ep. p. 119.

703. σφίσι: καὶ ταύτην τὴν ἀντωνυμίαν ὀρθοτονητέον ὁμοίως τῇ προκειμένῃ. A.

718. τρίποδος πέρι ποιητοῖο: ἔφαμεν περὶ τῶν τοιούτων (e. g. B, 839), πότερον δεῖ ἀναστρέφειν τὰς προθέσεις μεταξὺ κειμένας δύο ὀνομάτων ἢ οὔ, ὡς ἐπὶ τοῦ „μάχῃ ἔνι κυδιανείρῃ“ (Il. 6, 124), καὶ ὡς οἱ πλείους θέλουσι τοῖς ἐπιθετικοῖς συντάσσειν αὐτάς· διὸ καὶ ὁ Ἀσκαλωνίτης ἐνθάδε οὐκ ἀναστρέφει. A.

731. ἐν δὲ γόνυ γνάμψεν: Λεπτίνης δασύνει ὡς ἐπ' ἀριθμοῦ τὸ ἓν γόνυ ἔκαμψεν, ὡς ἐπὶ τοῦ „ἓν δέπας ἐμπλήσας“ (Od. 9, 209). οἱ δὲ ἄλλοι πάντες πρόθεσιν ἐξεδέξαντο διὰ τὸ ἀεὶ ἕτερον λέγειν τὸν ποιητὴν ἐπὶ δύο, ἓν δὲ οὐδέποτε· „χωλὸς δ' ἕτερον πόδα“ (Il. 2, 217), „τὸν δ' ἕτερον σκόπελον“ (Od. 12, 101). A.

765. τὸ ἀϋτμένα ὡς ποιμένα τῷ τόνῳ· καὶ καθόλου τὰ εἰς μην λήγοντα ἁπλᾶ ὀξύνεσθαι θέλει. A.

806. ἐνδίνων: ὡς σελίνων· παρῆκται δὲ παρὰ τὸ ἔνδον τὸ ἔνδινον· καὶ γὰρ παρὰ τὸ ἔντοσθεν ἐντοσθίδια λέγεται. οὕτως δὲ ἔχει καὶ τὰ ἔντερα καὶ τὰ ἔγκατα παρὰ τὴν αὐτὴν ἔννοιαν. A.

886. τὸ ἥμονες δασυντέον· παρὰ γὰρ τὸν ἥσω μέλλοντα ἐσχημάτισται ἡ λέξις· „ἥσω γὰρ καὶ ἐγώ“ (Il. 17, 515). (Cf. X, 261). παρὰ δὲ τοῦτο καὶ τὸ ἧμα ἐγεγόνει πάλιν δασυνόμενον· „καὶ ἥμασιν ἔπλευ ἄριστος“ (891). A.

891. ἥμασιν: δασυντέον πάλιν. A.

ΕΙΣ ΤΗΝ Ω.

1. λυτο: εἰ μὲν μέσος δεύτερος ἀόριστός ἐστιν ἀπὸ τῶν εἰς μι, ὥςπερ ἤδη ἐφίσταται λέγων „νῦν δὲ λύμην τρὶς τόσσα πορών“ (Il. 21, 80) καὶ τῆς δ' ἄρα κλαιούσης λύτο γούνατα“ (error memoriae videtur ex τῆς δ' αὐτοῦ λύτο γούνατα δ, 703. confuso cum τῆς δ' ἄρα κλαιούσης ὄπα σύνθετο δῖος Ὀδυσσεύς υ, 92), ἔκτασις ἐγένετο διὰ τὸ μέτρον· εἰ δὲ παρατατικόν τινες ἐκδέχονται, δύναται κρᾶσις τοῦ ἐλύετο γεγενῆσθαι ὥςπερ ἐπὶ τοῦ ἰχθύες ἰχθῦς, μύες μῦς, ῥύεσθαι ῥῦσθαι „πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε“ (O, 141). ἢ ἀπὸ τοῦ λέλυτο λύτο ὡς βέβλητο βλῆτο. A. Transiit in Et.

8. πείρων: Πάμφιλος περισπᾷ, λέγων τὴν πρόςθεσιν τοῦ ι μὴ ἐξαλλάσσειν τὸν τόνον· εἰ δὲ περῶ οἶδεν ὁ ποιητὴς τὸ ῥῆμα καὶ περόωσι (Od. 6, 272) καὶ „περάᾳ μέγα λαῖτμα“ (Od. 5, 174) δῆλον ὅτι καὶ πειρῶν. ὁ μέντοι Ἀρίσταρχος βαρύνων ἀναγινώσκει ὡς κείρων. φησὶ γοῦν οὕτω γενόμενος ἐπὶ τοῦ „παννυχίη μὲν (Cod. μὴν) ῥ' ἥγε καὶ ἠῶ πεῖρε κέλευθον“ (Od. 2, 434)· „τὰ πεῖρε διδάσκει ἡμᾶς καὶ τὴν πείρων μετοχὴν βαρύνειν· ὡς γὰρ ἔκειρε κείρων οὕτως ἔπειρε πείρων. εἰ γὰρ περιεσπᾶτο ἦν ἂν ὁ παρατατικὸς ἐπείρα“. ἔστιν οὖν διττὸν τὸ ῥῆμα, καὶ τὸ μὲν σὺν τῷ ι περισπασθήσεται. A. Certe οὐ περισπασθήσεται. In Etym., quo transiit, est καὶ τὸ μὲν σὺν τῷ ι βαρύνεται, τὸ δὲ χωρὶς περισπᾶται.

12. δινεύεσκ' ἀλόων: ψιλῶς τὸ ἀλύων· δῆλον κἀκ τῆς συναλοιφῆς. A.

17. τόνδε δ' ἔασκεν: ὁμοίως ἀναγνωστέον τὸ τόνδε τῷ „τόνδε δ' ἐγὼν ἐπιόντα“ (Il. 5, 238) καὶ „τόνδε δ' ἐγὼ κομιῶ“ (Od. 15, 545), λέγω δὲ ὀξύνοντα τὴν πρώτην, ἵν' ᾖ ἐπέκτασις ἡ διὰ τοῦ δε. A. Cod. ὀξύνων.

33. ἐγκλιτικῶς τὴν ἄμιν ἀναγνωστέον· ἔστι γὰρ ἀπόλυτος. A. Cod. ὑμῖν.

45. οὐδέ οἱ αἰδὼς γίγνεται, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀδύνησιν: τινὲς ἐδάσυναν τὸ ἡ δέ, ἵνα ἡ αἰδὼς διττὴ ὑπάρχῃ, ἡ μὲν βλάπτουσα ἡ δὲ ὠφελοῦσα. οὕτως δὲ καὶ Εὐριπίδης (Hippol. 385) ἐξεδέξατο εἰπὼν διττὰς εἶναι αἰδούς·

δύναιτο δ' ἂν ἡ αὐτὴ οὖσα πῇ μὲν ὠφέλιμος εἶναι πῇ δὲ βλαβερά. A.

72. ἣ γάρ οἱ αἰεὶ μήτηρ παρμέμβλωκεν: οὐκ ἀναγκαῖον τὸ η ἄρθρον ἐκδέχεσθαι καὶ δασύνειν. ἔθος γὰρ αὐτῷ ἔσθ' ὅτε παραλείπειν τὰ ἄρθρα· „ἀλλὰ φίλη μήτηρ" (Il. 21, 270), „μήτηρ μέν τέ μέ φησι" (Od. 1, 215). σύνδεσμος οὖν ἐστι βεβαιωτικός· διὸ περισπαστέον. A.

74. ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο: τινὲς τὸ θέων ἐπὶ τοῦ τρέχων ἐξεδέξαντο, μετοχὴν παραλαμβάνοντες, καὶ ἐβάρυναν. ἀπίθανον δέ· διὸ περισπαστέον· γενικὴ γάρ ἐστι πληθυντικὴ ὀνόματος τοῦ θεός. A.

80. βυσσόν: ἐπεκράτησε τὸ ὀξύνεσθαι τῷ τὰ εἰς σος λήγοντα ὀνόματα δισύλλαβα, ἀρχόμενα ἀπὸ συμφώνου ἢ συμφώνων, δεδιπλασιασμένον ἔχοντα τὸ σ, ὀξύνεσθαι θέλειν, κισσός, πεσσός. ἀντιπίπτει τὸ μέσσος. A. Et omnino si quod σσ ex pleonasmo habet, Arcad. 76 (ubi λισσὸς pro ἀσσὸς scribendum videtur vel Ἠσσός). At Eustathius hoc scholion describens scribit: ἀντιπέπτει τὸ Νέσσος κύριον ὄνομα. Quod facile verum esse potest, quamvis cum his quae nunc apud Arcadium legimus discrepet. Ceterum nec hanc regulam, quam hic de βυσσός habemus, Herodianus agnosceret: in qua nunc ne de ἡ βύσσος quidem, quod ab illo ut decet distinxerat (v. Steph. Byz. s. Βυσσός), vestigium est.

82. τὸ ὀρμηστῆσιν ὡς ὀρχηστῆσιν. προείρηται δέ. A. A, 454.

84. Ἀριστοφάνης τὸ εἵατο δασέως, Ἀρίσταρχος δὲ ψιλοῖ. προείπομεν δὲ περὶ τῆς λέξεως. A. O, 10.

94. ψιλῶς τὸ ἔσθος καὶ ἐσθής οὐ μόνον διὰ τὴν συναλοιφὴν (e. g. ἐν τ' ἐσθῆτι ω, 67), ἀλλὰ καὶ καθ' ὃν λόγον ἡμεῖς προείπομεν ἀνασκευάσαντες τοὺς ὑπὸ τῶν πρὸ ἐμοῦ εἰρημένους. τὰ γὰρ φωνήεντα ψιλοῦσθαι θέλει ἐκφερομένου τοῦ σ ἔχοντος ἓν τῶν δασέων, ἀσφῦς, ὀσφραίνεσθαι, ἀσφόδελος, ἀσφάραγος, ἀσχάλλω, ὀσχεός, ἴσχω, ἰσχύς, ἀσθενής, ἐσθλός, ἆσθμα, ἐσθίω· οὕτως ἄρα καὶ ἔσθος καὶ ἐσθής. A. καὶ καθ' ὃν λόγον emendavit Bekkerus pro καὶ ἄλογον. Praeterea inserui ἔχον-

τος ἓν τῶν δασέων scripsique veros accentus pro ὀσφύς, ὄσχεος, ἄσθμα.

134. ἑ έ: Καλλίστρατος (cf. v. 213) καὶ Ἀρίσταρχος δασύνουσι τὸ πρῶτον ε τῆς ἀντωνυμίας. τῷ δὲ τόνῳ ὡς ἐμέ. A. Adde certe οἷς καὶ ἐγὼ συγκατατίθεμαι. v. ad Υ, 171.

202. ἔκλε': τὴν κλε συλλαβὴν ὀξυτονεῖ ὁ Ἀσκαλωνίτης, ἡγούμενος τὸ πλῆρες εἶναι ἐκλέου. οὐκ ἔστι δέ, ἀλλ' ἐκλέεο τετρασυλλάβως. καὶ δῆλον ὅτι εἴτε συγκέκοπται ἡ ὀξεῖα εἴτε ἡ βαρεῖα ἡ μετὰ τὴν ὀξεῖαν, ὀφείλει πάλιν τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα φυλάττεσθαι· οὐδὲ γὰρ χαρακτὴρ κωλύει. τὸ μέντοι „σὺ δ' αἴδεο καί μ' ἐλέησον" (Il. 21, 74) καὶ τὰ τοιαῦτα, πρώτης ὄντα συζυγίας τῶν περισπωμένων, ἄλλης ἀναλογίας ἔχεται, ὡς ἐν ἑτέροις εἴρηται. A.

213. ἵν' ἄντιτα ἔργα γένοιτο: Ἀπολλόδωρος καὶ Καλλίστρατος τιτά, ὥστε τρία εἶναι, ἐπίρρημα τὸ τότε καὶ σύνδεσμον τὸν ἄν καὶ ὄνομα τὸ τιτά. ὁ δὲ Ἀσκαλωνίτης ἄντιτα παραλαμβάνει, μεταλαμβάνων εἰς τὸ ἀντέκτιτα· οὕτω καὶ οἱ πλείους, ὁμοίως τῷ ἄτιτα (Il. 14, 484). ἔχεται μὲν οὖν ἡ κατὰ σύνθεσιν ἀνάγνωσις ἐμφάσεως καὶ μᾶλλον τοῦ νοητοῦ. μελλήσει δὲ λείπειν τὸ ἄν ἐν τῇ συντάξει ἐπιζητοῦντος τοῦ γένοιτο εὐκτικοῦ τὸ τοιοῦτο· παραφυλακτέον δὲ ὅτι καὶ συλλαβὴ λείπει ἡ τι, τοῦ ἐντελοῦς ὄντος ἀντίτιτα. A. Cod. ἀντέκτιστα pro ἀντέκτιτα.

228. φωριαμῶν: Ἀρίσταρχος ὡς κιβωτῶν. καὶ ἔχομεν τῶν διὰ τοῦ αμος παρηγμένων ὀνομάτων κανόνας τοιοῦςδε, πρῶτον μὲν ὡς τὰ τριβράχεα μὴ ὄντα ἐπιθετικὰ βαρύνεσθαι θέλει, κάλαμος, Πρίαμος. τὸ ποταμός ἐγένετο παρὰ τὸ ποτασμός καθ' ὑφαίρεσιν τοῦ σ, τὸ δὲ ἰταμός ἐπιθετικόν ἐστι. δεύτερον δὲ ὡς τὰ ἔχοντα τὴν ἄρχουσαν μακράν, εἰ μὲν θέσει ᾖ, βαρύνεται, ὄρχαμος, Τόρταμος, Πέργαμος· εἰ δὲ φύσει, κύρια μὲν ὄντα βαρύνεται πάλιν, ὡς ἔχει τὸ Πύραμος, Τεύταμος, οὐχ οὕτως δὲ ἔχοντα ὀξύνεται, ὡς ἔχει τὸ οὐλαμός, χηραμός. τούτῳ οὖν τῷ λόγῳ, εἴτε παρὰ τὸ τοὺς φῶρας ἀπείργειν ἢ ἀπὸ τοῦ τὰ φάρη φυλάσσειν ἡ προκειμένη λέξις παρῆκται, ἔσται κατ' ὀξεῖαν τάσιν φωραμός καὶ πλεονασμῷ τοῦ ι φωριαμός. A. In libro περὶ Ἀττικῶν προσῳδιῶν de Attico accentu φωρίαμος dixerat τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα οὐχ ὡς ἀνάλογον ἀλλ' ὡς Ἀττικόν. Et. M

235. ἐξεσίην: Ἀρίσταρχος δασύνει τὴν δευτέραν συλλαβήν· „παρὰ γὰρ τὸ ἵημι, φησίν, ἐγένετο. ἐπιφέρει γοῦν πρὸ γὰρ ἧκε πατὴρ ἄλλοι τε γέροντες. παρὰ δέ τὸν ἥσω μέλλοντα ἡ ἑσία ἐγένετο, ὡς καὶ παρὰ τὸ θήσω θεσία, πῇ δὴ συνθεσίαι τε (Il. 2, 339)· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ τῶν ἕνεκ' ἐξεσίην" (Od. 21, 20). οὕτως δὲ καὶ Νικίας. Νεοπτόλεμος δὲ ὁ Παριανὸς λέγων παρὰ τὸ ἐξιέναι πεποιῆσθαι τὴν λέξιν [οἷον τὴν ἔκπεμψιν] ἀξιοῖ ψιλοῦν. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ πείθεσθαι. ἠπίστατο γὰρ ὁ ποιητὴς καὶ τὸν ἥσω μέλλοντα δασυνόμενον „ἥσω γὰρ καὶ ἐγώ" (Il. 17, 515)· παρὰ δὲ τοὺς μέλλοντας ὁριστικοὺς ἐγένετο τὰ τοιαῦτα ὀνόματα, οὐ παρ' ἐνεστῶτας ἀπαρεμφάτου ἐγκλίσεως. θύσω γοῦν θυσία, ἄξω ἀξία, δώσω δοσία, προδώσω προδοσία. οὕτως οὖν καὶ παρὰ τὸν ἥσω ἑσία καὶ ἐξεσία. A. In his ultimis in singulis verbis nihil corruptum videtur, sed tenor orationis, unde doctrina eius mihi quidem ignota patesceret, quam maxime. Cf. de ὑποδεξίῃ I, 73. ἄξω ἀξία, pro quo primum intuenti ἀνάξω ἀναξία in mentem venire posset, est etiam in his Theognost. 105, 16 τὰ παρὰ μέλλοντα διὰ τοῦ ια γράφονται, οἷον θύσω θυσία, ἄξω ἀξία, λούσω λουσία ἀλουσία, ὀρέξω ὀρεξία, ἔχω ἕξω ἑξία καὶ εὐεξία, πέψω πεψία καὶ ἀπεψία. In ea regula, quae proxime praecedit apud Theognostum, ubi cum aliis substantivis ab ις derivantur etiam δόσις δοσία καὶ προδοσία et θέσις θεσία καὶ συνθεσία, quod in fine est οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου videtur tantum ad derivationem vocabuli βία ab ἴς, unde ἴα, βία, pertinere. — Caeterum, ut nunc habet scholium nostrum, illud ἀπαρεμφάτου κλίσεως etiam non potest non suspectum esse.

247. δασέως δίεπ' παρὰ τὸ ἕπω δασυνόμενον. οὕτως καὶ Ἀρίσταρχος καὶ οἱ πλείους. οἷον διὰ τῶν ἀνδρῶν ἐπορεύετο καὶ διίστα αὐτούς. καὶ οὕτως ἔχει τὰ τῆς ἀναγνώσεως. A.

253. κατηφόνες ὡς Μακεδόνες. A.

272. ἕστορι: δασέως, ἀπὸ τῆς ἕσεως. τὸν γὰρ βαλλόμενον πάσσαλον ἐπ' ἄκρου τοῦ ζυγοῦ νοητέον. A.

292. ὅς τε οἱ αὐτῷ: ἐγκλιτικῶς ἀναγινώσκουσι τὴν οἱ ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψίς ἐστιν, ὁμοίως τῷ „ἀλλὰ οἱ αὐτῷ

Ζεύς" (Od. 4, 667). A. Excidit reliqua pars ubi contrarium defenderat, v. ad O, 226. qu. ep. 117.

316. μόρφνον: ὡς ὕπνον. καὶ οὕτως ἔχει ἡ ἀνάγνωσις. εἴτε μορόφονός ἐστιν (sic accentus eduntur), εἴτε παρὰ τὴν ὄρφνην ἐσχημάτισται, πλεονάσαντος τοῦ μ κατ' ἀρχήν, ἵνα σημαίνηται ὁ μέλας, εἴτε παρὰ τὸ μάρπτω μάρφνος ἐστὶ καὶ μόρφνος ὁ συλλαμβάνων, ἐξ οὗ σημαίνεται ὁ ταχύς, κατὰ πάντα τρόπον ὀφείλει βαρύνεσθαι διά τε τοὺς σχηματισμοὺς καὶ τὸν χαρακτῆρα. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων, οἷον χόρτος, φόρτος, ὄρχος, Ὄρθος τὸ μονογενές (addit Eust. ἦν δὲ κύων Γηρυόνου, v. Mützell. Hes. p. 229), πόρνος. οὐ γὰρ θηλυκὸν αὐτοῦ τὸ πόρνη (v. ad voc. mon. s. Φηρά p. 38). οὕτως δὲ θέλει καὶ τὸ πτόρθος. οὕτως μόρφνος. παρεφύλαξε δὲ τὰ εἰς μος διὰ τὸ χορμός, φορμός. τὸ μέντοι περκνός ὀξύνεται ὁμοίως τῷ πυκνός. οὕτως καὶ ὁ Ἀσκαλωνίτης, μεταλαμβάνων εἰς τὸν μέλανα. καὶ ἐμοὶ δὲ δοκεῖ οὕτως ἔχειν ὑγιῶς, ἐπεὶ οὐδὲ παραλήγεται τῇ ορ συλλαβῇ ὡς καὶ τὰ προκείμενα. ὁ μέντοι Ἀρίσταρχος ἀετοῦ εἶδος καὶ βαρύνει, ἀλλ' ἐπείσθη ἡ παράδοσις τοῖς ὀξύνουσιν. A. Transiit in Etym. 591, 25—30.

318. εὐκλήϊς ἀραρυῖα: Ἀρίσταρχος εὐκλῇϊς ὡς εὐκνήμις, σύνθετον ποιῶν τὴν λέξιν, οὕτως καὶ ὁ Ἀσκαλωνίτης. εἰσὶ δὲ οἳ διεῖλον „εὖ κληῖσ' ἀραρυῖα", οἷς συγκατατίθεται καὶ Τρύφων, οὐκ εὖ· ἄμεινον γὰρ ἐπιθετικῶς ἀκούειν καὶ μὴ πάθος ἐκδέχεσθαι πληθυντικῆς δοτικῆς, λέγω δὲ τὸ τῆς ἐκθλίψεως. ὃ δέ φημι, τοιοῦτόν ἐστιν, ὡς ὅτι ἐκθλίβεται μὲν τὸ ι τῆς δοτικῆς παρὰ τῷ ποιητῇ καὶ ἑνικῆς ὑπαρχούσης καὶ πληθυντικῆς, „κέρκιδ' ὕφαινε" (Od. 5, 62) „χερσ' ἐρέται" (Od. 13, 115) „καὶ νήεσσ' ἡγήσατ' Ἀχαιῶν" (Il. 1, 71), οὔ γε μὴν τὸ ἀπὸ τῶν εἰς ις ἐκτεταμένον θηλυκῶν. εἰ δ' ἡ προκειμένη λέξις κρίσεως δεῖται κατὰ τὴν ἀνάγνωσιν, δῆλον ὅτι συνθέτως ἀναγνωσόμεθα, ὅπως μὴ πληθυντικοῦ δῶμεν τὴν χρῆσιν παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ καὶ ἔκθλιψιν σημειώδη. εἰ δὴ σύνθετόν ἐστι τὸ εὐκλῇϊς, καὶ παροξύνειν δεῖ αὐτό, μακρὸν γὰρ τὸ ι καὶ ἐν τῇ συνθέσει, ὡς ἐν τῷ κ' τῆς καθόλου φησὶν ὁ αὐτός· ἀπὸ γὰρ τοῦ χρόνου

τὸν τόνον ἐστήσαμεν. καὶ ἐν τῷ τρίτῳ δὲ τῶν ὀνοματικῶν περὶ τῆς ἐκτάσεως αὐτῶν ταὐτά φησιν· „ἄλλως τε εἰ ἐπιζητοῦσιν ἐκτεταμένον τὸ ῑ, ἔχουσιν ἐν τῷ εὐκνήμις, μελαμψήφις· καὶ εἰ τοῦτο, φησί, δῆλον ὅτι παροξύνεται". A.

343. τὴν ῥάβδον συσταλτέον κατὰ τὴν πρώτην συλλαβήν, οὐχ ὅτι παρὰ τὸ ῥάπτω ἐγένετο, ἔνθεν καὶ τὸ ῥαπίζω, ἀλλ' ὅτι καὶ τὸ ᾱ πρὸ τοῦ β̄ συστέλλεσθαι θέλει, ἀβρός, Ἄβδηρος, Ἀβαρβαρέη, ἐπιγράβδην. οὕτως οὖν ἐχέτω καὶ ἡ ῥάβδος. διὸ τὸ ἄβαλε (sc. si ut faciunt hoc modo scribitur pro uno verbo) καὶ κατὰ τοῦτο ἐσημειοῦτο. A. v. περὶ διχρ. 297, 1.

388. ἔνισπες: ὡς ἔδραμες. ἔστι γὰρ ὁριστικὸν ἐκ τοῦ ἤνισπες τὴν ἄρχουσαν συστείλαντος. τὸ μέντοι προστακτικὸν πρὸ τέλους ἔχει τὴν ὀξεῖαν „σὺ δ' ἀληθὲς (Cod. —θῶς) ἐνίσπες" (Od. 3, 247) ὁμοίως τῷ ἐπίσχες. καὶ δῆλον ὅτι ὅπου μὲν τὸ ῑ ἐστὶ τῆς προθέσεως, ὅπου δὲ τοῦ ῥήματος. τὸ μέντοι ἄνευ τοῦ σ προστακτικὸν προπαροξύνεται. λέγω δὲ τὸ „νημερτές μοι ἔνισπε" (Od. 4, 642). A. ὅπου μὲν — ὅπου δὲ ex Herodiano sic non memini.

540. παναώριον: οἱ μὲν ἐδάσυναν, ἵνα ἐκδέξωνται τὸν κατὰ πάντα ἄωρον, οἱ δὲ ἐψίλωσαν ἐκδεχόμενοι τὸν εἰς πάντα πεφροντισμένον. ἄμεινον δὲ τὸ πρότερον. τοῦτο γὰρ ἐθέλει σημαίνειν. A.

557. ἐπεί με πρῶτον ἕασας: δασύνει Δίδυμος τὸ ἕασας ἐν πρώτῳ διορθωτικῶν, ὁμοίως καὶ Ἑρμαππίας, μεταλαμβάνοντες εἰς τὸ ἥδυνας. ὁ δὲ Σιδώνιος γράφει ἐπεί με πρῶτ' ἐλέησας. Ἀρίσταρχος δὲ οὐδὲν ἀποφαίνεται ἢ μόνον ἀθετεῖ τοὺς στίχους. δύναται δὲ καὶ τὸ ψιλούμενον, ὥς φησι Τρύφων· καὶ συμφωνεῖ (sc. Herodianus), εἰ μὴ πλῆρές ἐστι κατὰ τὴν φράσιν, ἔχειν ἀφορμήν, ὡς ἔτι φθεγγομένου καὶ ἔτι λαλοῦντος τοῦ Πριάμου τὸν Ἀχιλλέα ἀνθυπαντῆσαι ὑπὸ ὀργῆς κεκινημένον καὶ μεσολαβῆσαι τὴν διάλεξιν „ἀλλὰ τάχιστα λῦσον ἵν' ὀφθαλμοῖσιν ἴδω, σὺ δὲ δέξαι ἄποινα πολλά τά τοι φέρομεν· σὺ δὲ τῶνδ' ἀπόναιο καὶ ἔλθοις σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἕασας. τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν . . μηκέτι νῦν μ' ἐρέθιζε γέρον". τὸ δὲ ἐντελὲς τοῦ λόγου τοιοῦτόν τι ἔσται· εἴασας εἰς λόγους σοι ἥκειν. A. Vides versum αὐτόν τε ζώειν καὶ ὁρᾶν

φάος ἠελίοιο ei prorsus ignotum esse. — Cod. φέρομαι pro φέρομεν.

566. φυλακούς: Ἀρίσταρχος κατ' ὀξεῖαν τάσιν προεφέρετο ὡς φρουρούς. ἔστι δὲ καὶ ὁ λόγος συναγωνιζόμενος τῇ ὀξείᾳ τάσει οὕτως, ὡς τὰ εἰς κος καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβάς, παραληγόμενα τῷ α, προσηγορικὰ ἢ ἐπίθετα ὀξύνεται, ἀνακός, φαρμακός, φυλακός· τὰ γὰρ κύρια βαρύνεται, Φύλακος, Αὔλακος. Exceptiones quaedam et cautiones exciderunt: v. Arcad. 51 et Lobeck. Path. 307, qui pro Αὔλακος hic coniicit Ὕλακος.

579. ἧρεον: δασυντέον. ἔφαμεν γὰρ τὸ περισπώμενον αἱρῶ δασύνεσθαι. A. Φ, 327. B, 154.

657. ποσσῆμαρ: ὑφ' ἕν, περισπωμένης οὔσης πρὸ τέλους, ὡς καὶ ἐν τῷ αὐτῆμαρ καὶ ἐννῆμαρ (v. B, 53 cl. 81), ἐξῆμαρ. προείρηται δὲ ἤδη περὶ τῆς λέξεως, ἀλλὰ καὶ ἐζήτητο ἐν ταῖς προτάσεσι. παραιτητέον οὖν τοὺς κατὰ διάλυσιν ἀναγινώσκοντας. A.

665. τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτο τε λαός: προπερισπαστέον, ὡς καὶ Φιλοξένῳ δοκεῖ, ἵνα ᾖ ἐκ τοῦ δαινύατο (σ, 248) [τοῦ ἑνικοῦ] συναλοιφή, ὡς πυθοίατο (A, 257). ὡς οὖν τοὺς νέκυας νέκυς ἔφη, καὶ τὸ δαινύατο δαινῦτο. οὕτως ἔχει καὶ τὸ „λελῦτο δὲ γυῖα ἑκάστου" (Od. 18, 237)· οὐδὲν δὲ θαυμαστὸν εἰ πληθυντικόν ἐστι τὸ δαινῦτο καὶ τὸ λαὸς ἑνικόν. τῷ γὰρ σημαινομένῳ ἡ σύνταξις ἐγένετο, ὁμοίως τῷ „ἀγρόμενοι πᾶς δῆμος" (Il. 20, 166)· Φιλοξένῳ δὲ ἀρέσκει ἐν τοῖς εἰς μι λήγουσι καὶ ἑνικὸν αὐτὸ εὐκτικὸν εἶναι ἀκολούθως κεκλιμένον. A.

793. τινὲς ὄστεα προπαροξυτόνως ὡς χάλκεα. ἄμεινον δὲ παροξύνειν. A. μον. λ. p. 37.

ΕΚ ΤΩΝ

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΔΙΧΡΟΝΩΝ.



Edidit haec Cramerus An. Ox. III. p. 282. sqq. ex duobus Codd. Baroccianis, 119 (A) et 72 (B). Mihi tertii Codicis apographum benevolenter transmisit Dindorfius (D). In A titulus est περὶ ποσότητος τῶν διχρόνων Ἡρωδιανοῦ, et quidem caetera rubro scriptus, Herodiani autem nomen atramento et recentiori manu adscriptum. In D inscribitur Ἡρωδιανοῦ περὶ χρόνων, in B τοῦ Ἡρωδιανοῦ περὶ διχρόνων. Ego malui ἐκ τῶν Ἡρωδιανοῦ. Nam verum Herodianum esse in Analectis ostendi. Sed habemus praeterea eadem haec Excerpta in Draconis qui fertur libro et in regulis prosodiae Hermanni. Ad Hermanniani libri oram Bastius ex Cod. Paris. 2008 et 2810 (b) variantes lectiones adscripserat, unde iis usus est Cramerus. Ubique plurimis vitiis inquinata sunt, nec fortasse multum iuvaremur, si collatus esset Cod. MS. Graecus № 66. de la première chambre des titres, in quo item canones Hermannianos legi, et quidem multo emendatius legi Bastius annotavit. Permagna quidem pars illorum vitiorum in accentibus, de quibus vel ex ipsa re-

gula vel aliunde certissime constat, posita, item in orthographia, ipsa sanari poterant, idque feci et hanc molem inutilis variae lectionis abieci, sive unus aliquis ex illis libris verum ferebat sive nullus. An attinebat notare ἐριβόλαξ et πολυπήδαξ et Ἐρετρέα et Πειράα? Idem feci in levioribus discrepantiis orationis, quae ad colorem vel usum grammatici nihil facerent. Ubi codd. dixi, A, B et D intelligo.



ΕΚ ΤΩΝ

ΗΕΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΔΙΧΡΟΝΩΝ.

Καθόλου τὰ τρία δίχρονα τὰ ἐκ συναλοιφῆς ἐκτείνεσθαι θέλει, **282** ἀέκων ἄκων[1]), χρέαα χρέα, κέραα κέρα· εἰ μέντοι ἀποκοπήν τινα δέξεται τῆς τα συλλαβῆς, τοῦ[2]) κέρατα κέρα, καὶ χρέατα χρέα, συνεσταλμένον ἐστὶ τὸ δίχρονον. Θέτιι Θέτι,

πάντα Θέτι καλλιπλοκάμῳ (Σ, 407).

μήτιι μήτι,

μῆτι δ' ἡνίοχος περιγίγνεται (Ψ, 318).

ἱερεύς ἱρεύς, βότρυες βότρυς, νέκυες νέκυς.

Πᾶν ὄνομα μονοσύλλαβον ἀπαθὲς εἰς ν λῆγον ἢ εἰς ρ ἢ εἰς σ, εἴτε θηλυκὸν εἴτε ἀρσενικὸν εἴθε οὐδέτερον, ἀπαρασχηματιστον εἴτε παρεσχηματισμένον[3]) ἀρσενικῷ, εἰ ἔχοι δίχρονον ἐκτείνειν αὐτὸ θέλει, ὡς ἔχει τὸ πᾶν, πᾶς, Γρᾶς, Πράς, κράς, λίς, κίς, μῦς, σῦς, δρῦς, πῦρ, ψάρ, Κάρ. διὸ τὸ τίς[4]) σημειούμεθα **283**

---

[1]) „οἷον ἀέκων B et ubique in exemplis citandis" Cram.

[2]) τὰ B.

[3]) εἴτε παρεσχηματισμένον addidi. Commode ad hunc locum inspicies Arcadium p. 125 ut Choeroboscum p. 41. a. 107 b. in. Si ultra necessaria progredi voluissem, scripsissem τὸ Πάν καὶ πᾶν, πᾶς —

[4]) τὸ δὲ τὶς B.

283 συστελλόμενον τὸ ι· τὸ δέ

σ τ ά δ α λ ί μ ν η ν

ἢ

κ λ ά δ α χ ρ υ σ ε ό κ α ρ π ο ν

οὐχ ἕξει τινὰ εὐθεῖαν [5]) στάς ἢ κλάς. μεταπλασμοὶ γάρ εἰσι, τὸ

ἐ ξ ὀ ρ έ ω ν ἐ π ὶ κ ὰ ρ (Π, 392)

κατὰ πάθος. ἀπὸ γὰρ τοῦ κάρη κατὰ ἀποκοπὴν τοῦ η γέγονεν.

Πᾶν εἰς αν λῆγον ἀρσενικὸν ἐπ' εὐθείας ἐκτείνεσθαι θέλει, Παιάν, Τιτάν, Ἀλκμάν, καὶ ὅσα τοιαῦτα.

Πᾶν εἰς ας ἀρσενικὸν βαρύτονον ἐπ' εὐθείας ἐκτείνεσθαι θέλει, εἴτε ὄνομα εἴη εἴτε μετοχή, Αἴας, Δρύας, Θόας, λέξας, γράψας, ποιήσας. διὸ σημειούμεθα ποιητικῶς τὸ „λᾶας ἀναιδής" καὶ μέγας ἐπίθετον. τὸ

δ ο υ ρ ὶ δ ὲ ξ υ σ τ ῷ μ έ μ η ν ε ν Α ἴ α ς (Alcmanis)

καὶ ὅσα τοιαῦτα κατὰ πάθος,

δ ῆ σ α ς ἀ λ υ κ τ ο π έ δ ῃ σ ι (Theogn. 521)[6]).

---

[5]) εὐθεῖαν dedi pro ὀξεῖαν. Monuit iam Lobeckius Par. 149.

[6]) Choerob. p. 71. a, ubi hunc locum tractat, citat παρ' Ἡσιόδῳ δήσας ἀλυκτοπέδῃσι Προμηθέα: nunc eo loco Hesiodi Theogn. 521 est δῆσε δ'. Idem Choerob. docet antecedens fragmentum Alcmanis esse. Caeterum haec, quae in textu non mutavi, nunc, quod videam, Herodianum non modo ad obscuritatem contractum sed etiam immutatum praebent. Minime persuadeo mihi Herodianum Αἴας, δῆσας facta dixisse κατὰ πάθος, sed κατὰ διάλεκτον, Doriam sc. V. Choerob. l. l. et reliquos similes locos quos congestos habes ap. Ahrens. p. 173. Offendo etiam in illo ποιητικῶς. Arcad. p. 193, 10 τὰ εἰς ας ἀρσενικὰ βαρύτονα εἴτε ὀνόματα εἴτε μετοχαὶ ἐκτείνονται, Αἴας, Θόας, Αἰνείας, λέξας, ποιήσας. σεσημείωται τὸ μέγας καὶ λᾶας (cf. etiam Arc. 23, 1). Multo tolerabilius esset ποιητικόν, ut tantummodo adiecerit Herodianus λᾶας totum poeticum vocabulum esse (ut et λᾶς inde

Τὰ εἰς ας ὀξύτονα ὀνόματα δισύλλαβα διὰ τοῦ δος κλινό- 283
μενα συστέλλεσθαι θέλει, Ἀρκάς, φυγάς, ἰθάς, πολυδειράς.

Τὰ εἰς ας περισπώμενα ἀναγκαίως ἔχει τὸ α μακρόν, ἀλλᾶς, Ἡρᾶς, Βοῤῥᾶς, πελεκᾶς[7]).

Τὰ εἰς ας λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ συστέλλονται, κρέας, τέρας, δέπας, κέρας.

Τὰ εἰς αξ λήγοντα καὶ ἐκτείνει τὸ α καὶ συστέλλει. ὅσα μὲν οὖν δισύλλαβα ὄντα ἔχει πρὸ τέλους μὴ φύσει μακράν, ἀλλ' ἢ βραχεῖαν ἢ θέσει μακράν, ἀδιάφορον ἔχει τὸν χρόνον τοῦ α, 284
κόραξ, κόλαξ, φύλαξ, ἄναξ, βόαξ, νέαξ, ὄμφαξ, φόρταξ· εἰ μέντοι ἡ πρὸ τέλους φύσει μακρὰ εἴη, ἡ δὲ τελευταία συστέλλοιτο, γένος θηλυκὸν ὁρᾶται, πῖδαξ, κλῖμαξ, λεῖμαξ, βῶλαξ. διὸ καὶ τὸ μεῖραξ ἐπὶ θηλυκῷ[8]) τιθέμενον εὖ ἂν ἔχοι. οὐκ ἀγνοῶ δὲ ὡς ἔσθ' ὅτε οἱ κωμικοὶ καὶ ἀρσενικῷ γένει τὴν σύνταξιν ποιοῦνται· ἀλλ' εἰκὸς αὐτοὺς θηλυκῇ προςηγορίᾳ σκώπτειν τοὺς πασχητιῶντας. ὅσα μέντοι ἔχει τὴν πρὸ τέλους φύσει μακρὰν ἀρσενικὰ ὄντα καὶ τὸ α θέλει ἔχειν ἐκτεταμένον, ὡς ἔχει τὸ Φαίαξ, θώραξ, οἴαξ, πλούταξ, βώμαξ, κνώδαξ[9])· σημειούμεθα τὸ Γῦναξ καὶ Γῦλαξ[10])

---

factum): „duo notanda sunt, unum, quod intra poesis fines substitit nec in prosa substantivum simile habet, λᾶας, alterum quod adiectivum est, μέγας.“ Quamquam potest etiam Choeroboscum inspicienti in mentem venire fuisse: προςηγορικὸν τὸ „λᾶας ἀναιδής“ καὶ τὸ μέγας (hoc sic cum articulo B) ἐπίθετον. Sed magis necessarium videtur deinde pro κατὰ πάθος, ut dixi, κατὰ διάλεκτον. — De accentu Αἶας, δῇσας v. infra ad p. 296, 18.

[7]) „φλασκᾶς addit gramm. Herm. et cod. Paris. b.“ Cram.

[8]) θηλυκοῦ B, D, Draco, reg. Herm.

[9]) Codd. et regg. Herm. νώδαξ. Sed κνώδαξ, quod Lud. Dindorf. requirit in Thes., certe apud Draconem eo loco, qui hinc est, p. 18, 25.

[10]) A γλάξ, Cod. Par. γνὰξ καὶ σύλαξ, D. γνὰξ καὶ γώλαξ, reg. Herm. κῦαξ καὶ σῦλαξ. Draco eo loco, qui hinc est, p. 18, 25 ἄγναξ καὶ γύλαξ. Choerob., hoc toto loco comparandus, p. 155. a Ὕλαξ, Κῦαξ (ὀνόματα δὲ ταῦτα κύρια), et item ab eo Lascaris et ab hoc Draco altero loco p. 51, 10.

284 ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν καὶ συστέλλοντα τὸ α' εἰσὶ δὲ ταῦτα κύρια ὀνόματα, καὶ τὸ σαῦσαξ[11]), φασὶ δὲ εἶναι τοῦτο ὄσπρεον, καὶ τὸ καύαξ[12]) διφορούμενον· τοῦτο γάρ ποτε μὲν συστέλλει τὸ α, ποτὲ δὲ ἐκτείνει αὐτό· ἔστι δὲ ὄρνεον. Τὰ μέντοι ὑπὲρ δύο συλλαβὰς ἐκτείνει τὸ α μὴ ὄντα σύνθετα, ἱέραξ, Ἐπιδαύραξ[13]), ὀρθίαξ, θυμέλαξ[14]). τὰ δὲ σύνθετα βαρύτονα[15]) καὶ τὸν τῶν ἁπλῶν χρόνον φυλάττει, Ἀχαρνοφαίαξ, Ἱππῶναξ, Ἀρχεάναξ[16]), ἐριβῶλαξ[17]), πολυπῖδαξ· τὰ δὲ ὀξύτονα σύνθετα συστέλλει τὸ α, διασφάξ, βλεφαροσπάξ[18]). Τὰ μέντοι μονοσύλλαβα, θηλυκὰ μὲν

Certum videtur Γῦλαξ ex Steph. Byz. s. Ἀπολλωνία et Γυλάκεια, dubium Γῦναξ ignotum: v. Lob. Par. p. 276.

[11]) Sic A et B, item regg. Herm., D. σάνσαξ, Draco p. 19, 2 σαύταξ ἢ σαύσαξ. Apud Choerob. l. l. (Lasc.) est σῦαξ φασηλοειδὲς ὄσπριον, fortasse rectius: v. Lob. l. l. Certe σαυσαχας (scribitur ibi σαυσάχας) Hesych. aliter explicat τυροὺς ἁπαλούς, εὐτρόφους, καὶ δοκοῦσι δὲ οὗτοι εὐεπιφόρους ποιεῖν πρὸς συνουσίαν. Quamquam fieri potest, ut hoc cibi genus apud comicum, ubi inventum erat (videtur enim ex comico), ab aliis aliter explicaretur, quo fortasse pertinet nostro loco φασὶ δέ — Ceterum ὄσπρεον cum ε est ex A. — In D est ὀσπρέον.

[12]) Codd. καύναξ, item Draco: sed καύαξ regg. Hermann. et Choerob., nisi quod apud hunc peccatum κάβαξ. Habet Hesych. καύαξ λάρος.

[13]) „Hoc gentilicii hypocorisma est ut Ῥόδαξ ὁ Ῥόδιος schol. Dion. gr. p. 856, 33" Lob. l. l.

[14]) Lobeckii coniectura, cuius analogiam praestat, ut ait, θαλάμαξ. Codd. ABD Par. a θορυβίλλαξ, Par. b θορυβίλαξ, Draco θοριβύλαξ, regg. Herm. θορυμέλαξ.

[15]) Sic scripsi, ut recte est in BD Par. et ap. Draconem, pro βαρύνονται.

[16]) Habent quidem omnes ἀρχαιάναξ. Secutus sum Lobeckium. φ

[17]) Sic recte Draco, AB διασπάξ, D διασπάξ, reg. pr. διαμπάξ.

[18]) Sic reg. pros., Cod. ABD et Par. et Draco βλεφαροπάξ, v. Dind. Th. et Lob. l. l.

ὄντα, θέλει συστέλλειν τὸ α, σπάξ[19]), οὕτως ἡ κύων παρὰ Πέρ- 284
σαις, κλάξ[20]), πλάξ, γλάξ, δράξ, ἡ δὲ ῥάξ ἐκτέταται· τὰ δὲ ἐκτεί-
νοντα τὸ α ἀρσενικά ἐστι, βλάξ[21]), κράξ, πτάξ· τὸ δὲ Πράξ ἱστο-
ρεῖται μὲν ἐκτείνεσθαι· ἐγένετο δὲ Ἀχιλλέως ἀπόγονος, ἔνθεν 285
οἱ Πρᾶκες[22])· συστέλλεται δὲ ἔσθ' ὅτε τὸ α.

Τὰ μέντοι εἰς ιξ μονοσύλλαβα συστέλλει τὸ ι ἔχοντα δύο σύμφωνα πρὸ τοῦ ι, στίξ, φρίξ, θρίξ[23]). τὸ μέντοι ἴξ καὶ Φίξ ἐκτείνεται. Τὰ μέντοι εἰς ιξ λήγοντα ὑπὲρ μίαν συλλαβὴν πάντα συστέλλει τὸ ι. ἐπὶ μέντοι γενικῇ[24]) πῇ μὲν φυλάττει τὸ ι συνεσταλμένον, πῇ δὲ ἐκτείνει. καί φασι τήρησίν τινα εἶναι τοιαύτην, ὡς τὰ ἔχοντα πρὸ τέλους μακρόν[25]), ἔχει ἐν τῇ γενικῇ ἐκτεινόμενον τὸ ι, φοῖνιξ, βέμβιξ[26]), Τέμμιξ[27]), πέμφιξ, τέττιξ, σκάνδιξ, πέρδιξ, χοῖνιξ. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης φησὶν ὡς τῆς πέρδικος καὶ χοίνικος γενικῆς ἡ μέση συστέλλεται, πεισθεὶς Ἀριστοφάνει τῷ γραμματικῷ καὶ τοῖς οὕτω χρησαμένοις ποιηταῖς διὰ μέτρον· ἀλλὰ ταῦτα διὰ μέτρον ἐγένετο. ἔστι

---

19) Sic legendum esse pro στάξ monuit Cramerus ex Herod. I, 110. Et recte scriptum est ap. Drac.

20) Falsum videtur, fortasse delendum: certe non testatum v. Lob. Par. 94: nec est inter monosyllaba a Lobeckio recensita quod verisimiliter eius loco poni possit. Apud Arcad. p. 125, 4 est: τὰ εἰς ξ μονοσύλλαβα ὀξύνεται, πλάξ, δράξ, γλάξ βοτάνη γαλακτοποιός.

21) Codd. et regg. pros. κλάξ. Verum ap. Drac.

22) vid. Steph. Byz.

23) Haec sc. de nominativo tantum dicta. Caeterum ex subsequentibus ἴξ et Φίξ vides Choeroboscum in canone 123. a. τὸ ι καὶ υ πρὸ τοῦ ξ οὐδέποτε εὑρίσκεται φύσει μακρὰ χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένου non omnia cavisse.

24) γενικῆς Drac. et reg. pros.

25) μακρὰν reg. pros.

26) Omittit hoc vocabulum A, Cod. Par. et D βέβριξ B et reg. pros. βέμβριξ, verum Draco.

27) Sic (v. e. g. Steph. B.) scripsi pro τέμβριξ vel τέμβιξ (hoc Paris. b).

285 γὰρ αὐτὰ εὑρεῖν ἐκτεταμένα πολλάκις [28]. τὸ μέντοι Θρήϊκος [29]) συστέλλει τὸ ι, ἔχον διαλλαγήν. λέγεται γὰρ καὶ κατὰ συναλοιφὴν Θρῃκός [30]). τὸ δὲ ἧλιξ συνεξῆλθε τοῖς ἔχουσι τὸ λ πρὸ τοῦ ι, χόλικος, ἕλικος, χόλικος, κύλικος. τὸ σύμμιγος σύνθετόν ἐστι.

Τὰ εἰς υξ μονοσύλλαβα συστέλλει τὸ υ, τρύξ, Φρύξ, πτύξ, Στύξ. Χρόνος ὁ αὐτὸς καὶ ἐπὶ γενικῆς. Τὰ εἰς υξ δισύλλαβα καὶ αὐτὰ συστέλλει τὸ υ, φυλάττει μέντοι τὸ υ συνεσταλμένον, ὁπότε τὸ χ ἢ τὸ γ ἐπὶ γενικῆς ἔχει, στόνυχος, ὄνυχος, ὄρτυγος, ἤλυγος [31]), δίζυγος, φάρυγος, τὸ δὲ κόκκυγος συστέλλουσι καὶ ἐκτείνουσιν. εἰ μέντοι διὰ τοῦ κ ἡ κλίσις ὑπάρχοι, πῇ μὲν φυλάττει τὸ υ συνεσταλμένον, πῇ δὲ ἐκτείνει. Ἔρυχος
286 γὰρ συνεσταλμένως καὶ ἄμβυχος [32]), Βέβρυχος, κάλυχος, Γάνυχος,

---

28) v. Athen. 388. f. cl. Mein. com. III, 172.

29) Sic reg. Herm., codd. et Draco Θρήϊκες.

30) Haec in AB sic: λέγεται γὰρ (in B ὅτι λέγεται) καὶ Θραϊκὸς καὶ Θρεϊκὸς καὶ κατὰ συναλοιφὴν Θρῃκός. Apud Dracon. et in reg. Herm. et in D caetera item ut in A, sed Θρηϊκός pro Θρεϊκός. Haec non intelligo. Quod nunc dedi eiectis verbis καὶ Θραικὸς καὶ Θρεϊκὸς vel Θρηικός significare videtur: Θρήικος ι breve habet: etenim excedit reliquorum analogiam et in eo quod solum synaloephen patitur. Dictum ex illo canone grammaticis celebrato, quod una aliqua ratione analogiam excedit, id iam etiam facile aliis rationibus excedere.

31) Choerob. p. 65. b. in. τὸ ἦλυξ ἤλυγος, σημαίνει δὲ τὴν σκιάν, et ib. versu ultimo ἦλυξ ἤλυγος, ἡ σκιά, λέγεται δὲ καὶ ἠλύγη, et 66. b. in. τὰ εἰς υξ σύνθετα τὴν τοῦ ἁπλοῦ φυλάττουσι κλίσιν, ἦλυξ ἤλυγος, ἐπῆλυξ ἐπήλυγος·

32) Sic non tantum codd. et Draco et regg. Herm., sed etiam Choeroboscus 65. b. (81, 27 Gsf.). Quare non ausus sum delere, quamquam non certum sit an idem sit cum ἄμβιξ an aliud quid (neque enim explicat Choeroboscus, quamquam pleraque explicat in illo loco), nec commutavi vel cum Σάμβυχος, quod ibidem affert (81, 5), Σάμβυξ Σάμβυχος χώριον, ἔστι δὲ καὶ ποταμὸς καὶ ἔθνος (de quantitate quidem ex illo nil intelligitur), vel cum tutissimo, quod nec ille omisit ib., ἄμπυχος. Repetit Σάμβυξ sine explicatione

ἴβυχος, ἐκτεταμένως δὲ βόμβυχος, αἴθυχος, κήρυχος. τὸ 286

κήρυχι Ἠπυτίδῃ (P, 324)

διὰ μέτρον φασὶν ἔχειν συστολήν. Τὰ μέντοι εἰς υξ ὑπὲρ δύο συλλαβὰς ἤτοι σύνθετα ἢ καὶ ἁπλᾶ πρόδηλον ἔχει τὸν χρόνον[33]), ὡς ἐν τῇ κλίσει παραδέδοται.

Τὰ εἰς ιψ μονοσύλλαβα ἐκτείνεται. ὁμοίως καὶ ἐπὶ γενικῆς. διὸ ἡ λιβός γενικὴ σημειώδης· τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν συστέλλεται. θέλουσι δὲ πεδότριψ[34]) ἐκτείνειν[35]), πλανώμενοι

---

mox (81, 30 Gsf.). Duo sunt Choerobosci loci, is quem modo dixi, p. 65. a. b. sqq. et p. 158 (Gsf. 313) hic comparandi, quia recurrunt ibi, et sine dubio ex Herodianeis fontibus recurrunt (v. 314, 3 Gsf.), vocabula quae hic habemus, quorum quaedam parum cognita. Sic l. l. post ἄμβυξ ἄμβυχος ponit Γάνυξ Γάνυχος, ὁ Γανύκτωρ παρὰ Ἐρατοσθένει, ib. 65. a. ἴβυξ ἴβυχος, ἔστι δὲ εἶδος ὀρνέου, quae mox (ante Σάμβυξ) iisdem verbis repetit. [Quod ultimum vocabulum est 65. a. Ἶυξ Ἴυχος mutandum in Κῆυξ, ut ex litterarum ordine intelligitur, quem ibi secutum patet]. Sed in quo magis quam in ἴβυχος eius opem desiderabamus, αἴθυχος semel, quo magis periculum erat ne quid turbarent librarii, quod factum est. Legitur enim sic, p. 65. a. αἴθυξ αἴθυχος ὁ εὐκίνητος, παρὰ τὸ αἰθύσσω, ἔστι δὲ ὄνομα ἔθνους καὶ χώριον. An ἔστι δὲ καί — et si hoc, utrum recte habet an ab illo potius confusum est cum Αἴθικες? — De duplici quantitate in Βέβρυκες loquitur cum poetarum exemplis p. 158 b. Ex nostro loco apparet Herodianum longam potius libertati poetarum adscripsisse, contra quam in κήρυχι, de quo Herodianus ipse pros. Il. K, 358. Quo etiam verisimilius fit, quod per se suspicere, non φασὶν ἔχειν ab epitomatore profectum esse sed φησὶν (sc. Herod.).

33) Sic pro τόνον dedi ex reg. Herm. Habent autem πρόδηλον τὸν χρόνον quia easdem regulas cum bisyllabis sequuntur. Et eo promtiorem quia, nisi fallor, praeter composita ab iis quae sunt in κος, reliqua omnia aut in γος aut in χος declinantur.

34) Sic scribendum esse pro παιδότριψ iam alii dixerunt.

35) A ἐντείνειν, sed illud DB, reg. pros. (ap. Drac. deest).

286 ἐκ τοῦ παρ' Ἀρχιλόχῳ

ἄνδρας ἀμφιτρίβας[36]).

Τὰ εἰς αψ λήγοντα ὑπὲρ μίαν συλλαβήν φαμεν συστέλλειν τὸ α, λαῖλαψ. ἐν δὲ μονοσυλλάβοις τὸ δράψ ἐκτείνεται κείμενον παρὰ Ἀριστοφάνει, καὶ τὸ λάψ[37]) παρὰ Ταραντίνοις. ἡ δὲ γράψ καὶ φάψ[38]) θηλυκῷ γένει καταχλειόμενα συστέλλεται.

Τὰ διὰ τοῦ ανω ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρυνόμενα ἔχει τὸ α συνεσταλμένον, λιμπάνω, μανθάνω, λανθάνω, λαμβάνω. τὸ μέντοι ἱκάνω καὶ κιχάνω ἄλογον ἔχοντα τὸν πρῶτον χρόνον τοῦ ἀορίστου ἐκτείνει τὸν δεύτερον[39]).

Τὰ εἰς πτω λήγοντα ῥήματα, εἰ ἔχοι τὸ ι πρὸ τοῦ τέλους, συνεσταλμένον αὐτὸ ἔχει, λίπτω, ἴπτω[40]), χρίπτω· διὸ ση-

---

[36]) A ἄνδρες ἐς ἀμφιτρίβας. B et Par. ἄνδρες ὡς ἀμφιτρίβας. D ἄνδρας ὡς ἀμφιτρίβας. reg. Herm. ἄνδρες εἰς ἀμφίτριβας. Unde nunc ὡς praeoptant viri docti: utrumque, opinor, falsum, ortum ex correcto ες in ἄνδρες. Caeterum res ipsa difficilis. De quo v. Lob. Par. 293. Videtur igitur in illo loco Archilochi, ubi syllaba τρι sine dubio longa esset, a quibusdam ἀμφίτριβας intellectum esse ab ἀμφίτριψ, quod cum eandem ibi significationem haberet de servis, quam soleret πεδότριβες, inde de huius quantitate statuerunt. Alii autem, inter quos Herodianus, ἀμφιτρίβας accipi voluerunt ab ἀμφιτρίβης, activa, ut opinor, significatione rei item accommodatissima. Sed sic item abnormis quantitas erat: fuit igitur cur putarent in ἀμφιτρίβης tamen eiusmodi licentiam minus offensionis habere quam in tertia.

[37]) Sic BD et reg. pros., A μάψ (deest hoc totum ap. Drac.). Et videtur sane „μάψ ὄρνεόν τι“ apud Arcad. 126, 19, si id ipsum recte scriptum est, non illud Tarentinorum proprium esse: videtur quidem. Ignota λάψ, γράψ et δράψ interpretari conatus est Lobeckius Par. 112.

[38]) Sic reg. Herm., Codd. θάψ.

[39]) In his ἔχοντα scripsi pro ἔχει et addidi ἐκτείνει τὸν δεύτερον.

[40]) ἴπτω AB, sed ἵπτω Draco ter hoc loco usus, reg. pros., D. Ceterum cf. de his Lob. Techn. 42. [Theogn. eo

μειούμεθα τὸ πίπτω καὶ ῥίπτω. 286

Τὰ εἰς νος λήγοντα δισύλλαβα ἐπ' εὐθείας καθαριεύοντος τοῦ ν εἰ ἔχει πρὸ τέλους τὸ υ ἐκτείνει αὐτό, ὡς ἔχει τὸ φρυ- 287
νός, θυνός, γρυνός καὶ βαρυνόμενον τὸ Κῦνος[41]. τὸ μέντοι πλυνός οὐχ οὕτως ἔχει.

Τὰ εἰς νος λήγοντα ὑπὲρ δύο συλλαβάς, εἰ παραλήγοιτο τῷ υ, πῇ μὲν συστέλλει αὐτό, ἐπὰν τὸ σ προηγῆται[42]) αὐτοῦ, ὡς ἔχει τὸ δεσπόσυνος, θάρσυνος, πίσυνος· τὸ δὲ μόσυνος[43]) ἐκτεταμένον ἀπὸ γενικῆς ἐστι γενόμενον[44]), αἱ δὲ γενικαὶ αἱ διὰ τοῦ νος ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι εἰ παραλήγοιντο τῷ υ ἐκτεταμένῳ παραλήγονται, Φόρκυνος, Πόλτυνος, αἱ μέντοι εὐθεῖαι αὐτῶν συστέλλουσι τὸ υ[45]). τὰ μέντοι διὰ τοῦ νος ἐπ' εὐθείας

---

loco, de quo Lob. in annotatione, de duobus tantum ni fallor verbis loquitur, ἵπτω et ἱπτῶ.]

[42]) Sic reg. Herm., codd. προηγεῖται.

[43]) Sic uno σ: ut nuper ap. Choer. saepius. Ceterum Herodianum audis Steph. B. s. Βιθυνία, unde accedit aliquid hic nunc omissum: τὰ εἰς νος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῷ υ παραληγόμενα προπαροξύνεται εἰ μὴ ἐθνικὸν εἴη. τὸ μόσυνος βαρυνόμενον σημειῶδες, καὶ μακρὸν ἔχει τὸ υ. τὰ γὰρ ἔχοντα τὸ σ βραχὺ ἔχει τὸ υ καὶ τὸ γέρυνος ὁ μικρὸς βάτραχος.

[44]) Codd. post hoc γενόμενον habent πῇ δὲ ἐκτείνει, quae delevi cum reg. Herm.

[45]) Choerob. 146. b. ἰστέον δὲ ὅτι πάντα τὰ εἰς υν βαρύνονται, οἷον μόσυν, Φόρκυν, Γόρτυν, ἐπειδὴ τὰ πολλὰ παρὰ τοῖς Αἰολεῦσιν εὑρίσκεται (cf. Arcad. 10, 5), καὶ λοιπὸν ὡς δοκοῦντα εἶναι Αἰολικὰ εὐλόγως βαρύνονται ... ἰστέον δὲ ὅτι διάφοροι δόξαι περὶ τοῦ χρόνου τῆς εὐθείας γεγόνασιν· οἱ μὲν γὰρ ἀξιοῦσι καὶ ἐν τῇ εὐθείᾳ καὶ ἐν πάσαις ταῖς πτώσεσιν ἐκτείνεσθαι τὸ υ, οἱ δὲ λέγουσιν ὅτι ἐν μὲν τῇ εὐθείᾳ συστέλλεται τὸ υ, ἐν δὲ ταῖς ἄλλαις πτώσεσι ταῖς πλαγίαις ἐκτείνεται. καὶ διάφοροί εἰσὶ δόξαι τῶν τεχνικῶν περὶ τούτου. Item p. 124. a. Postquam enim dixerat p. 123 δεῖ προςθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς οὐ θέλει εἶναι μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας, χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσῃ, quod accidere in iis quae sunt in ιξ

287 μὴ ἔχοντα τὸ σ πρὸ τοῦ υ, ὑπὲρ δύο συλλαβὰς ὄντα, ἐκτείνειν θέλει τὴν πρὸ τέλους, κίνδυνος, εὔθυνος, Πάχυνος, Λάμυνος[46]). διὸ καὶ τὸ βόθυνος[47]) ἀναλόγως οἱ Ἀττικοὶ ἐκτείνουσιν· κἂν ὀξύνηται δὲ τοιαῦτά ἐστι, Μαρνανδυνός, Βιθυνός. τὸ ἄγυνος ἢ ἀνδρόγυνος οὐ μάχεται, σύνθετα γάρ ἐστι καὶ ἔχει τὸν τοῦ ἁπλοῦ χρόνον, λέγω δὲ τοῦ γυνή, ὅπερ καὶ αὐτὸ ἠλόγητο κατὰ χρόνον· τὰ γὰρ εἰς νη καθαριεύοντα δισύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ υ, ἐκτεταμένον αὐτὸ ἔχει, ὡς ἔχει τὸ Βύνη, μύνη, Φρύνη, ὑπεσταλμένου δηλονότι τοῦ γυνή[48]). προςέθηκα δὲ δισύλλαβα, ἐπεὶ τὰ ὑπὲρ δύο συλλαβάς, διὰ μέντοι τοῦ συνη ὄντα, ἀεὶ συστέλλει τὸ υ, βριθοσύνη, ὑποθημοσύνη, καλλοσύνη· εἰ δὲ μὴ ἔχει τὸ σ πρὸ τοῦ υ, ἀδιάφορον ἔχει τὸν χρόνον· Δελφύνη γὰρ καὶ χελύνη ἐκτεταμένως, κορύνη δὲ καὶ Ταμύνη συνεσταλμένως, ὡς τορύνη[49]), Ἀττικοὶ δὲ ἐκτεταμένως.

---

et υξ et ut ait in ις ιθος, sic pergit: προςτιθέασι δέ τινες καὶ χωρὶς τῶν εἰς υν. ἐπειδὴ οἱ τεχνικοὶ διαφόρου δόξης ἔχονται περὶ τούτων· ποτὲ μὲν γὰρ δοξάζουσιν ὅτι τὰ εἰς υν λήγοντα ἐν μὲν τῇ εὐθείᾳ συστέλλουσι τὸ υ, ἐν δὲ τῇ γενικῇ ἐκτείνουσιν αὐτό, οἷον Φόρκυν Φόρκυνος, Γόρτυν Γόρτυνος, ποτὲ δὲ δοξάζουσιν ὅτι καὶ ἐν τῇ εὐθείᾳ ἐκτείνουσι τὰ υ καὶ ἐν τῇ γενικῇ. Herodiani quae sententia fuerit nostro loco videmus. Nec, opinor, hic omiserat de aliorum dicere opinione, suam contra ponere, quod in catholica factum esse adhuc vestigium est in Arcad. 193, 27: τὸ μόσυνος, Φόρκυνος, Πόλτυνος τῶν εὐθειῶν συστελλομένων ἐξέτειναν τὸ υ, ὡς Ἡρωδιανός.

[46]) reg. pros. pro hoc λάγυνος. Λάμυνος invenit etiam Draco; fortasse tamen Λάβυνος. Certe ex Etymologicis Parisinis Bastius affert ad Gregor. p. 388 Λάβυνος ὄνομα ποταμοῦ, τὸ βυ μακρόν.

[47]) Item reg. pros. Apud Draconem διὸ καὶ τὸ βόθυνος, λάγυνος ἀναλόγως —

[48]) Hoc solo, ut item Arcad. 193, 28. Corruptum Arcadii locum alterum p. 112, 15 emendat Lobeck. Path. 227 not. 2. [Choerob. 164. a.]

[49]) ὡς τορύνη solus habet Draco. Desunt in B et reg. pros.; in ADPar. ὡς κορύνη, et quidem in D cum subsequentibus punctis ad indicandam lacunam. Ceterum epitoma-

Πᾶν εἰς α λῆγον θηλυκὸν ὀξυνόμενον ἢ περισπώμενον μακρῷ χρῆται τῷ α, φοβερά, Ἀθηνᾶ. 287

Πᾶν εἰς α λῆγον θηλυκὸν προπαροξυνόμενον ἢ προπερισπώμενον συνεσταλμένον ἔχει τὸ α, Ἀντιόχεια, Μήδεια, ταχεῖα, ὀξεῖα. 288

Πᾶν εἰς α λῆγον θηλυκὸν ὄνομα ἔχον πρὸ τοῦ α ἕν τι τῶν διπλῶν ἢ τὸ σ ἢ τὸ ν, μὴ κατὰ πάθος ἢ διάλεκτον, ἔχει τὸ α συνεσταλμένον, χάλαζα, ἅμαξα, ἀμφίσβαινα, Λάκαινα, χαρίεσσα, μοῦσα. τὸ δὲ Ἀθηνᾶ καὶ μνᾶ καὶ Δανᾶ[50]) καὶ ὅσα τοιαῦτα ἐστὶ κατὰ πάθος, τὸ δὲ Ἑλένα καὶ ὅσα τοιαῦτα ἐστὶ κατὰ διάλεκτον.

Τὰ εἰς ρα λήγοντα καθαρόν, εἰ παραλήγοιτο τὸ[51]) υ, ἀμοιβαῖον ποιεῖται χρόνον· εἰ γὰρ ἐκτείνοιτο τὸ υ, τὸ α συστέλλεται καὶ προπαροξύνεται, ὡς ἔχει τὸ ἄγκυρα, Κέρκυρα, ὄλυρα· εἰ δὲ συστέλλοιτο τὸ υ, τὸ α ἐκτείνεται καὶ παροξύνεται θηλυκὰ ὑπὲρ δύο συλλαβὰς ὄντα, Ἐφύρα[52]), πορφύρα. τὸ οὖν κολλύρα κατ' ἀμφότερα δίχρονα ἐκταθὲν σημειῶδες. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν δισυλλάβων· πυρὰ ἐκτείνει τὸ α, συστέλλει δὲ τὸ υ, τό τε λύρα καὶ θύρα βαρυνόμενα, τὸ δὲ σφῦρα ἐκτεῖνον τὸ υ καὶ συστέλλον τὸ α.

Τὰ εἰς ρα λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου ἐκτείνει τὸ α, ποτίστρα, κολυμβήθρα, Ἠλέκτρα, καλόπτρα. σημειῶδες οὖν τὸ Τάναγρα καὶ σκολόπενδρα.

Τὰ εἰς α λήγοντα, ὁπότε ἔχει πρὸ τοῦ α διπλοῦν, δίχρονον δὲ πρὸ τοῦ διπλοῦ, πάντως συνεσταλμένον αὐτὸ ἔχει, γάζα,

---

torem habemus, Herodianum ipsum fortasse non falsum, sed ab eius ἀκρίβει longe remotum. Utinam certe Arcadius Excerpta hic fide digniora essent p. 193 (Drac. p. 86) τὰ ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ υ, διὰ τοῦ συνη, κερδοσύνη, βριθοσύνη, ὑποθημοσύνη. ἀλλὰ καὶ κορύνη, χελύνη (hic!), Ταμύνη. ἐκτείνουσι δὲ Ἀττικοὶ τὸ τορύνη. Nota res de Eupolidis τορύνη, quod ille opinor non πανταχοῦ, ut est qui tradat, dixit, sed semel.

[50]) voc. monad. s. Ἀθηνᾶ p. 7.

[51]) Sic codd., in reg. pros. τῷ.

[52]) Fuit σφύρα. v. voc. mon. s. πυρά p. 17, 27.

288 μύζα, ὄρυζα, φύζα, δίψα, σχίζα, ῥίζα· ὅθεν σημειῶδες τὸ μᾶζα ἐκτεῖνον τὸ πρὸ τοῦ διπλοῦ α.

Τὰ παρώνυμα τὰ διὰ τοῦ αια παραγόμενα ἐκ θηλυκῶν εἰς α ἢ εἰς η[53]) ἐκτεταμένον ἔχει τὸ α, σεληναία, ἁμαξαία, ἀναγκαία, ἀρχαία[54]). ὅθεν ἐχρῆν καὶ τὸ γαῖα ἐκτείνεσθαι, χωρὶς
289 εἰ μὴ ἡ ποσότης τῶν συλλαβῶν ποιεῖ συνεσταλμένον τὸ α· τοιαῦτα γὰρ τὰ δισύλλαβα, γραῖα, μαῖα[55]).

[53]) ἐκ θηλυκῶν εἰς α ἢ εἰς η addidi ex Excerpto ap. Cramer. An. Ox. III. p. 267. Quod mox apponam.

[54]) v. Lob. Par. 297. 298. Servatum etiam ap. Arcadium p. 194, 21.

[55]) Verba γραῖα, μαῖα addidi ex Dracone, quamquam ibi peccatum γαῖα pro μαῖα. Sed ad hoc totum de vocabulis in αια duo adscribendi sunt loci, primum Arcadii quem dixi: τὰ διὰ τοῦ αια παρώνυμα ἐκτείνει τὸ α, σεληναία, ἁμαξαία, ἀρχαία. γαῖα συνέσταλται: dein ille ex Excerptis Cod. Barocc. Crameri III. p. 267 λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ διχρόνων ὅτι τὰ διὰ τοῦ αια γεγονότα ἐκ θηλυκῶν πρωτοτύπων ληγουσῶν εἰς α ἢ εἰς η μακρὸν ἔχουσι τὸ α, οἷον ἅμαξα ἁμαξαία, σελήνη σεληναία, ἄρουρα ἀρουραία (potius οὐρά οὐραία). πλὴν τοῦ γαῖα. μήποτε οὖν διὰ τὴν βραχυσυλλαβίαν ἐνηλλάγη (debebat διηλλάγη)· τοιαῦτα γὰρ καὶ τὰ δισύλλαβα τὰ μὴ ὄντα παρώνυμα, οἷον αἶρα (l. γραῖα), μαῖα. Haec omnia usque ad finem Herodianea esse, ut in dictione non omnia esse putamus, non praestamus: neque hinc pro certo affirmamus γραῖα Herodiano non fuisse παρώνυμον, sed verbale. De μαῖα non dubitari potest: nam si forte putes ab illo μᾶ duxisse, debebat, quod non fecit, cum γαῖα eodem loco habere. Ergo de hoc non dubitamus, quin obstetricis significationem primariam habuerit idemque dixerit quod Choeroboscus „τὸ μῶ τὸ ζητῶ, ἐξ οὗ καὶ τὸ μαῖα ἡ ζητητικὴ τοῦ βρέφους“ (ad Theodos. 165. a.). De γραῖα tamen noluimus id ei adscribere dum sciatur credamusque potius a γεραιός vel γρήιος γράιος derivasse. Atque ea opinio ne praecidatur assumpsi illud ex Excerpto ἐκ θηλυκῶν εἰς α ἢ εἰς η: quod praeterea illic ab initio in ea parte positum habemus, in qua diserte se refert ad Herodianum, nec epitomatori illi erat cur adderet.

Τὰ εἰς α λήγοντα καθαρὸν συνεσταλμένον, ὁπότε ἐστὶν ὑπὲρ δύο 202 συλλαβάς, τὴν πρὸ τέλους ἔχει φύσει μακράν[56], Μήδεια, Θάλεια, Πηνελόπεια, εὔνοια, εὔχροια, ὑπεσταλμένων τῶν πρὸ τέλους ἐχόντων τὴν τρισυλλαβίαν[57], οἷον ποιήτρια, μεσήτρια, ὀδηγήτρια[58], ὀρχήστρια.

Inter recentiores quidem γραῖα ex verbo derivabatur (v. e. g. Etym.). Sed in his erant qui ne de γαῖα quidem cum Herodiano sentirent: Eust. 188, 31 τὸ δὲ παρῆχθαι τὴν γαῖαν ἀπὸ τῆς γῆς, ἵνα ᾖ ὡς σελήνη σεληναία οὕτω γῆ γαῖα οὐκ ἀρέσκει τοῖς παλαιοῖς. καὶ καλῶς ἄρα τοῦτο. ἐχρῆν γὰρ τῷ λόγῳ τούτῳ τὴν γαῖαν μὴ προπερισπᾶσθαι ἀλλὰ προπαροξύνεσθαι. Etym. M. 222, 57 .... ἀλλ' ἀντίκειται Σέργιος ὁ γραμματικὸς λέγων ὅτι οὐκ ἐκ τοῦ γῆ ἐστι τὸ γαῖα, ἀλλ' ἀπὸ τοῦ γαίω, sive hoc verum est sive et hic scribendum γῶ, ut alii ducebant, ab γῶ τὸ τίκτω καὶ χωρῶ, unde dupliciter factum esse γέα et γαῖα, v. Etym. et Eust. l. l.

[56]) Sic AD, Draco (p. 20 et 65), reg. pros. Nam B sic: τὰ εἰς α λήγοντα καθαρὸν συνεσταλμένον ἔχουσι τὸ α, ὁπότε ἐστὶν ὑπὲρ δύο συλλαβὰς καὶ τὴν πρὸ τέλους ἔχουσιν φύσει μακράν. Minus bene, ut nunc quidem exceptum est, in quo non dictum de substantivis tantum sermonem esse (memineris ἀλλοτρία, πετραία) et in substantivis ipsis certe φρατρία (hoc unum nunc memini) excipiendum. Illa altera ratio ita procedit: quaecunque τῶν ὑπὲρ δύο συλλαβῶν breve alpha habent, longam penultimam habent, exceptis iis quae sunt in τρια: scil. in his contra valet ut breve α cum brevi antepenultima coniuncta comparere possit et in longe plurimis ita compareat ut in his hoc potius pro regula sit. Caeterum fortasse vel sic brevibus olim commemoratum fuit, quae et quam paucae ab hoc, quod in iis in τρια legem fecit, excepta inveniantur, non dico apud Herodianum ipsum, sed ab initio in his etiam excerptis, si quidem quis signum lacunae, quod in B invenitur post μαθήτρια, eo pertinere putet.

[57]) Haec dedi ex D, Dracone et reg. pros. Nam AB ei post εὔχροια sic: τὰ εἰς α λήγοντα καθαρὸν συνεσταλμένα ἔχουσι τὸ α ὁπότε ἔχουσι πρὸ τέλους τὴν τρι συλλαβήν.

[58]) Haec duo μεσήτρια, ὀδηγήτρια sunt ex solo B, desunt in AD, nec comparent in regulis prosodiae (quorum

289 αὐλήστρια[59]), μαθήτρια. παράλογος οὖν ὁ πρὸ τέλους χρόνος τοῦ πότνια, ὄμπνια, Πολύμνια, Ἰάμνια, Λάμια[60]). ὅσα γὰρ[61]) ἔχει πρὸ τέλους τὸ ι ὑπὲρ δύο συλλαβὰς ὄντα μὴ διὰ τοῦ τρια[62]), οὐκ ἐν συστολῇ ἔχει τὸ α, ἀλλ' ἐκτάσει, κακία, φιλία, κοπία[63]), ἐσχατιά. τοῦ οὖν πότνια καὶ ὄμπνια καὶ τῶν τοιούτων ἢ ἡ[64]) πρὸ τέλους ἠλάττωται ἢ ἡ ἐπὶ τέλους.

Πᾶν εἰς α λῆγον οὐδέτερον ἑνικὸν συνεσταλμένον ἔχει τὸ α, βῆμα, αἷμα, ποίημα, νόημα. τὸ τοίνυν κάρα ἐκτεινόμενον ἐξ ἀποκοπῆς ἐστι τοῦ κάρανον.

Τὰ εἰς αρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν ἐπὶ παντὸς γένους συστέλλει τὸ α, μάκαρ, δάμαρ, ὄαρ, θέναρ, φρέαρ, στέαρ. Ἀττικοὺς δέ φασιν ἐκτείνειν τὸ στέαρ καὶ φρέαρ.

Τὰ εἰς σα λήγοντα θηλυκὰ εἴτε ἐπὶ ὀνόματων εἴτε καὶ

---

hunc locum minus quam apud Hermannum contractum ex cod. Paris. edidit Bast. ad Gregor. p. 260) et Dracone. Cum ut auctoritatem sic colorem recentiorem et Christianum habere videantur, suspicio est accessisse potius in B quam in ceteris effluxisse.

59) Sic codd., sic etiam Draco et in regula ipsa et in lemmate praescripto, sed in Parisino reg. pros. (ap. Hermannum abest) αὐλήτρια. Haec afferens Lobeckius Paral. 451 nec formam per σ sibi suspectam esse ait; admonet etiam de Arcadii loco p. 33, 22 τὰ εἰς ρις ἔχοντα πρὸ τοῦ ρ ἕν τι τῶν ψιλῶν ὀξύνεται, παλαιστρίς, αὐλητρίς, ἐπακτρίς. (Apud Arcad. 95, 15 est: τὰ ἔχοντα τὸ α βραχὺ διὰ τοῦ τρια προπαροξύνεται, αὐλήτρια, ψάλτρια. τὸ δὲ μετρία καὶ ἀλλοτρία τὸ α μακρὸν ἔχουσι. καὶ τὸ πότνια καὶ ὄμπνια προπαροξύνεται.

60) Ἰάμνια, Λάμια scripsi pro ἴμνια, λάμνια. Et Λάμια quidem iam Bastius l. l. ex Pseudoherodiani epimerismis reduxit (Boisson. 222), nunc utrumque habemus Epim. Hom. s. πότνια p. 370, 22.

61) In codd. et reg. pros. nulla particula est, ap. Draconem δέ. Mihi licere putavi γὰρ scribere.

62) μὴ διὰ τοῦ τρια addidi.

63) Sic codd. et Paris., σκοπία reg. Herm., σκοπιά Drac.

64) ἢ ἡ et hic dedi et mox pro καὶ ἡ.

ἐπὶ μετοχῶν, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον 289
καταλήγουσαν, πάντως ἐκτεταμένον αὐτὸ ἔχει, πᾶσα, πτᾶσα, φῦσα, Τῖσα[65]), Κρῖσα, κνῖσα· οὐκ ἀγνοῶ δὲ ὅτι Πίσαν εἶπε τὴν πόλιν κατὰ συστολὴν Πίνδαρος. εἰ μέντοι εἰς σύμφωνον λήγει ἡ πρὸ τέλους συλλαβή, τὸ δίχρονον συστέλλεται, θάλασσα, ἄνασσα, πίσσα, νύσσα, λύσσα.

Πᾶν εἰς αν λῆγον οὐδέτερον τὸν χρόνον ἔχει τοῦ α τοῦ 290
κατὰ τὴν γενικὴν τοῦ ἀρσενικοῦ, τάλανος τάλαν, μέλανος μέλαν, στάντος στάν, βάντος βάν. ποιητικῶς γὰρ ἐκτέτατο

ἵνα μὴ τὸ γῆρας ἐπαναβὰν αὐτὸν λάθῃ.

ἐπεὶ οὖν παντὸς φαμὲν κατὰ συστολὴν καὶ πάν ὀφείλομεν λέγειν κατὰ συστολήν, ὥςπερ Αἰολεῖς καὶ Δωριεῖς ἀποφαίνονται. ἡ μέντοι παρ' ἡμῖν ἔκτασις τοῦ α καὶ παρὰ τοῖς Ἀττικοῖς καὶ παρὰ τοῖς Ἴωσιν ἀφορμὴν ἔχει τὸν τόνον. διὰ γὰρ τὸ δέξασθαι τὴν περισπωμένην τοῦ πᾶς ἀρσενικοῦ ἐκτείνει τὸ α. ὅταν μέντοι τὸ πᾶν δισυλλάβως λέγηται, τότε ἕξει τὸ α συνεσταλμένον, σύμπαν, ἄπαν. εὕρηται παρ' Ἀθηναίοις ἐκτεῖνον τὸ α[66]).

---

